24. Ὧν ἦν ποτε καὶ Ἄνυτος ὁ πικρὸς νυνὶ κατήγορος. καὶ γὰρ οἱ τούτου παῖδες καὶ προσῄεσαν καὶ ἔχαιρον τῷ νῦν φεύγοντι τὴν δίκην, καὶ οὗτος οὔτε ἀπέτρεπεν οὔτε ἐμέμφετο, ὥσπερ οὐδ᾽ ὑμεῖς τοὺς ὑμετέρους αὐτῶν. εἰκότως. ἠπίστασθε γάρ, ὡς ὁ μὲν ὁμιλῶν κἂν θαυμάσειεν, ὁ δὲ θαυμάζων κἂν ζηλώσειε καὶ τῷ πυκνῷ τῆς συνουσίας ἐγγένοιτ᾽ ἄν τις ἐπιθυμία μιμήσεως, ἐπιθυμήσαντες δὲ τῶν ἐπιτηδευμάτων Σωκράτους ἔσονται τῶν πολλῶν εὐθὺς ἀμείνους γαστριμαργίας μὲν

9 Plat. leg V p. 728 A 13 [Xen.] apol. § 30

2 *διαταῦτα B* 3 *συνθέοντες* reposui e libris (*συνθέντες Ath*) cum Rog *σωθέντες* Mor Re qui *συνιόντες* aut *συσπειραθέντες* coni *ἠσθέντες* coni Iacobs Add 53 Lect 193 Sintenis Cobet Mnem. III 144 *ὠσθέντες* Iacobs Not 8 | *περιειστήκειτε* reposui ex *UVaB* cum Rog *περιστήκειτε Ma* *περιεστήκει δέ Ath* 7 *ὅπη Ath* 10 *καὶ* scripsi auctore Re *κἂν* auctoribus Iacobsio Add 53 Lect 193 Not 9 et Cobeto Rog *καίτοι* Sintenis 11 *ὑπὸ* coni Naber | *ἔχειν* post *χρυσὸν* inserendum coni Iacobs Lect 193 Not 9 12 *τότε Ma* 13 *προσῆσαν* Rog 14 *ἔχαιρον Ma* sed *εχαι* in ras m² 15 *οὐδ᾽* scripsi e libris *οὐδὲ* edd 18 *ἐγγένοιτ᾽* scripsi ex *Ath UB* *ἐγγένοιτο Ma Va* edd 20 *τῶν πολλῶν*] *πολλῷ* Naber

καὶ μέθης καὶ λήμματος ἀδίκου καὶ ζεούσης ὀργῆς καὶ θωπείας ἀνελευθέρου καὶ τῶν τούτοις ἐοικότων νοσημάτων γεγονότες κρείττονες, κρυμὸν δὲ καὶ θάλπος τῷ σώματι καθάπερ ἀδαμαντίνῳ δεχόμενοι καὶ μήτε δίψῃ μήτε πείνῃ πιεζόμενοι, οἵους ὄντας ᾔδειτε R III 10 *φοβεροὺς | μὲν ἐπὶ στρατείας τοῖς ἐναντίοις ἐσομένους, ἀγαθοὺς δὲ ἐν βουλαῖς τὸ συμφέρον ἰδεῖν.* 25. *τί οὖν ἡμῖν τὸν χρηστὸν Ἄνυτον ἐξέμηνε; πόθεν ἀποκτεῖναι βούλεται τοῦτον ᾧ πολλάκις ηὔξατο γενέσθαι τοὺς υἱεῖς παραπλησίους; ἐν τοῖς λόγοις, ὦ ἄνδρες, τοῖς τἀληθὲς ζητοῦσιν ἔδει τῷ δηλώσοντι σαφῶς ὃ προὐθυμεῖτο παραδειγμάτων δή τινων, ὃ ποιεῖν ἅπαντες εἰώθαμεν καὶ οὐδὲ τῷ πάνυ βουλομένῳ τοῦτο φυγεῖν ἔνεστι.* 26. *μεμνημένος δὴ σκυτοτόμων καὶ βυρσοδεψῶν καὶ τῶν ἁλουργὰ ποιούντων ἔρια καὶ τῶν ἐπὶ ταῖς ἄλλαις τέχναις καὶ λέγων, ὡς ἐφ' ὅτῳ τις διατρίβοι, τοῦτ' ἂν εἰδείη μᾶλλον ἑτέρου καὶ καλῶς ἂν κατίδοι φαυλότητα τῶν ἐν αὐτῷ καὶ τοὐναντίον, ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπὶ τοῦτον Ἄνυτον ἤγετο, ᾧ τὸ μὲν ἀπὸ βυρσῶν εὐπορεῖν οὐκ ἐφαίνετο δεινόν,*

15 cf. [Xen.] apol. § 29. [Socr.] ep. 14

2 *εἰκότων Ma* 3 *μὲν* ante *δὲ* Mor Re delevi cum Rog 5 *εἰδῆτε AthUVaB* 8 *ἡμῖν* om *Ma* 10 *τοὺς υἱεῖς γενέσθαι Ma* | *ὦ ἄνδρες* in marg *Ma*[2] 11 *τἀληθὲς* scripsi auctore Re cum Rog *ἀληθὲς* libri Mor Re | *ζητοῦσιν* reposui e *MaAthB* cum Rog *ζητοῦσι UVa* Mor Re | *τί σαφὲς Ath σαφὲς UVaB* 12 *παράδειγμα τῶν δέ τινων Ath* | *ᾧ Ath* 13 *πάλαι Ma* 14 *καὶ βυρσοδεψῶν* om Rog 15 *ἀλουργὰ VaB* cf. t. II 22, 8; 320, 3 17 *διατρίβοι* reposui e libris cum Rog *διατρίβῃ* Mor Re *ἂν διατρίβῃ* Hirzel Mus. Rhen. XLII 246 | *εἰδείη Ma* sed *εἰ* in ras m[2] 18 *τὴν MaUVaB* Gasda Rog | *αὐτῷ* scripsi e *MaU* cum Gasda et Hirzelio *ἑαυτῷ AthVaB* edd

τῷ δὲ λόγῳ τῆς ἐργασίας ἀγανακτεῖ, καὶ τὸ μὲν ἔργον οὐκ ἔφευγε, δυσχεραίνει δὲ τὸ ῥῆμα. 27. ὑμῶν δὲ ἕκαστος πολλάκις μέμνηται τῆς αὑτοῦ τέχνης καὶ πρός γε χάριν οἶδε τῆς ἀπ' αὐτῆς προσόδου, ἐπεὶ καὶ αὐτὸς Σωκράτης πολλάκις ἂν εἰπὼν τὸν αὑτοῦ πατέρα Σωφρονίσκον προσέθηκεν ἂν καὶ τὰ περὶ τοὺς λίθους καὶ τὴν τῆς μητρὸς οὐκ ἀπεκρύπτετο τέχνην. 28. ᾧ δῆλον ὡς οὐκ ἐφ' ὕβρει τὰς τῶν ἄλλων παρέφερεν, ἀλλ' ὅπως οἱ διάλογοι τὰ αὑτῶν λαμβάνοιεν καὶ μηδὲν τῶν ὀφειλόντων εἰρῆσθαι σιγῷτο. διὰ τοῦτο Ἀπολλόδωρος μὲν ἤκουε πρᾴως καὶ Ξενοκλείδης οὐ γέγραπται, μόνου δέ, ὡς ἔοικεν, Ἀνύτου καθάπερ τυράννου κίνδυνον ἔχει μνησθῆναι καὶ ἃ ποιεῖν τούτῳ δέδοκται, ταῦτα οὐδενὶ συγκεχώρηται λέγειν.

29. Ἀλλ', ὅπερ ἔφην, μηδεὶς οἰέσθω τοῦτον ἀπὸ τῆς πρὸς ὑμᾶς εὐνοίας καὶ τοῦ τὴν λύμην, ᾗ χείρους ποιεῖ τοὺς ὑμετέρους παῖδας, ἐθέλειν ἐξελεῖν | ἐπὶ R III 11
τοῦτον ἥκειν τὸν ἀγῶνα. εἰ γὰρ Σωκράτης ὑπερέβαινε

---

3 cf. ad t. III 344, 23 6 Plat. Euthyd. p. 297 E sq. Diog. L. II 5, 18 7 Plat. Theaet. p. 149 A 10 Plat. conv. p. 173 D cf. Kirchner prosop. Att. I 102 15 cf. p. 20, 12

---

1 καὶ — 2 ῥῆμα cancellavit Rog 2 ἔφευγε scripsi auctore Sinteni ἔφυγε libri edd | ὑμῶν scripsi e libris ἡμῶν edd 3 αὑτοῦ scripsi ex *UVaB* cum Rog αὐτοῦ *MaAth* Mor Re 4 οἶδεν *Ma* 5 ἀνειπὼν coni Sintenis | αὑτοῦ scripsi cum Rog αυτοῦ *U* αὐτοῦ reliqui libri Mor Re 6 προσέθηκε Rog | ἂν del Rog | καὶ (1) inserui ex *Ath Va* cum Rog om reliqui libri Mor Re 7 ἀπεκόπτετο *Ma* 8 τὰς inserui e *Ma UVaB* cum Rog om *Ath* Mor Re 9 αὑτῶν scripsi αὐτῶν libri edd 10 διατοῦτο *MaB* 11 Ξενοκλῆς architectus (Plut. Per. 13)? | οὐ scripsi ex *U* auctore Re cum Rog οὗ reliqui libri Mor Re 13 δέδοκται scripsi e *Ma* et Par 3017 auctore Gasda cum Rog δέδοται reliqui libri Mor Re | δὲ ante οὐδενὶ *Ma* 16 λύμην *Ma* sed λ in ras m² 17 ἐξελθεῖν *Ma VaB* 18 ἥκειν *Ma* sed ν add m²

τἀληθὲς καὶ τοῦτον ἐσέμνυνε φάσκων ἀρχαῖον παρειληφέναι πλοῦτον, οὔτ' ἂν ἠδίκησθε ὑμεῖς οὔτ' ἂν ἠσέβητο τὸ θεῖον οὔτ' ἂν ἡ νεότης διέφθαρτο. νῦν δὲ οὐχ ὑμῖν βοηθῶν, ἀλλ' ὑπὲρ αὐτοῦ λυπούμενος, οὐδ' ὑπὲρ τῆς πόλεως τιμωρούμενος, ἀλλ' ἀγανακτῶν, εἰ ὅσπερ ἐστὶ καὶ δόξει, πλάττειν αἰτίας καὶ συκοφαντεῖν ὑπέμεινε πριάμενος τὸν ἐπὶ δραχμῇ πάντα ἂν ποιήσαντα Μέλητον. 30. μέγα δὲ ὑμῖν ἐρῶ τεκμήριον, ὡς ἑτέρωθεν κινούμενος τὸ ὑμέτερον προΐσταται. ἤδη γὰρ τῆς γραφῆς ἀπενηνεγμένης καὶ τῆς αἰτίας κεκηρυγμένης περὶ σπονδῶν προσέπεμπε Σωκράτει τὸν μὲν ἀξιῶν ἀποστῆναι τοῦ μεμνῆσθαι τῆς τέχνης, αὐτὸς δὲ ὑπισχνούμενος διαγράψεσθαι τὴν γραφήν. τοῦ δὲ φήσαντος οὐ παύσεσθαι τῶν ἀληθῶν, ἕως ἂν ἐμπνέῃ, χρήσεσθαι δὲ τοῖς αὐτοῖς περὶ τῶν αὐτῶν λόγοις καὶ οὐ τοσοῦτον ἰσχύσειν τὴν

---

7 cf. p. 97, 17. [Xen.] apol. § 29. [Socr.] ep. 14 10 Plat. Men. p. 90 A. 91 C. 92 A sq. 14 Plat. apol. p. 29 D

---

1 ἐσήμηνε *Ma* sed η (2) in ras m² 2 οὔτ' (1) — 3 θεῖον om *Ma* 2 ἠδίκησθε scripsi auctoribus Gasda et Cobeto Mnem. N. S. III 144 cum Rog ἠδικεῖσθε *AthUVB* Mor Re 3 ἠσέβει *UVaB* 4 ὑμῖν *Ma* sed υ ex η corr m² | αὑτοῦ scripsi ex *U* cum Rog αὐτοῦ reliqui libri Mor Re 5 εἰ ὅσπερ reposui ex *AthUVaB* cum Rog εἰς ὥσπερ *Ma* sed ς del m² εἰ ὅπερ Sintenis et Cobet εἴπερ Mor Re εἰ περίεστι Iacobs Lect 194 App Pors 308 Not 9 6 πλάττειν δεινὸς αἰτίας coni Re
7 δραχμῇ reposui e *MaUVaB* cum Rog δραχμαῖς *Ath* Mor Re δέκα δραχμαῖς Cobet | ποιήσαντα scripsi ex *AthB* cum Rog ποιήσοντα *MaUVa* Mor Re 8 Μέλητον reposui e libris cum Rog Μέλιτον Mor Re | ἐρῶ *Ma* sed ῶ in ras m²
10 σπονδῶν *Ma* sed ον in ras m² 11 Σωκράτει reposui e libris auctore Iacobsio Lect 194 Not 9 cum Rog Σωκράτη Mor Re 12 διαγράψεσθαι scripsi e *B* auctore Cobeto cum Rog διαγράψασθαι *MaAthUVa* Mor Re 14 ἀληθινῶν *Ma* | κηδόμενος vel tale quid post ἀληθῶν inserendum coni Re | ἐμπνέοι *UVaB* | χρήσασθαι *AthUVa*

κατηγορίαν, ὡς ἃ πρὸ αὐτῆς ἐνόμιζε προσήκειν λέγειν, ταῦτα ἐπ' ἐκείνῃ σιγᾶν, οὕτως ἤδη παρέδωκεν εἰς ὑμᾶς τὸν οὐδὲν ὧν ἐνόμιζε δικαίων προδεδωκότα τῷ φόβῳ. 31. ὥστε καὶ τοῦ νυνὶ κρίνεσθαι Σωκράτην, εἰ δεῖ καὶ τοῦτ' εἰπεῖν, οὐκ Ἄνυτος οὐδὲ Μέλητος αἴτιος, ἀλλ' αὐτὸς Σωκράτης. εἰ γὰρ οὗτος τὴν ἐπικηρυκείαν ἐδέξατο καὶ τοσοῦτον ἔπεισεν αὑτὸν ἢ καθάπαξ ἔξω μνήμης ἀφιέναι τοῦτον ἢ μεμνημένος κοσμεῖν ἀπὸ τῶν οὐ προσηκόντων, νῦν ἂν ἦν ἐν Λυκείῳ λέγων ἅπερ εἰώθει. 32. ἀλλ' οὐκ ἦν ἔμφυτον τῷ γενναίῳ τούτῳ πτῆξαι καὶ ταπεινωθῆναι τῇ γραφῇ καὶ μισθὸν τῆς αὑτοῦ σωτηρίας καταθεῖναι τούτῳ τὴν περὶ αὐτοῦ σιωπήν, ἀλλ' ἠξίου τοῖς βεβιωμένοις σῴζεσθαι καὶ καταστὰς ὑπὸ ταῖς ὑμετέραις ψήφοις διά γε τὴν ἀλήθειαν ⟨ἀπελθεῖν⟩ ἀθῷος, ἀλλ' οὐ ταῖς παρὰ τῶν κατηγόρων ἐπονειδίστοις | διαλλαγαῖς. R III 12

33. Ὡς μὲν οὖν οὔτ' Ἄνυτος διαφθορᾶς τὴν

---

6 Dem. p. 61, 23

---

2 ταῦτ' Rog | ἐκείνῃ scripsi auctore Re („*aut ἀπ' ἐκείνης leg. aut ἐπ' ἐκείνῃ*") cum Rog ἐκείνης libri Mor Re 5 Μέλητος reposui e *MaUVaB* cum Rog μίλητος *Ath* Μέλιτος Mor Re 6 ἐπικηρυκίαν *UVaB* 7 αὑτὸν scripsi ex *UVaB* cum Rog αὐτὸν *MaAth* Mor Re 9 λυκίῳ *UVaB* Mor | λέγειν *Ath* 12 αὑτοῦ scripsi cum Rog αυτοῦ *U* αὐτοῦ reliqui libri Mor Re | τούτῳ reposui e libris auctore Re cum Rog τούτου Mor Re τοῦτον, τὴν περὶ Ἀνύτου σιωπήν Iacobs Not 9 13 βεβαιουμένοις *Ma* et Par. 3017 (Bast comm. pal. p. 752 ed. Schaefer) 15 ἀπελθεῖν inserui coll t. I 138, 13; II 171, 20; III 422, 11 ἀπιέναι vel ἀφεθῆναι inserendum coni Re, εἶναι Iacobs Not 9 | ἀθῷος *MaVaB* | „*mallem* καὶ τὰς — ἐπονειδίστους διαλλαγάς" Re at cf. Iacobs Anth Pal III 467 | πρὸς τὸν κατήγορον coni Gasda 16 ἐπονειδίστοις *Ma* sed οι in ras m^2 ἐπονείδιστος *U* ἐπονειδιστὰς *Va* 17 οὔτ'] ὄντα *Ma*

νεότητα ῥυόμενος καὶ ζημίαν αὑτοῦ νομίζων εἶναι, εἴ τις τοὺς ὑμετέρους παῖδας ποιήσει κακούς, Μέλητον τουτονὶ γράψασθαι Σωκράτην ἀνέπεισε Σωκράτει τε ἐξὸν ἀπηλλάχθαι τοῦ νῦν παρόντος κινδύνου θαρρεῖν ἐπῆλθε τὴν κρίσιν τῷ μηδὲν αὑτῷ συνειδέναι φαῦλον μηδὲ τιμωρίας ἄξιον, ἐκ τούτων ὑμῖν δεδηλῶσθαι νομίζω. ἥσθην δὲ οἷς ἐνίων ἤκουσα λεγόντων, ἡνίκα ἐκληροῦσθε. πάνυ γάρ τισιν ἐπῄει θαυμάζειν, εἰ πάλαι πονηρευομένου Σωκράτους καὶ διατριβὰς ἐπ' ὀλέθρῳ τῶν νέων ποιουμένου τοσούτοις ὕστερον χρόνοις διὰ ταῦτα ἀγανακτῶν ὤφθη καὶ τὸ τοῦ πράγματος αἴτιον ἐζήτει παρ' ἄλλοις.

34. Ἐντεῦθεν δὴ καὶ αὐτὸς ποιήσομαι τὴν τῶν ἐλέγχων ἀρχήν. ἐξ ὧν καὶ διότι κατήγορος ὀψέ ποτε ἐπέστη, μᾶλλον εἴσεσθε. ἐρωτῶ δὲ ὑμῶν ἐναντίον τὸν

---

8 cf. Mus. Rhen. XXX 284 sq. 12 cf. p. 39, 15 15 Plat. apol. p. 24 B

---

1 *αὑτοῦ* scripsi cum Rog *αὐτοῦ* libri Mor Re 2 *κακῶς Ma* Rog | *Μέλητον* reposui e *MaUVaB* cum Rog *μέλισον Ath Μέλιτον* Mor Re 3 *τουτωνὶ Ath* | *ἐνέπεισε Va* | *Σωκράτης* Sintenis at cf. t. IV 122, 8 | *τε* inserui e libris auctore Re cum Rog om Mor Re 5 *αὑτῷ* scripsi ex *UVaB* cum Rog *αὐτῷ MaAth* Mor Re | *συνειδέναι* reposui e libris auctoribus Re et Bastio Greg. Cor. p. 249 ed. Schaefer cum Rog *συνεῖναι* Mor Re 6 *μὴ δὲ MaB* 7 *ἥσθην* reposui e libris cum Rog *ἔστι* Mor qui *ἔτι* coni, Re qui *νομίζω ἔτι ὧν* coni *ἔτι δὲ καὶ ἐνίων* Iacobs Not 10 *ἔστι δὲ ὧν* Sintenis ut p. 37, 13 | *οἷς* scripsi auctore Nabero cum Rog *ὡς* libri Mor Re *ἃ* coni Gasda 8 *ἐπῄει* scripsi *ἔπεισι* libri edd 9 *πονηρευομένου Ma* sed *νη* inser m[2] 10 *διαταῦτα B* 11 *καὶ* inserui e libris cum Rog om Mor Re qui „*hic deesse quaedam videntur*“ adnotavit 12 *ἐζήτει* scripsi *ἐζητεῖτε* libri edd *ἐζητεῖτο* Sintenis *τούτου πράγματος αἴτιον μὴ ζητεῖτε παρ' ἄλλοις, ἐντεῦθεν δ' ᾗ καὶ αὐτὸς* Iacobs Not 12 | *ἀλλήλων* coni Cobet Mnem. III 144

φιλόπολιν Ἄνυτον· εἰπέ μοι, πρὸς θεῶν, ὁ γέρων οὗτος ὁ γεγονὼς ἑβδομήκοντα ἔτη χθὲς καὶ πρῴην ἐγένετο πονηρῶν διδάσκαλος, πέρυσι, τῆτες, τὸν δ' ἄλλον ἅπαντα χρόνον χρηστὸς ἦν οὐδὲν οὔτε μικρὸν οὔτε μεῖζον βλάπτων τὴν πόλιν, καὶ δεῖ δήπου διὰ μὲν ἐκεῖνον ἐν ᾧ βέλτιστος ἦν ἐπαινεῖσθαι, διὰ δ' αὖ τὴν συμβᾶσαν μεταβολὴν μισεῖσθαι; 35. τί φῄς, Ἄνυτε; τί σιγᾷς; ἄνωθεν ἦν μιαρὸς ἄνθρωπος ἢ πρὸς γῆρας ἥκων ἐπήνεσε κακίαν; καὶ μὴν καὶ σιγῶν ἀποκέκρισαί μοι. ὅτε γὰρ ἀνδρῶν τεθνεώτων ἐμέμνησο φάσκων ὑπὸ μὲν ἐκείνων κακῶς πεπονθέναι τὴν πόλιν, αὐτοὺς δὲ ὑπὸ τούτου διεφθάρθαι, ὡμολόγεις μὴ νῦν ἡμῖν ἦρχθαι τῆς διαφθορᾶς τὸν Σωκράτην, ἀλλ' ἐξ οὗπερ εἰς | R III 13
τὸ φιλοσοφεῖν κατέστη. 36. διὰ τί οὖν, ὦ κηδεμὼν τῶν νέων, ἀρχαία μὲν ἡ πονηρία, βραδεῖα δὲ ἡ γραφή, καὶ πάλαι μὲν ἡμᾶς ἑώρας ἀδικουμένους, ὀψὲ δὲ ἥκεις βοηθήσων; οὐκ ἐπεδήμεις γενεὰν ὅλην καὶ ἔτι πλέον; οὐχ ἑώρας τοὺς ἐρῶντας αὐτοῦ νεανίσκους; οὐκ ἐπήκουες τῶν λόγων; καὶ γὰρ οὐχ ὧδε ἔσται ἀναχωρεῖν σοι, ὅτι ἄρα καταδὺς οὗτος εἰς γωνίαν καὶ θύρας ἐπιθεὶς καὶ καταλαβὼν ὅρκοις τοὺς συνόντας ἦ μὴν κρύ-

1 Plat. apol. p. 17 D 2 cf. t. IV 250, 15 3 cf. t. IV 361, 5 10 cf. p. 90, 15 20 cf. p. 78, 1. Plat. Gorg. p. 485 D

2 *πρώην Ma* 3 *πονηρῶν* scripsi auctoribus Re et Gasda coll p. 42, 16 et 90, 15 *πονηρὸς* libri edd 7 ; scripsi ,*B* .reliqui libri edd | *φῄς* scripsi cum Rog. coll. t. III 223, 1; t. IV 9, 20 R *φήσ MaVaB* *φῇς* reliqui libri Mor Re 9 *τὴν* ante *κακίαν* edd delevi 10 *τεθνεώτων ἀνδρῶν Ath* 12 *ὑμῖν Ath VaB* 14 *διατί Ma* 19 *οὐχ ὧδε* scripsi *οὕτω γε MaUVaB* *οὐ τόγε Ath* *οὐ τῷ γε* Mor Re qui *οὐχ ὧδέ γε* coni *οὐ τῇ γε* Iacobs Lect 194 Not 13 Anth Pal III 896 *οὐχ οὕτω γε* Gasda *οὔτοι γ'* Nabero auctore Rog 20 *γωνίαν* reposui e libris auctore Re cum Rog *ἀγωνίαν* Mor Re 21 *μὴν* reposui e *MaAthUVa* auctore Re cum Rog *μὴ B* Mor Re

ψειν τὴν ἀκρόασιν καὶ θῦμα θυσάμενος δι' ἀπορρήτων ἐδίδασκε τοὺς λυμεῶνας λόγους, οἷς τὸν μὲν ἄλλον ὑπῆρξε λανθάνειν χρόνον, ὕστερον δὲ εἰς φῶς ἐλθεῖν συνέβη τῶν τὴν γλῶτταν ἀκολάστων τινὸς ἐκλελαληκότος. 37. *ἀλλ' ἴστε ὅτι τῶν τόπων τοὺς ὅτι πλείστους συνάγοντας ἀνθρώπους ἀνὴρ ἠγάπα καὶ τοσοῦτον ἀπεῖχε τοῦ χαίρειν ταῖς ἐρημίαις, ὥστε μᾶλλον ἄν τις αὐτῷ τὸ τὰ πλήθη διώκειν ἐπ' αἰτίαν ἤγαγεν ἢ τὸ τοῖς νέοις οὐδενὸς παρόντος ὁμιλεῖν. εἷς οὖν ᾖσθα τῶν ἀκουόντων καὶ τὴν ζημίαν οὐκ ἀγνοούντων καὶ φανερῶς ἐφ' ὃ χωρεῖ τὸ πρᾶγμα συνιέντων.* 38. *τί οὖν ἔδει τὸν εὔνουν ποιεῖν; ἀγανακτεῖν, βοᾶν, μὴ διδόναι τῷ κακῷ βαδίζειν, ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπὶ τοὺς νόμους ἀσκεῖ Σωκράτης τοὺς νέους. ἡ πολιτεία κινδυνεύεται. θρασεῖς ἡμῖν καὶ τυραννικοὺς καὶ ἀφορήτους καὶ τὸ ἴσον ὑπερορῶντας ὁ σοφιστὴς ἀνθρώπους δημιουργεῖ. οὐ* R III 14 *κωλύσομεν; | οὐκ ἐπισχήσομεν; οὐκ ἐκβαλοῦμεν τοῦτον, πρὶν ⟨ἂν⟩ τὴν τῶν νόμων ἰσχὺν*

---

1 *θυσάμενος* reposui e *MaAthVaB* auctore Re cum Rog *θυσάμενον U* Mor Re 3 *δ'* Rog 4 *συνέβη* in marg inser *Ma*[2] | *τῶν* inserui e *MaAthVaB* auctoribus Iacobsio Add 53 Lect 194 App Pors 287 Not 13 et Sinteni qui *τὴν* delevit, Cobeto cum Rog om *U* Mor Re qui *ἀκολάστου* coni 5 *ὅτι τὰ τῶν Ma* | *τοὺς* om *Ma* | *ὅτι* inserui ex *UVaB* cum Rog om *Ma* Mor Re *οὗτάς τι Ath* 6 *συναγαγόντας* libri Rog corr Mor | *ὁ ἀνὴρ* Iacobs Lect 194 Not 13 Gasda *ἀνὴρ* Rog at cf. t. II 455, 10; III 371, 23; I 184, 18 8 *αὐτῷ* scripsi *αὐτοῦ* libri edd | *νῦν* ante *ἐπ'* inseruit Rog delevi | *ὑπ' Ma* fortasse recte 11 *ὃ* scripsi cum Rog *ἃ AthU* sed in hoc in *ὃ* corr, *Va* Mor Re *ἣ Ma ὧ B* | *συνιέντων* reposui ex *UVaB* auctore Re cum Rog *συνιόντων Ath* Mor Re *συνιὼν Ma* 12 *ἀγανακτεῖν; βοᾶν;* Mor Re 13 *ὁδῷ* ante *βαδίζειν* inserendum coni Re 14 *σωκράτους Va* 15 *ὑμῖν UVaB* Rog at cf. l. 18 *κωλύσομεν κτλ.* 16 *ἶσον MaB* 19 *ἂν* inserui secundum usum Libanii om libri edd

ἐκβάλωσιν οἱ παρὰ τούτῳ τρεφόμενοι; ταῦτ' ἔδει λέγειν καὶ πρὸς τούτῳ τί ποιεῖν Ἄνυτον; τὸν γραφόμενον κινεῖν, εἰ μὴ αὐτός γε ἐβούλετο. 39. ἦν βασιλεὺς ἡμῖν ἀρχὴ καὶ τὸν ἄλλον ἅπαντα χρόνον, Ἄνυτε, ἦσαν Εὐμολπίδαι, ἦν ἅπασα ἁπλῶς ἡ περὶ τὴν εὐσέβειαν φυλακή. λέγε δὴ τουτοισὶ τὴν αἰτίαν τῆς βραδυτῆτος. ἀπράγμων ἦσθα; καὶ μὴν ἡ νυνὶ παρασκευὴ καὶ τὸ μηδενὸς ἀπέχεσθαι πρὸς τὸ τὸν ἄνθρωπον ἀναρπάσαι πᾶν τοὐναντίον μαρτυρεῖ. ἀλλ' οὔπω τὸν δῆμον ἐφίλεις καὶ διὰ τοῦτ' οὐκ ᾤου δεῖν φροντίζειν, εἴ τινες εἰς ἄνδρας ἐλθόντες ἐκ πονηρῶν ἀκουσμάτων καταλύσουσιν αὐτόν. 40. πότερον ⟨οὖν⟩ σὲ μὲν δεῖ κατηγορεῖν, τοῦτον δὲ ἀποθνήσκειν, ἢ τὸν μὲν ὧν ἔβλαπτε, σὲ δὲ ὧν ἔχων ἐλέγχειν ἐπέτρεπες ἀδικεῖν ὑπέχειν δίκην; μετὰ γὰρ τοῦ κακῶς ποιοῦντος τὸν παρὸν κωλύειν οὐκ ἐθελήσαντα θετέον. ἢ οὖν οὐδὲν ἠδίκει Σωκράτης καὶ κατὰ τοῦτο ἡσυχάζων νῦν ὡς οὐ δικαίως ἐπεξέρχῃ δεικνύεις ἢ κακῶς ποιεῖν ἐπιτρέπων

---

4 Plat. Euthyphr. p. 2 A; Theaet. p. 210 D 5 Dem. Andr. p. 601, 25 sq. c. schol. cf. Meier-Schoemann-Lipsius, Att. Proc. p. 131 12 Thuc. II 81. Dem. p. 170, 13 15 Thuc I 69, 1

---

1 *ἐκβάλωσιν* scripsi *ἐκβαλοῦσιν* libri edd | *τούτῳ* reposui e libris auctore Sinteni *τούτου* libri edd | *ταῦτ'* reposui e libris cum Rog *ταῦτα* Mor Re 2 *τι* Iacobs Add 289 Not 13 | *Ἄνυτον;* scripsi auctore Re cum Rog *Ἄνυτον.* libri Mor Re | *αὐτόν, ἢ* Iacobs | *τὸν* inserui e *MaUVaB* cum Sinteni om *Ath* edd | *γραψάμενον U* 4 *ἡμῖν*] *ἦν* Gasda | *ἀρχὴ* auctore Cobeto cancellavit Rog 7 signum interrogationis posui e *B*, punctum reliqui libri edd 8 *τὸ* (1) inserui e libris cum Rog om Mor Re 10 *διατοῦτ' B* *διατοῦτο Ma* 12 *οὖν* inserui auctore Cobeto | *σὲ μὲν* scripsi ex *UVaB* auctore Re cum Rog *μὲν σὲ MaAth* Mor Re 13 *δὲ* om *Ath* 15 *ὑπέχειν — τὸν* om *Ma* 16 *τὸ* ante *παρὸν* Mor Re delevi auctoribus Re et Cobeto cum Rog | *παρόντα Ath* 17 *ἡσύχαζε Va* *ἡσυχαζ* cum duabus litteris deletis *U* 18 *ἐπεξέρχει* Rog

τὴν πόλιν συνηδίκεις ἐν τῷ περιορᾶν ἃ παῦσαι πρόχειρον ἦν.

41. *Ἀλλ' οὐχ ἡμάρτανεν, ὦ Ἀθηναῖοι, Σωκράτης, οὐδ' ὀφείλει δίκην Ἄνυτος ὑμῖν τῷ συγκεχωρηκέναι τοσαῦτα τολμᾶν ἐκείνῳ, ἀλλὰ τὸν οὐδὲν ἀδικοῦντα συκοφαντεῖ νῦν. οὐ γὰρ ἀδικοῦντος ἐφείδετο πρότερον, ἀλλὰ μηδὲν ἀδικοῦντα κρίνει νῦν. οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις οὓς ἴσμεν τῶν οἰκετῶν κλέπτας ὄντας*
R III 15 *καὶ περὶ τὰ σκεύη κακούργους, ἐφέντες | τούτοις ἀεί τι τῶν ἔνδον ὑφαιρεῖσθαι περιμένομεν ἐν γήρᾳ παρ' αὐτῶν δίκην λαβεῖν, ἀλλ' εὐθὺς κολάζομεν, καὶ πέδαι καὶ μάστιγες καὶ μύλων. καὶ ὅτε πρῶτον ἁλοῖεν, στρεβλοῦνται. Σωκράτους δὲ δοκεῖ τὸ πᾶν ὑμῖν ἀνασχέσθαι τοσοῦτον χρόνον Ἄνυτος διορύττοντος τὴν δημοκρατίαν καὶ παρασκευάζοντος ὑμῖν ὀλέθρους πολίτας;*

---

12 cf. p. 98, 22

---

4 *ὑμῖν* scripsi ex *UVaB* cum Rog *ἡμῖν MaAth* Mor Re 5 *οὐδὲν* reposui e libris cum Rog *μηδὲν* Mor Re 6 *συκοφαντεῖ* — 7 *ἀδικοῦντα* inserui e libris om edd | *οὐ γὰρ* — 7 *νῦν* post *ἐκείνῳ* ponenda coni Rog | *ἀδικοῦντα Ath* | *ἐφείδετο Ma* sed *είδε* in ras m² 7 *συκοφαντεῖ* Rog | *οὐ Ath* 8 *κλέπτας ὄντας* scripsi auctore Re *κλέπτοντας* libri edd 9 *τὰ* inserui e libris cum Rog om Mor Re | *ἐφέντες* reposui e libris auctore Re cum Rog *ἐφέντας* Mor Re | *τούτοις* scripsi *αὐτοῖς* libri edd 10 *αἰεὶ MaB* | *ἔνδον* scripsi auctore Cobeto Mnem. III 145 *ἔργων* libri edd | *παραμένομεν AthUVaB* 12 *μύλων* cf. p. 98, 22 et ad t. II 543, 10 | *ἁλοῖεν* reposui e libris cum Rog *ἑλοῖεν* Mor Re qui *ἁλῷεν* aut *ἕλοιμεν* coni 13 *Σωκράτους* scripsi e *MaVaB* auctore Re cum Rog *σωκράτης U* sed *ου* supra *η* m² *σωκράτην Ath* Mor Re | *τὸν πάνυ* vel *τοῦ πάνυ* coni Re *τὸν πάντα* Gasda *τὸν πάνθ'* Sintenis *τολμᾶν* Iacobs Add 309 Lect 194 Not 14 at cf. Plat. leg. XII p. 959 A; apol. p. 32 E 14 *τοῦτον Ma* 15 *ὀλέθρους* scripsi e *MaUVaB* coll. t. I 183, 10 *ὀλεθρίους Ath* edd

42. Ἀλλ' ἐῶ τουτὶ καὶ θῶμεν Ἄνυτον ὑπὸ τοῦ μᾶλλον ἑτέροις πράγμασι προσέχειν τὸν νοῦν κεκωλύσθαι ταῦτα ἰδεῖν τὰ πονηρεύματα. ἔστι μὲν γὰρ οὐδὲ τοῦτο ἄξιον, ὦ Ἀθηναῖοι, συγγνώμης. μὴ γὰρ ἔστω μηδενὶ τοσαύτη τῶν οἰκείων πρόνοια, δι' ἣν ἐπὶ τὸ σχῆμα τῆς πολιτείας ὁρῶν ἰόντα κίνδυνον περιόψεται. ὅμως δ' οὖν ἀφείσθω τῆς μέμψεως, εἰ τῶν κοινῶν ὑπ' ἀσχολίας τῆς ἀπὸ τῶν ἰδίων ἠμέλησεν.

43. Ἀλλὰ καὶ τούτου σιγῶντος πῶς οὐχ ἧκεν ἄλλοθεν κατηγορία καὶ κρίσις; οὐ μεστὸν μὲν τὸ βῆμα τῶν λεγόντων ἐστὶν ἐπ' ἐκκλησίας, πλήρη δὲ τὰ δικαστήρια τῶν γραφομένων τῶν μὲν ἐπὶ τοῖς ὄντως ἀδικήμασι, τῶν δὲ δι' ἔχθραν καὶ συκοφαντίαν, ἔστι δὲ ὧν ἐπὶ τῷ ταράξαι καὶ λαβεῖν ἀργύριον; οὐ μεστοὶ γεγόναμεν τῶν πρὸ τῶν Ἐπωνύμων ἐκκειμένων ὁ

---

11 Thuc. VIII 81 15 Dem. p. 705, 19; 707, 13

---

1 *τουτὶ* scripsi cum Gasda *τουτοὶ MaUVaB τουτονὶ Ath* Mor Re „*τοῦτο νῦν vel τουτὶ*“ Sintenis *τοῦτο νῦν* auctore Cobeto Rog 2 *κεκωλῦσθαι Ma* Rog at cf. ad t. IV 431, 6 3 *οὐδὲ τοῦτο* scripsi e *Ma οὐδὲν τούτων AthUVaB* Mor Re *οὐδὲ τοῦτ'* auctore Re Rog 4 *Ἀθηναῖοι* scripsi e *Ma* auctore Cobeto Mnem. III 148 cum Rog *θεοὶ AthUVaB* Mor Re 5 *τοσαύτη* et *πρόνοια* scripsi auctoribus Iacobsio Lect 194 App Pors 321 Not 14 et Sinteni *ὃς τῇ* et *προνοίᾳ* (in *Ma* evanuerunt) libri edd | *οἰκείᾳ Ath* 6 *ὁρῶν ἰόντα*] *ἐφέρποντα* Hefermehl 7 *ὑπ'* reposui e libris auctore Re cum Rog *ἀπ'* Mor Re 8 *ἐμέλησεν B* 11 *ἐπ'* inserui ex *UVaB* coll. Thuc l. l. „*deest aliquid*“ Re „*ἐπ' ἐκκλησίας vel ἐν ἐκκλησίαις*“ Sintenis *μεστὴ δ' ἡ ἐκκλησία* auctoribus Iacobsio Add 262 Lect 194 (et sine *δ'* App Pors 321 Not 15) et Cobeto Rog 12 *ἀδικήσασι* Sintenis 14 *ὧν* in ras *Ma*[2] 15 *πρὸ τῶν Ἐπωνύμων* scripsi auctore Re cum Rog *πρώτων ἐπωνυμιῶν* libri Mor Re | *ἐγκειμένων UVaB*

R III 16 *δεῖνα τοῦ δεῖνος τὸν δεῖνα* | *ἐγράψατο; ἀλλ' οὐχ ὁ δεῖνα τοῦ δεῖνος Σωκράτην Ἀλωπεκῆθεν οὔτε ἀσεβείας οὔτε λύμης τῶν νέων, οὐχ ὕβρεως, οὐκ ἄλλου τινός.* 44. *ἀλλ' οἱ φιλοτιμούμενοι καὶ τὰ αὐτῶν εἰς ὑμᾶς ἀναλίσκοντες καὶ προστάται τῆς πόλεως ἐπιθυμοῦντες ἀκούειν καὶ τῷ τὰ κοινὰ θεραπεύειν σεμνυνόμενοι καὶ τὰς ἀντὶ τούτων τιμὰς παρ' ὑμῶν λαμβάνοντες διὰ μὲν κλοπὰς καὶ μνᾶς ὀλίγας οὐκ ὤκνουν γράφεσθαι καὶ κατηγορεῖν νομίζοντες τὴν ἐπὶ τῶν ἐλαττόνων ἀκρίβειαν τῶν μειζόνων εἶναι περιφανῆ σωτηρίαν· ἄνθρωπον δὲ ὁρῶντες ὑποσπῶντα τὰ τῆς πόλεως ἰσχυρὰ καὶ τοσαύτῃ χρώμενον κατὰ τῶν νόμων τρυφῇ, ὥστε ἐν μέσῳ μηδὲν ὑποστελλόμενον πράττειν ⟨τὴν⟩ τῆς πολιτείας κατάλυσιν, εἴων, ἐπέτρεπον, συνεχώρουν, μόνον οὐ δωρεῶν ἠξίουν; καὶ τίς ἂν πιστεύσειε;* 45. *καίτοι τίς ὑμῶν οὐκ οἶδε, πηλίκον τινὲς ὑμῶν παρ' ὑμῖν δυνηθέντες ἐν εὐδαιμονούσῃ*

---

2 Plat. Gorg. p. 495 D 3 Plat. leg. XI p. 919 C 13 cf. t. I 131, 7 | cf. t. II 166, 16 16 Plat. apol. p. 32 B sq.; Axioch. p. 368 D sq.

---

1 *ἀλλ' Ma* sed *λλ'* in ras m² 3 *οὐχ ὕβρεως Ma* sed *οὐχ ὕβρε* in ras m² 5 *αὑτῶν* scripsi cum Rog *αυτῶν U αὐτῶν* reliqui libri Mor Re | *ὑμᾶς* in ras *Ma*² 6 *τὸ* Mor 8 *κλοπὰς* scripsi auctore Sinteni *κώπας* libri edd „*malim δραχμὰς*" Re *κῶπας* Iacobs Lect 194, *σκῶπας* Anth Pal III 356 *κωπέας* Cobet Mnem. III 145 9 *κατηγορεῖσθαι* Iacobs Anth l. l. 10 *ἀπὸ* Mor | *περιφανῆ* reposui e libris cum Rog *πέρι* Mor Re qui delendum censuit *πατρίδι* Iacobs Not 16 *περιεργίαν* Sintenis 12 *μετὰ Ma* sed *με* in ras m² 14 *τὴν* inserui auctoribus Iacobsio Lect 195 App Pors 287 et Gasda cum Rog om libri Mor Re 15 *μόνον οὐ* scripsi e *MaAthB* coll. t. II 326, 18; III 152, 18 *μονονοὺ UVa* edd | signum interrogationis posui, punctum libri edd 16 *οἶδεν πηλίκα Ma* 17 *ὑμῶν* om *VaB*

καὶ μέγιστον ἰσχυούσῃ τῇ πόλει στρατηγοῦντες καὶ τὸν δῆμον ἄγοντες καὶ τὸ μὲν ὄνομα τῇ δημοκρατίᾳ τηρήσαντες, τῷ δὲ ἔργῳ εἰς μίαν τὴν αὑτῶν ἀρχὴν μεταθέντες καὶ πόλιν ὅλην Λακεδαιμονίων εἰς τὸν φθόνον τὸν αὑτῶν κεκινηκότες καὶ ναυμαχίας νενικηκότες καὶ νήσους εἰληφότες ὅμως οὐ διέφυγον τὸ μὴ δοῦναι λόγον ἐν τουτοισὶ τοῖς δικαστηρίοις; οὐδὲ τοὺς βουλομένους κατηγορεῖν ἀπέστησε τῆς γραφῆς τὸ τῶν κριθησομένων ἀξίωμα, ἀλλ' ἔφευγον, ἠγωνίζοντο, ἀπελογοῦντο. 46. *ταχύ γ' ἂν οὖν ἔδεισαν τὴν πενίαν Σωκράτους καὶ τὴν τῶν δικανικῶν ἀγώνων ἀπειρίαν οἵ τὸν ποικιλώτατον τῶν ῥητόρων καὶ πολέμου καὶ εἰρήνης καὶ τῶν ὅλων κύριον κρίναντες. τί οὖν ἦν τὸ τῆς σιωπῆς αἴτιον; οὐ τὸ μὴ εἶναι τοὺς τὰ ἀδικήματα δρῶντας, ἀλλὰ τὸ τοῦτον νῦν τὸ συκοφάντου πρᾶγμα ποιεῖν. καὶ μὴν εἰ τὸ πολλάκις κεκρί-*

---

12 Periclem. cf. Thuc. II 65. Dem. p. 802, 18. Plut. Per. 35

---

1 *μέγιστον Ma* sed *μέγιστ* in ras m² | *καὶ* — 3 *τηρήσαντες* inserui ex *AthUVaB* cum Rog om *Ma* Mor Re 2 *τῆς δημοκρατίας Ath* 3 *τῷ δὲ ἔργῳ* scripsi auctore Sinteni Herm. I 470 *τὸ δὲ ἔργον* libri edd *πᾶν δὲ συνεργὸν* Iacobs Not 16 | *τὴν πόλιν ὅλην* e sequentibus ante *εἰς* inserendum coni Sintenis coll. Thuc. II 65, 6 | *αὑτῶν* scripsi cum Rog *αυτῶν U αὐτῶν* reliqui libri Mor Re 4 *ὅλην* delendum coni Sintenis | *τῶν* Nabero auctore inseruit Rog | *Λακεδαιμονίων* scripsi e *MaAthU* cum Rog *λακεδαιμόνων VaB* Mor Re 5 *αὑτῶν* scripsi cum Rog *αὐτῶν MaAth* et ex *αὐτὸν* corr *B*, Mor Re *αὐτὸν UVa* | *ναυμαχίας* scripsi ex *UVaB* cum Rog *ναυμαχίαν MaAth* Mor Re 10 *ταχύ γ' ἂν οὖν* scripsi *ταχὺ γοῦν* libri Mor Re *ταχύ γ' ἂν* auctoribus Gasda et Cobeto Rog | *"δεισαν* cum ras 1 litt *U ἤδεισαν Ath* 13 *καὶ τῶν* reposui e libris auctore Re cum Rog *τὸ τὸν* libri Mor Re *τὸν τῶν* Gasda 14 *τὸ* (1) inserui e *MaAthUB* cum Rog om *Va* Mor Re 15 *τὸ* om *Ath* | *τοῦτον νῦν*] *τὰ Ma* sed inser m², *UVaB* | *τὸ* scripsi *τοῦ Ma* sed *ῦ* in ras 2 litt m², *UVaB* om *Ath* edd 16 *πρᾶγμα* scripsi ex *Ath* auctore Cobeto cum Rog *πράγματα* reliqui libri Mor Re | *κεκρίσθαι* reposui e libris cum Rog *κεκρῖσθαι* Mor Re

σθαι τὸν φεύγοντα πρὸς τῶν κατηγόρων ἐστίν, ᾧ γε μήτε ταύτην μήτ' ἄλλην ἐπήνεγκεν αἰτίαν μηδὲ εἷς, πῶς οὐκ ἂν οὗτος τούτῳ πρὸ τῶν ἄλλων ἀποφεύγοι;

R III 17 47. | *Πολλῶν δὲ ἐνόντων εἰπεῖν τὸ μὲν ἁπάντων ἀτοπώτατόν ἐστι τὸν ἐν Λυκείῳ διατρίβοντα καὶ πάντα τὸν βίον ἐν τῷ διαλέγεσθαι καὶ ζητεῖν ἀνηλωκότα τῶν ῥητόρων αἰτεῖν γραφάς. ἴστε γὰρ δήπου τοῦθ' ὅτι τῶν τὰ κοινὰ πραττόντων καὶ ἐπὶ τὸ βῆμα ἀνιόντων καὶ γνώμας ἀγορευόντων καὶ ψηφίσματα γραφόντων τούτων ἐστὶ τὸ τοῖς τοιούτοις ἐπιχειρεῖν, οἳ τὸ δύνασθαι βλάπτειν τὸν δῆμον ἐξ αὐτοῦ τούτου τοῦ παρὰ τῷ δήμῳ δύνασθαι λαβόντες ἔχουσιν. εἰ δέ τις ἐν ταῖς παλαίστραις πρὸς τοὺς σοφιστὰς ἤ τινας ἄλλους τῶν ἀεὶ συγγινομένων περὶ τῶν ἀεὶ παραπιπτόντων φιλοσοφεῖ, πῶς ἂν οὗτος οἷός τε εἴη τὴν πολιτείαν μετακινεῖν;*

---

7 Dem. p. 1137, 6

---

1 *ᾧ γε* reposui e *MaAthUVa* auctore Re cum Rog *ὥς γε* *B* Mor Re 2 *μήτε Ma* | *μηδὲ εἷς* om *Ma* *μὴ δὲ B* 3 *ἀποφεύγοι* reposui e libris cum Rog *ἀποφεύγῃ* Mor Re 5 *ἀτοπώτατον* reposui ex *UVaB* auctoribus Iacobsio Lect 195 Not 16 et Sinteni cum Rog *ἀτοπώτατον* (supra: *ερον*) *Ma* *ἀτοπώτερον Ath* Mor Re *ἐρῶ* post *ἀτοπώτατον* inserendum coni Cobet Mnem. III 146 | *ἐστι* scripsi *ἐπὶ* libri edd | *λυκείῳ Ma* sed *κει* in ras m² *λυκίῳ AthUB* 7 *τὰς κατὰ* ante *τῶν* Cobeto auctore Rog | *αἰτεῖν* scripsi auctore Re *αἰτεῖ* libri edd *ἄγει* coni Gasda | *γὰρ* inserui e *MaAthUVa* cum Rog om *B* Mor Re *δὲ* coni Re 9 *ἀγορευόντων* scripsi auctore Re cum Rog *ἀναγορευόντων* libri Mor Re 10 *οἳ* scripsi ex *UVaB* auctore Iacobsio Lect 195 Not. 17 cum Rog *οἱ MaAth* Mor Re sed fortasse praeferendum *ὅτι* 11 *τούτου* inserui ex *AthUVaB* om *Ma* edd 12 „*circa ἔχουσιν deest aliquid, e. c. ἀφορμὴν τοῦ κακουργεῖν*“ Re 14 *παραπιπτόντων* scripsi coll t. IV 50, 21 R *περιπιπτόντων* libri *πιπτόντων* Mor Re qui *συμπιπτόντων* coni *προσπιπτόντων* auctore Cobeto Mnem. III 146 et Misc. 158 Rog *ἐμπιπτόντων* Sintenis 15 *τ'* Rog | *εἴη* reposui e libris cum Rog *ᾖ* Mor Re

48. *Τουτὶ μὲν οὖν, ὦ ἄνδρες, τοσοῦτον ὂν ἐῶ, ἐκεῖνο δ' αὐτὸν ἐρήσομαι· Σωκράτης ἐμίσει τὴν δημοκρατίαν, Ἄνυτε, καὶ τύραννον ἡδέως ἂν εἶδεν ἐφεστῶτα τῇ πόλει; τίνα τοῦτον; ἤ, πρὸς Διός, αὐτόν; ῥᾳδίως γ' ἂν ὁ ἄνθρωπος ἐμισθοδότησε δορυφόρους καὶ ξενικὸν συνεστήσατο καὶ πολλοὺς οἰκέτας ὥπλισεν.*

49. *Ἀλλ' αὐτὸς μὲν οὐκ ἐδεῖτο τοῦ σχήματος, ἑτέρους δ' ἐνῆκε. πάλιν τοίνυν ὥσπερ ἠδίκει μὴ πάλαι κρίνων Σωκράτην, ... εἰ γὰρ ὅσοι τούτῳ συγγεγένηνται διεφθαρμένοι τυγχάνουσι καὶ καταφρονεῖν ἐπαιδεύθησαν τῶν νόμων, τί μαθὼν οὐ πάντας ὑμῖν τούτους παρέδωκε; τί μὴ κατὰ πάντων ἀπενήνοχε* ¦ R III 18 *γραφάς; οὐ γὰρ δὴ τὸν μὲν παρακαλοῦντα πρὸς τὰ πονηρὰ δίκης ἄξιον νομιστέον, δι' ὧν δὲ τὰ ἔργα ἐπράχθη, τούτοις δὴ δεῖ πρᾴως ἔχειν. οὐδὲ γὰρ ἐν*

---

5 Dem. p 265, 13 8 Thuc. VI 29, 3 8 cf. p. 35, 12 sq.

---

1 *οὖν* inserui ex *AthUVaB* cum Rog om *Ma* Mor Re 5 *γὰρ ἂν* Iacobs Lect 195 | *ὁ ἄνθρωπος* scripsi ex *Ath* *ἀνθρώπους* *MaUVaB* Rog *ἄνθρωπος* Mor Re | *δορυφόροις* *Ath* 7 *οὐκ ἐδεῖτο* reposui e libris auctore Re cum Rog *οὐ δεῖτο* Mor Re 8 *ἐνῆκε* scripsi e *MaUVaB* coll Thuc. l. l. *ἐνῆγε* *Ath* edd | *ὥσπερ* delendum censuit Re *πῶς οὐκ* Iacobs Add 357 *οὗτος* Lect 195, *ὡς πάρος* Not 18 (at *πάρος* ab usu Libaniano abhorret) *ὡς πρότερον* Sintenis | *ἠδίκ* cum ras 2 litt *U* *ἡ δίκη* *Va* *ἀδικεῖ* Sintenis | *πάλαι* reposui e libris auctoribus Iacobsio et Sinteni cum Rog *πάλιν* Mor Re qui delendum censuit 9 post *Σωκράτην* lacunam indicavi cum Cobeto Mnem. III 146 qui *οὕτω καὶ νῦν ἀδικεῖ μόνον ἐξ ἁπάντων κρίνων Σωκράτην* excidisse coniecit 11 *τῶν νόμων* reposui e libris auctore Re cum Rog *τὸν νόμον* Mor Re | *παθὼν* Rog | *ὑμῖν* reposui e libris *ἡμῖν* edd 12 *ἀπενήνοχε* reposui e libris sed evanuit in *Ma* *ἐπενήνοχε* edd 13 *τὰς* ante *γραφάς* edd delevi 15 *ἂν* ante *ἐπράχθη* libri edd delevi auctore Gasda | *δὴ* inserui e libris om edd | *πράως* *UB*

τοῖς φονικοῖς νόμοις οὕτως ὁρῶμεν διῃρημένον, ἀφεῖσθαι μὲν αἰτίας τὸν δράσαντα, ἄγειν δὲ εἰς κρίσιν τὸν αἴτιον, ἀλλὰ τὸν ἀνδροφόνον προσειπὼν τούτῳ τὸν αἴτιον τοῦ φόνου προσέθηκε μιαρώτερον ἡγούμενος τὸν πράξαντα τοῦ πεπεικότος. 50. *ἀλλὰ νῦν ὁ μὲν πείθων ἀνελεῖν τοὺς νόμους Σωκράτης κρίνεται, τῶν δὲ ἐπιθησομένων τῇ τούτων καταλύσει λόγον οὐδεὶς ἀπαιτεῖται. καίτοι τὸν φάσκοντα τῶν νόμων φροντίζειν διὰ πάντων τῶν ⟨τῇ⟩ δημοκρατίᾳ δυσμενῶν χωρεῖν προσῆκεν, ἀλλ' οὐ τοὺς μὲν ὑπερπηδᾶν, ἑνὶ δὲ πολεμεῖν μόνῳ. δῆλον γὰρ ὅτι καὶ Σωκράτους ἀποθανόντος οἵ γε ὑπὸ τούτου διεφθαρμένοι κακοὶ περὶ ὑμᾶς ἔσονται. τίς ἂν οὖν ἰατρὸν ἀποδέξαιτο παντὶ μὲν ὀφείλοντα βοηθῆσαι τῷ σώματι, τηροῦντα δὲ ἐν τῷ πλείονι τὸ νόσημα;* 51. *εἰ μὲν οὖν Σωκράτην ᾔδει μὲν πονηρὸν Ἄνυτος οὑτοσί, πονηρῶν δὲ αὖ οὐκ ἠπίστατο διδάσκαλον, καλῶς ἂν ἐπὶ μόνον ᾔει· νῦν δὲ*

---

3 Dem. Aristocr. p. 631, 28; 632, 6; 630, 5; 232, 20
6 Aeschin. p. 87, 25 11 cf. p. 115, 9 sq. Plat. apol. p. 39 C sq

---

1 *φο νικοῖς* cum ras 1 litt post ο *Va* | *διειρημένον* auctore Cobeto Rog 3 *ἀλλὰ* — 4 *αἴτιον* om *Ma* | *ἀλλ' ὁ τῷ ἀνδροφόνῳ προειπὼν* auctore Gasda Rog 6 *Σωκράτης* auctore Cobeto cancellavit Rog 7 *ἐπιθησομένων* scripsi auctore Cobeto cum Rog *πεισθησομένων* libri Mor Re 7 *του ο* cum ras 1 litt ante et post ο *U* *τούτου* *Ath Va* 8 *τῶν νόμων* *Ma* sed *ν* finalia suprascr m² 9 *τῇ* inserui cum Rog om libri Mor Re 10 *ἀλλ' οὐ τοὺς* *Ma* sed *λ' οὐ τ* in ras m² | *ὑπερπηδᾶν* *Ma* sed *πη* in ras m² 13 *οὖν ἂν* *MaUVaB* 14 *δ'* Rog 15 *ᾔδει μὲν* scripsi ex *Ath* *μὲν ᾔδει* reliqui libri edd 16 *πονηρῶν* reposui e libris coll p. 33, 3 auctore Re cum Rog *πονηρὸν* Mor Re | *αὖ* scripsi ex *Ath* auctore Iacobsio Lect 195 App Pors 308 Not 18 cum Rog *αὐτὸν* reliqui libri *οὖν* Mor Re qui delendum censuit aeque atque Iacobsius Add 267 et Sintenis | *ᾔδει* coni Re 17 *δ' ἂν* Iacobs Add 267 Not 19 | *ἐπίμονον* *Ath* | *ᾔει* reposui e *MaUVaB* auctore Iacobsio cum Rog *εἴη* *Ath* Mor Re

τῆς νεότητος ὑμῖν, ὡς ὅδε φησί, διεφθαρμένης καὶ ποθούσης ἑτέραν πολιτείαν διὰ τοὺς τούτου λόγους κοινὴν ἔδει δήπου καὶ τὴν κατηγορίαν εἶναι. τοῦτο γὰρ ἂν ἦν θαρρεῖν ὑμῖν τελέως παρέχοντος, ἀλλ' οὐ ποιοῦντος τοὺς μαθητὰς χαλεπωτέρους τῷ τοῦ διδασκάλου θανάτῳ.

52. *Πόθεν οὖν Σωκράτης κρίνεται μόνος; ἐνεθυμήθη πρὸς αὑτὸν ὁ κατήγορος, ὅτι ταῖς μὲν πράγμασι καὶ ταῖς ἀληθείαις οὔτ' ἂν τοῦτον οὔτ' ἂν ἄλλον οὐδένα τῶν τούτῳ πεπλησιακότων ἕλοι, τὰ δ' ὄντα αὐτῷ κατὰ Σωκράτους οὐκ ἂν ὑπάρχοι κατὰ τῶν ἄλλων. ταῦτα δ' ἐστὶ τί; σοφιστὴς καλεῖται. πολλοῖς προσκέκρουκε. κεκωμῴδηται. τῶν εἰσφερόντων οὐκ ἔστιν. ἀλλ' οὐκ ἐπὶ τοὺς νέους ταῦτ' ἂν εἶχεν ἐφόδια. καθ' ὧν οὐκ ἐρρύησαν διαβολαί, τούτους ἔδεισεν ἐν δικασταῖς αἰτιάσασθαι, ἐπεὶ καὶ κατὰ τούτου ψευδέσι διαβολαῖς, οὐκ ἐλέγχοις πιστεύων διώκει.*

54. | *Σκέψασθε δέ. μισόδημος, φησίν, ἐστὶ* R III 19
καὶ τοὺς συνόντας πείθει τῆς δημοκρατίας καταγελᾶν. τί ποιῶν, Ἄνυτε, πρὸς θεῶν; λόγους συνθεὶς

9 Dem. p. 875, 7; 1041, 9; 1081, 13

1 *ὑμῖν* scripsi ex *AthUVaB* cum Rog *ἡμῖν Ma* *ἡμῶν* Mor Re | *ὅδε* inserui e libris cum Rog om Mor Re 3 *ἔδει Ma* sed *"δ* in ras m² 4 *ὑμῖν* reposui ex *AthUVaB* cum Rog *ἡμῖν Ma* sed *η* in ras, Mor Re | *τελέως* scripsi e *MaUVaB* cum Rog *τελείως Ath* Mor Re 5 *ποιοῦντας B* 8 *αὑτὸν* scripsi ex *UB* auctore Sinteni cum Rog *αὐτὸν MaAthVa* Mor Re 9 *ταῖς ἀληθείαις* scripsi e *Ma* sed *ει* inser m², *UVaB* *τοῖς ἐκ τῆς ἀληθείας Ath* Mor Re *τῇ ἀληθείᾳ* e Par 3017 Rog 9 *ἂν* (2) om *B* 10 *αὐτῷ* scripsi *αὑτῷ* libri edd 11 *ὑπάρχοι* reposui e libris auctore Re cum Rog *ὑπάρχει* Mor Re . 14 *ταῦτ'* scripsi ex *UVaB* cum Rog *ταῦτα MaAth* Mor Re | *δ' ἂν Ma* 15 *δ'* ante *οὐκ* inser Rog delevi | *τούτους* reposui e libris cum Rog *τοῦτ'* Mor Re 20 *λόγους* scripsi ex *AthUVaB* *λόγον Ma* edd

ἀνέγνω τοῖς ἑταίροις κατὰ τῆς δημοκρατίας; ἀλλ' οὐκ ἔγραψε μὲν οὐδὲ ἀνέγνω. εἶπε δὲ ἀπὸ στόματος οὗτος ὡς δεῖ μεθιστάναι τὴν πόλιν; ἤκουσέ τις αὐτοῦ λέγοντος μικρὰν μὲν γεγονέναι τὴν πόλιν νόμοις διοικουμένην, εἶναι δ' ἂν μεγάλην, εἰ τυράννων ἐξουσίαις ἤγετο; ποῖον Λύκειον τοιούτους ἐδέξατο λόγους; ποία παλαίστρα; ποῖον ἐργαστήριον; 54. *καίτοι τί τὸ κωλύον ἦν ἐπὶ μοναρχίαν προτρέπειν ἀποκεκαλυμμένως καὶ μηδὲν παραλιπεῖν ⟨εἰπεῖν⟩ ὧν εἰκὸς τὸν ἐρῶντα μεταστάσεως; εἰ μὲν γὰρ ὑφεωρᾶτο κίνδυνον ἐκ τῶν λόγων, ὅλως ἂν ἐσίγα ταῦτα δι' ἅπερ νῦν κρίνεται· νομίζων δ' ἐν φίλοις τοῖς ἀκροωμένοις ἐρεῖν, ἧκεν ἂν ἐπὶ γυμνὴν τὴν παραίνεσιν, ἐπῄνεσεν ἂν Πεισίστρατον, ἐθαύμασεν ἂν Ἱππίαν, ἠγάσθη ἂν Ἵππαρχον, ἐκάλεσεν ⟨ἂν⟩ εὐδαιμονίαν τῶν Ἀθηνῶν ἐκεῖνον τὸν χρόνον.* 55. *οὗτος τῶν συμβουλευόντων ὁ τρόπος διαρρήδην εἰπεῖν ἃ φρονεῖ τις, πάντα φθέγξασθαι λόγον, πᾶν ᾧ*

7 cf. t. III 74, 17 13 Plat. Theag. p. 124 D

1 *ἀνέγνω τοῖς Ma* sed *ω τοῖς* in ras m² | *ἑταίροις* reposui e libris auctore Re cum Rog *ἑτέροις* Mor Re | 1 et 3 ; posui e *B* auctore Sinteni . reliqui libri edd 2 *οὗτος* scripsi *οὕτως* libri edd 3 *ὡς* delendum censet Sintenis 3 *δεῖ* scripsi e *MaUVaB* auctore Re cum Rog *δεῖν Ath* Mor Re quod ut infinitivum Boissonadius Aen. Gaz. 204, ut participium Usener annal. philol. 1872, 741 defenderunt 5 *δ' ἂν* reposui e libris auctore Cobeto Mnem. III 147 cum Rog *δὲ* Mor Re 6 *λύκιον MaAthUB* 7 *κωλῦον* Rog at cf. ad t. I 166, 13 8 *ἀποκεκαλυμμένως* scripsi ex *UVaB* cum Rog cf. ad t. I 101, 24 *ἀποκεκαλυμμένων Ma ἀποκεκαλυμμένον Ath* Mor Re 9 ⟨*εἰπεῖν*⟩ inserui coll t. II 18, 6 om libri edd 12 *δ'* scripsi e *MaUB* cum Rog *δὲ AthVa* Mor Re | *ἧκεν ἂν* reposui e libris auctore Gasda *οὐκ ἂν ἦν* Mor Re *οὐκ ἂν ἧκεν* Rog *οὐκ ἂν ᾔει* Iacobs Add 267 *οὐκ ἂν ᾔειν* Sintenis 13 *ἐπῄνεσιν Ma* sed *ε* (3) ex *α* corr m² *ἐπήνεγκεν Ath* 14 *ἂν* (2) scripsi *τὸν* libri Mor Re *ἂν τὸν* Rog 15 *ἂν* inserui cum Rog om libri Mor Re 17 *φρονεῖν Ma* | *ᾧ* scripsi auctore Re *ὃ* libri edd

μέλλει πείσειν προσαγαγεῖν, ἡσθῆναι πείσαντα, χαλεπῶς ἐνεγκεῖν ἁμαρτόντα. ὧν οὐδὲν ἂν ἔχοι δεῖξαι πεποιηκότα Σωκράτην ὁ φάσκων αὐτὸν συμβεβουλευκέναι τοῖς νέοις ζητεῖν ὅπως ἡ πόλις δουλεύσει. 56. *εἰκὸς δ' ἦν, ὦ ἄνδρες, καὶ εἰ σφόδρα τὴν πρώτην ἐδεδοίκει τὸ τῆς συμβουλῆς σαφὲς καὶ διὰ τοῦτο οὕτως ἔλεγεν ἐπικρυπτόμενος, ὥστ' ἄδειαν εἶναι μὴ πείσαντι, χρόνου γε προϊόντος καὶ τοῦ πράγματος τοῖς νέοις οὐκ ἀπαρέσκοντος τολμῆσαι καὶ φανερῶς εἰπεῖν. ἢ νέους* | R III 20 *μὲν ἐν τῷ δήμῳ λέγοντας οὐδὲ τοῦ θορύβου τὸ μέγεθος ὧν ἐσπουδάκασιν ἀφίστησιν, ἀλλὰ πᾶν ὑπομένουσιν ἐπὶ τῷ τὸ δοκοῦν αὐτοῖς καταστῆσαι κύριον, Σωκράτης δὲ καθ' ἡσυχίαν ἐξὸν τοὺς ἀκροωμένους λαβεῖν ἀντιλέγοντος οὐδενὸς προὐδίδου τὴν ἐπιθυμίαν τὴν αὑτοῦ δίκαιον οὐκ ἔχων λόγον;* 57. *τὸ δὲ πάντων μέγιστον, μετέπεσε δὶς ἡμῖν ἤδη τὸ σχῆμα τῆς πολιτείας Σωκράτους ἐπιδημοῦντος καὶ ὄντος Ἀθήνησι,*

---

1 *προσαγαγεῖν* scripsi cum Rog *προσάγειν* libri Mor Re 2 *ἁμαρτόντα* reposui e *MaUVaB* auctore Re cum Rog *ἁμαρτόντος Ath* Mor Re 2 *ἔχοι* reposui e libris cum Rog *ἔχῃ* Mor Re 4 *τοῖς νέοις ζητεῖν* reposui e *MaUVaB* *ζητεῖν τοῖς νέοις Ath* edd | *δουλεύσει* scripsi cum Gasda *δουλεύσῃ MaAth* Mor Re *δουλεύσαι UVa* *δουλεῦσαι B* *δουλεύσοι* Rog 5 *τὴν πρώτην* scripsi auctoribus Iacobsio Add 267 Lect 195 Not 19 et Cobeto Mnem. III 147 cum Rog *τὴν πόλιν* libri Mor Re qui delenda censuit aeque atque Sintenis 6 *διατοῦτο Ma* | *οὗτος* Mor 9 *φανερῶς* reposui e libris cum Rog *φανερὸν* Mor Re 12 *τῷ* scripsi e *MaAthB* auctore Re cum Rog *τοῦ UVa* Mor Re | *αὑτοῖς* scripsi *αὐτοῖς* libri edd | *σωκράτην MaU* *σωκράτη VaB* 14 *προὐδίδου* scripsi e Par 3017 auctore Gasda cum Rog *προυδίδουν* reliqui libri *προὐδίδει* Mor Re | *τὴν* om *B* 15 *αὑτοῦ* scripsi cum Rog *αὐτοῦ* libri Mor Re | *ἔχων* scripsi auctoribus Sinteni et Hefermehlio *ἔχοντα* libri edd 16 *μετέπεσεν ἡμῖν δὶς UVaB* | *ἤδη* om *AthUB*

τοῦτο μὲν μετὰ τὴν ἐν Σικελίᾳ συμφοράν, τοῦτο δὲ μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ἀτυχίαν. ἔστιν οὖν εἰπεῖν, ὅτι μετέσχεν ἀνὴρ τῆς τῶν τετρακοσίων ὀλιγαρχίας ἢ τῆς τῶν τριάκοντα παρανομίας; τὸν Πείσανδρον ἐμιμήσατο; μετὰ Θηραμένους ἐξήτασται; τῷ Φρυνίχῳ ταὐτὰ ποιῶν ὤφθη; 58. ἀλλ' οὐκ ἔδειξεν αὑτὸν ἐν μέσῳ, λάθρα δὲ τὸ πρᾶγμα συνέθηκεν ὡς ἄν ⟨τις⟩ ὄχλῳ μὲν οὐκ εἰωθὼς χρῆσθαι, τῶν δ' αὐτῶν ἐκείνοις ἐπιθυμῶν; ἑτέρου ταῦτα ἦν τοῦ καὶ τῶν τετρακοσίων ἑνὸς καὶ λόγον ὕστερον ὧν ἔδοξεν ἀδικεῖν δεδωκότος. Σωκράτης δὲ οὔτε φυομένου συνεφήψατο τοῦ πράγματος οὔτε ἀκμάζοντος ἐκοινώνησεν οὔτε πεπραγμένου κέκριται. 59. οὐ μὴν οὐδὲ τερπόμενός γε ἐφάνη ποτὲ τῇ μεταστάσει καὶ συνευχόμενος τοῖς ἔχουσι τὴν ἀρχήν, ὡς ἄν τις δειλίᾳ μὲν φεύγων τὴν κοινωνίαν, πονηρίᾳ δὲ χαίρων τῷ κακῶς πάσχειν τὸν δῆμον. οὐ τοίνυν οὐδὲ τῶν τριάκοντα ἦν οὔτε συνάρχων οὔτ'

---

1 Thuc. VIII 1; 63. Diod. Sic. XIII 36   4 Thuc. VIII 53 et 54   5 Thuc. VIII 54 | Dem. p. 376, 9 | Thuc. VIII 68   9 Antiphontis cf. Thuc. VIII 68

---

3 *μετέσχεν ὅτι Ma* | *ἀνὴρ* Rog auctore Gasda qui *ὁ ἀνὴρ* vel *ἀνὴρ* melius scribi dixit at cf. ad p. 34, 6   4 *τῆς* inserui e libris auctore Sinteni cum Rog om Mor Re   5 *μετὰ Θηραμένους* scripsi auctore Re cum Rog *μετ' ἀραμένους* libri *μετὰ 'Ραμένους* Mor Re   6 *ταὐτὰ* reposui e *MaUVaB* auctore Re cum Rog *ταῦτα Ath* Mor Re | *αὑτὸν* scripsi ex *UVa* cum Rog *αὐτὸν MaAthB* Mor Re   7 *ἂν* scripsi auctore Re *ἐν* libri Mor Re quod del Rog | *τις* inserui coll l. 15 om libri edd   8 *εἰωθὼς* reposui e libris auctore Re cum Rog *εἰωθὸς* Mor Re | *χραίνεσθαι* Iacobs Lect 195 Not 20 secundum Eur. Or. 919 | *ἐπιθυμιῶν.* Sintenis   11 *δ'* Rog | *τοῦ πράγματος συνεφήψατο UVaB*   12 *οὔτ' UB* Rog   13 *γ'* Rog   15 *μὲν* inserui e libris cum Rog om Mor Re   16 *ἐπιχαίρων* coni Rog

ἐπαινέτης, ἀλλ' οὕτως οὐκ ἤρεσκον ἀλλήλοις, ὥσθ' ὁ μὲν κατηγόρει τῶν ὑπ' ἐκείνων πραττομένων, Κριτίας δὲ ὁ μαθητής τε καὶ φίλος σιγῆς ἐτιμᾶτο τῷ διδασκάλῳ. ἔστιν οὖν ὅπως ⟨ἂν⟩ ἄνθρωπος τυραννικὸς ἀποῦσαν μὲν κατασκευάζοι τὴν τυραννίδα, παρούσῃ δὲ ἄχθοιτο, καὶ εὔχοιτο μὲν ἂν ἰδεῖν ἄκυρον τῶν πραγμάτων τὸν δῆμον, ὁρῶν δὲ λυποῖτο; | 60. ποῦ R III 21 τοίνυν ὁ τυραννοδιδάσκαλος; ἐπίδειξον. ἄγων τοὺς νέους ἧκε παρὰ τὸν Δρακοντίδην καὶ Χαρικλέα καὶ Μηλόβιον καὶ τοὺς ἄλλους καὶ παράδειγμα βίου καλλίστου τούτους ἐκέλευσεν ἡγεῖσθαι, καὶ τῶν μὲν ἐδεήθη μεταπέμπεσθαι τοὺς νεανίσκους, τοῖς δὲ παρῄνεσεν εἰς ἐκείνους βλέπειν καὶ σκοπεῖν ὅπως διαδέξονται τὴν τυραννίδα; 61. καὶ τούτων ἂν ἐπιδείξῃ ⟨τι⟩ τήμερον

2 Xen. comm. I 2, 32 sq.; IV 4, 2. Plat. apol. p. 32 D 3 cf. p. 99, 6; 123 not. 1 6 Plat. Theaet. p. 169 E. Dem. p. 700, 16; 732, 10 8 Plat. Theag. p. 125 A 9 sq. Xen. Hell. II 3, 2 14 cf. p. 20, 15

1 *ἐπαινέτης* reposui e libris cum Rog *ἐπαινετής* Mor Re 2 *κατηγόρει* scripsi auctore Re cum Rog *κατηγορεῖ* libri Mor Re | *ἐκείνοις πραγμάτων Ma* 3 *σιγῆς* scripsi auctore Cobeto Mnem. III 147 cum Rog *τιμῆς* libri Mor Re *τῆς ἐσχάτης τιμωρίας* coni Re *ποινῆς* Iacobs Lect 195 Not 20 *τιμήματος* Gasda 4 *ἂν* inserui auctore Sinteni ante *ἄνθρωπος*, ante *τὴν* auctore Gasda Rog om libri Mor Re 5 *κατασκευάζοι* scripsi auctore Re cum Rog *κατασκευάζων* libri *κατασκευάζει* Mor Re | *δ'* Rog 6 *ἄχθοιτο*] *εὔχοιτο Ma* | *καὶ εὔχοιτο* scripsi auctore Cobeto om libri *καὶ τέρποιτο* edd quo servato *ἐλπίζων* ante *τὸν* inserendum coni Gomperzius Krit. Beitr. VII (Rel. acad. Vind. 1900 t. CXLIII) 13 7 *ποῦ* scripsi e *MaAthUB* cum Rog *πῶς Va* Mor Re 8 *τύραννος διδάσκαλος Ma* signum interrogationis post *τυραννοδιδάσκαλος* posui ex *Ath*, colon *B*, comma reliqui libri Mor Re, nullum signum Rog | *ἐπιδείξων Ma* 9 *Περικλέα* e Par 3017 Rog 10 *καὶ* ante *καλλίστου Ath* 13 *διαδέξονται* scripsi cum Rog *διαδέξωνται* libri Mor Re 14 *καὶ τούτων* reposui e *MaU VaB* *τοῦτον Ath* Mor Re qui *τοιοῦτον* coni *τοῦτο* Sintenis

Ἄνυτος, δίκαιός ἐστι κατήγορος ⟨καὶ⟩ κήδεται τῆς πόλεως, εἰ καὶ βραδέως. εἰ δ' ἀπὸ μὲν καιρῶν ἱκανῶν δεῖξαι φύσιν τυραννικὴν οὐκ ἂν δύναιτο τὸν ἄνθρωπον ἐλέγχειν, αἰτίας δὲ συναγαγὼν οὐκ οὔσας παροξύνει τοὺς ὀμωμοκότας, μὴ λανθανέτω μετὰ Σωκράτους ἀδικῶν οὓς ἐπιορκεῖν ἀναγκάζει.

62. Τί οὖν ἐστι δι' ὃ γράψασθαι τετόλμηκε καὶ οὕτω τεθαρρηκότως τηλικαύτην αἰτίαν ἐπήνεγκεν; Ἡσιόδου, φησίν, [ἔπη] καὶ Θεόγνιδος καὶ Ὁμήρου καὶ τῶν Πινδάρου μελῶν, τοὺς δὲ ποιητὰς τούτους καὶ δόξης καὶ τιμῶν τετυχηκέναι παρά τε τοῖς ἄλλοις καὶ ἡμῖν, τούτων, φησί, τῶν ἀνδρῶν ἐπιλαμβάνεται καὶ τῶν εἰρημένων οὐκ ὀλίγα δείκνυσι πονηρῶς ἔχοντα. 63. πρᾶγμα ποιῶν, Ἄνυτε, πολλῆς ἐξουσίας, ἐπεὶ καὶ ἐμοὶ καὶ σοὶ καὶ τοῖς πολίταις ἅπασι καὶ τοῖς ξένοις καὶ νέοις καὶ πρε-

---

8 sq. cf. p. 3 et Xen. comm. I 2, 56 sq.

τοῦτ' Cobet *τοῦτό γ'* Iacobs Not 21 *τούτων* auctore Gasda Rog | *τι* inserui auctore Gasda cum Rog om libri Mor Re 1 *καὶ* inserui auctore Iacobsio Not 21 cum Rog om libri Mor Re 4 „*malim παροξύνεις*" Re cui oblocuti sunt Iacobs Add 146 et Gasda 5 *ὀμωμοκότας* libri sed ' in ' corr Ma^2 6 *ἀναγκάζει* reposui ex *AthUVaB* auctore Cobeto cum Rog *ἀναγκάζεται Ma* Mor Re 7 *διὸ Ath* 8 *οὕτω* scripsi e *Ma UVaB* cum Rog *οὕτως Ath* Mor Re 9 *ἔπη* cancellavi ut ortum ex antecedenti *ἐπήνεγκεν* auctore Hefermehlio post *ἔπη* aliquid deesse suspicatus est Re, negavit Iacobsius Not 21 anacoluthiam statuens 11 *τετυχηκέναι Ma* sed *τετυχη* in ras m^2 12 *ὑμῖν AthUVaB* Rog | *τούτων, φησί* scripsi *φησι τούτων* libri edd 13 *καὶ* inserui e libris auctore Morello cum Rog om Mor Re | *τῶν ⟨ὑπ' αὐτῶν* vel *αὐτοῖς⟩ εἰρημένων* coni Re 14 *δεικνὺς* coni Iacobs Add 133 Lect 195 Not 21 et Sintenis | *πράγματα Ath Va πραγμα* cum ras 2 litt *U* 15 *ἐπεὶ* inserui e libris cum Rog om Mor Re qui *καὶ γὰρ ἐμοὶ* coni

σβυτέροις καὶ τῷ βουλομένῳ δέδοται παρὰ τῶν νόμων κατὰ τὸ παριστάμενον μνησθῆναι τῶν ποιητῶν. ὁ μὲν ἐπήνεσεν, ὁ δὲ οὐκ ἠβουλήθη. κρίνεται δὲ οὐδέτερος, οὐδ' εἰ τῆς ἀληθείας ἑκάτερος ἀποτυγχάνοι. ὥσπερ γὰρ τοῖς ἄγαλμα θεωμένοις ἔξεστι τοῖς μὲν θαυμάσαι, τοῖς δὲ οὔ, καὶ μέμψασθαί | τι τῶν μερῶν, εἰ δὲ βούλοιτό τις, καὶ τὸ πᾶν, οὕτω καὶ περὶ τῶν ποιημάτων καὶ τῶν καταλογάδην συγγραμμάτων οἱ μὲν τὴν ἀμείνω ψῆφον, οἱ δὲ τὴν ἑτέραν φέρουσι. καί, νὴ Δία γε, τὸν αὐτὸν ἂν εὕροις ἃ τήμερον ᾠήθη χρηστὰ μετὰ ταῦτα ὕστερον ἄλλης ἀξιοῦντα δόξης. τὸ γὰρ πολλάκις ἐξετασθὲν μᾶλλον ἔδειξε τῷ βασανίζοντι τὴν φύσιν. κἂν ἄγῃ τις εἰς δικαστήριον δώσοντα δίκην τὸν ἃ πρὶν ἐπήνεσε ψέγοντα, γέλως ἂν εἴη. R III 22

64. *Ἀλλὰ πῶς δεῖ ποιεῖν; βοηθεῖν λόγῳ τοῖς ἐγκαλουμένοις ἀπ' αὐτῆς τῆς περὶ τῶν ἐπῶν φιλονεικίας*

---

2 Luc. Char. 13 8 Isocr. p. 16 B

---

1 *δέδοκται Ma* | *κατὰ τὸν νόμον* e Par. 3017 Rog 2 *κατὰ*] *καὶ Ath* | *κατὰ τὸ* in ras *Ma*[2] | *καὶ* ante *ὁ* inserendum coni Iacobs Not 22 3 *ἐβουλήθη UVaB* 4 *ἀποτυγχάνοι* reposui e libris *ἀποτυγχάνει* edd *ἀποτυγχάνῃ* coni Re 5 *τοῖς* (1) reposui e *MaUVaB* auctore Iacobsio Not 22 cum Rog *τὸ Ath* Mor Re *τι* coni Sintenis 7 *τι UVaB* | *περὶ* scripsi *ἐπὶ* libri edd 8 *συγγραμμάτων οἱ* scripsi cum Rog *συγγραμμάτων· οἱ* libri Mor Re 10 *ἂν* inserui auctore Iacobsio Add 16 Lect 196 Not 22 cum Rog post *αὐτὸν*, post *εὕροις* Sintenis | *εὕροις* reposui e *Ma* auctoribus Iacobsio et Sinteni cum Rog *εὕρῃς Ath* Mor Re om *UVaB* | *μεταταῦτα B* 12 *τὴν φύσιν τῷ βασανίζοντι UVaB* 13 *τὸν δώσοντα Ath* 14 *γέλως* reposui e libris auctore Re cum Rog *γέλωτος* Mor Re qui etiam *γέλωτος ἄξιος* coni *γελαστὸς* Iacobs Add 16 Lect 196, *καταγέλαστος* vel *γελοῖος* Not 22 *γελῷος* Gasda 15 signum interrogationis inserui cum Rog, colon *B* om reliqui libri Mor Re 16 *ἀπ'* scripsi auctore Re cum Rog *ἐπ'* libri Mor Re | *τῆς περὶ* om *Ma* | *τὰ ἔπη* coni Re | *φιλονεικίας* reposui e libris *φιλοτιμίας* edd

καὶ τὸν ἐπιτιμῶντα μωραίνοντα ἐλέγχειν. αὕτη γὰρ ἱκανὴ τοῖς φιλοσοφοῦσι δίκη, τὸ δὲ κρίνειν καὶ τίμημα θάνατον ἐπάγειν ἐπ' ἄλλοις τέτακται. γνοίητε δ' ἂν ἐκείνως μᾶλλον τὴν ἀτοπίαν. 65. *ἠγωνίσατό ποτε Ὁμήρῳ Ἡσίοδος καὶ τοῦτο αὐτὸς Ἡσίοδος ἐν ἐπιγράμματι διδάσκει φιλοτιμούμενος καὶ λέγων νενικηκέναι τὸν Ὅμηρον. οὐκοῦν εἰ μὲν ἁπάσαις Ἡσίοδος ἐνίκα, πάντες δήπου ληρεῖν ἡγοῦντο τὸν Ὅμηρον· εἰ δ' οἱ μὲν τοῦτον ἡγοῦντο βελτίω, παρὰ δὲ τοῖς πλείοσιν εὐδοκίμει τὰ τοῦ Ἡσιόδου, τῶν οὐκ ἐπαινούντων ἑκάτερος ἐτετυχήκει καὶ δῆλον ὡς τοῦ συλλόγου διαλυθέντος οἱ μὲν τούτῳ θέμενοι τὸν Ἡσίοδον ἐκάκιζον, οἱ δὲ ἐκείνῳ τοῦτον. αὐτοῖς γὰρ οὕτω γε ἐβοήθουν ἄν.* 66. *εἶπεν οὖν τις τῶν τὰς ἱστορίας συντεθεικότων, ὅτι δίκην τις ἔδωκεν ἐν Χαλκίδι διὰ τὸν Ἡσιόδου ψόγον ἢ τὸν Ὁμήρου; οὐδείς. πῶς οὖν οὐ δεινὸν τοῖς μὲν πάλαι τῶν ποιητῶν αὐτῶν λεγόντων ἀκηκοόσιν*

---

5 Cert. Hes. et Hom. 205 p. 444 ed. Rzach 12 cf. ad t. II 272, 14

---

1 *αὕτη* reposui e libris auctoribus Iacobsio Lect 196 Not 22 et Sinteni *αὐτὴ* Mor Re *αὐτὴ* Rog 2 *καὶ* om *Ma* 3 *θάνατον ἐπάγειν* scripsi ex *AthUVaB* *ἐπάγειν θάνατον Ma* edd | *γνοίητε* reposui e libris auctore Re cum Rog *γένοιτο* Mor Re | *δ'* scripsi e libris cum Rog *δὲ* Mor Re 5 *καὶ — Ἡσίοδος* om *Ma* | *ἐπιγράμμασι B* 7 *οὐκοῦν* scripsi e *MaUVaB* cum Rog *οὐκ οὖν Ath* Mor Re 8 *ἡγοῦντο* scripsi e *B* auctoribus Sinteni Gasda Cobeto cum Rog *ἡγοῖντο MaAthUVa* Mor Re 10 *εὐδοκίμει* reposui e *MaUVaB* auctore Re cum Rog *εὐδοκιμεῖ Ath* Mor Re 14 *τις* scripsi e *MaB* cum Rog *τίς AthUVa* Mor Re 15 *τις* scripsi e *B* cum Rog *τίς* reliqui libri Mor Re 16 *ὅμηρον AthUVaB* 17 *ἀκηκοόσιν* scripsi e Par 3017 auctoribus Iacobsio Lect 196 Not 22 et Cobeto cum Rog *ἀκηκοότων* reliqui libri Mor Re

ἐξεῖναί τι καὶ ἐπιτιμῆσαι, τῶν δ' ὕστερον τοὺς οὐ χρηστόν ⟨τι⟩ παρ' ἐκείνοις δρῶντας ἢ σιγᾶν ἢ ἀπολωλέναι; 67. *Σοφοκλῆς | δέ, ὦ πρὸς Διός, καὶ Εὐρι-* R III 23 *πίδης καὶ Αἰσχύλος ἆρά σοι δοκοῦσιν οὐκ ἂν εἰκότως ἐν σοφοῖς ἀριθμεῖσθαι; καὶ τίς οὐκ ἂν συνεύξαιτο τοῖς αὑτοῦ παισὶ τὸ φανῆναι τοῖς Ἕλλησιν ἐν Διονυσίοις; οὐδεὶς οὖν τῶν τεθεαμένων ἀπελθὼν ἐπελάβετο τῶν ἰαμβείων; οἱ δὲ καὶ λεγομένων ἔτι μυρίοι· καὶ μέλει γε αὐτοῖς οὐδέν, εἰ δήξονται τοὺς ποιητάς. ἡ δέ γε κωμῳδία τὸ πλεῖστον τῆς ἡδονῆς ἐκ τοῦ κακῶς λέγειν τὰς τραγῳδίας εἰσφέρεται.* 68. *εἶτ' ἂν μὲν Ἀθηναίων τοὺς δοκοῦντας παιδείᾳ διαφέρειν φῇ τις ἐν οἷς ποιοῦσιν ἁμαρτάνειν, ἀνεύθυνος· ἂν δ' Ἀθηναίων τις πρὸς τοὺς πρεσβυτέρους ταὐτὸ τοῦτο ποιῇ, κριθήσεται; καὶ Σωκράτην μὲν ἐξῆν Ἀριστοφάνει κωμῳδεῖν καὶ πᾶς ὁ μετὰ ταῦτα χρόνος ἕξει τὰ σκώμ-*

---

3 Dem. p. 854, 7 15 Plat. apol. p. 19 B sq.

---

1 *τῶν*] *τοὺς Ma τοῖς UVaB* | *οὐ χρηστόν*] *ἄχρηστόν* Iacobs Add 133 Lect 196 App Pors 321 Not 22 2 *τι* inserui auctoribus Re et Iacobsio cum Rog om libri Mor Re 4 *δοκοῦσιν* reposui e libris cum Rog *δοκοῦσι* Mor Re | *ἂν* del Sintenis 5 *ἂν* inserui e *MaAthUB* auctoribus Re et Sinteni cum Rog om *Ath* Mor Re | *εὔξαιτο* Iacobs Add 358 Lect 196 Not 23 Anth Pal III 84 at cf t. IV 470, 5 6 *αὑτοῦ* scripsi cum Rog *αὐτοῦ* libri Mor Re | *τὸ φανῆναι* scripsi e *MaVaB* cum Rog *τῷ φανῆναι AthU* Mor Re qui *οὕτω σοφοὺς φανῆναι* coni *οὕτω φανῆναι* Iacobs Add 358 Not 23 Anth Pal III 84 *τοιούτους φανῆναι* Lect 196 *ἴσους φανῆναι* olim conieci Mus. Rhen. XXXII 96 *στεφανωθῆναι* Sintenis 8 *μυρίοι* scripsi ex *UB* cum Rog coll t. III 285, 6 *μύριοι AthVa* Mor Re *μυρίων Ma* 9 *μέλει* scripsi e *Ma* auctore Re cum Rog *μέλλει AthU* sed in hoc prius *λ* eras, *Va* Mor Re *μέλλοι B* 12 et 14 *τίς B* 15 *Ἀριστοφάνει* reposui ex *UVaB* auctore Re cum Rog *ἀριστοφάνη Ma* sed *η* paene evanuit *ἀριστοφάνῃ Ath* Mor Re 16 *μεταταῦτα B*

ματα, γέγραπται γάρ, καὶ ὁ τὰ γεγραμμένα ἐξαλείψων οὐκ ἔσται· Σωκράτει δὲ οὐ δώσομεν ἐλέγχειν Ὅμηρον ἤ τινα ποιητὴν ἕτερον καὶ ταῦτα οὐ φυλαττομένων βιβλίῳ καὶ γραφῇ τῶν ἐλέγχων; εἰ γὰρ ἐκεῖνα νόμῳ Διονυσίων γεγένηται, καὶ ταῦτα κοινῷ νόμῳ τῶν ἀνθρώπων εἴρηται, καθ᾽ ὃν ποιητῶν καὶ λογογράφων δοκιμαστής ἐστι τῶν ἐντυγχανόντων ἕκαστος. 69. οὕτως ἐπιλαμβάνεται Πινδάρου Σωκράτης, ὡς σὺ Σωκράτους, μᾶλλον δὲ οὐχ οὕτως. ὁ μὲν γὰρ δικαίως, σὺ δὲ ἀδίκως, καὶ ὁ μὲν βλάπτοντος, σὺ δὲ ὠφελοῦντος, ἀλλὰ
R III 24 τό γε ⟨πρᾶγμα⟩ τῆς | αὐτῆς ἐξουσίας. πῶς οὖν οὐκ ἄνισον αὐτὸν μὲν ἀξιοῦν ψέγειν τῶν πολιτῶν τοὺς λόγους, τῶν δὲ πολιτῶν μηδενὶ τὰ τῶν ἄλλων ἐπιτρέπειν εἰς ἐξέτασιν ἄγειν, ὥσπερ νόμῳ φύσεως ἠναγκασμένον τοὺς μὲν ἐκ Βοιωτίας ἢ οὐκ οἶδ᾽ ὁπόθεν σοφίᾳ διαφέρειν, τοὺς δὲ τῆς Ἀθηνᾶς τροφίμους ἀμαθίᾳ συνοικεῖν; καίτοι τοὐναντίον ἐδόκει τὸν ἔμπροσθεν χρόνον. σὺ δὲ οὐκ ἐᾷς. 70. καὶ μὴν εἰ τὸ τῶν ἐπῶν κατηγορεῖν ἕν τι τῶν ἀδικημάτων ⟨ἦν⟩, ἦν ἂν καὶ περὶ τούτου νόμος, ὥσπερ ἀμέλει καὶ περὶ

---

6 Thuc. I 21

---

1 γάρ reposui e *MaUVaB* auctore Re cum Rog δὲ *Ath* Mor Re | τὰ γεγραμμένα scripsi τὸ δρᾶμα *UVa* τὸ δράμα *AthB* τὸ πρᾶγμα *Ma* Mor Re τὸ γράμμα e Par 3017 Rog | ἐξαλείψων scripsi auctore Cobeto cum Rog ἐξαλείφων libri Mor Re 9 δ᾽ bis Rog | οὕτως reposui e libris οὕτω edd | σὺ δὲ in ras *Ma*² 11 πρᾶγμα inserui om libri edd sed „*aut* ἀλλὰ τό γε ἔργον τῆς αὐτῆς ἐξουσίας *aut* τό γε τῆς ἐξουσίας ταὐτὸ" Re ἀλλ᾽ ἀπό γε τῆς αὐτῆς ἐξουσίας auctore Iacobsio Not 23 Rog | οὖν om *UVaB* 15 ἢ τοὺς *Ath* | οὖν ante ἐκ Mor del Re 17 καίτοι] οὐ *Ath* 18 δ᾽ Rog | ἐᾷς; *Ma* 19 ἦν inserui auctore Iacobsio Not 24 cum Rog om libri Mor Re 20 τουτονὶ *U* sed post ο (2) ras, *VaB* | μῶμος *AthU* sed in hoc in νομος corr, *VaB* | παρὰ *Ath*

τῶν ἄλλων ἀδικημάτων, οἷον ὁ μέν τις λέγει μὴ δωροδοκεῖν, ὁ δὲ μὴ τύπτειν, ὁ δὲ μὴ λωποδυτεῖν. καὶ τῶν ἄλλων ὅπως ἀπεχώμεθα, γέγραπται τιμωρία καθ' ἑκάστων· ἀλλ' οὐκ ἐὰν ἐπιλαμβάνηταί τις τῶν παλαιῶν ποιητῶν, ἀποθνησκέτω τῶν νόμων οὐδαμοῦ γέγραπται. ἀλλ' οὐδὲ ἐν τοῖς ψηφίσμασιν ἐν οἷς ἐτιμῶντο ταύτην ἔλαβον τὴν δωρεὰν εὐφημεῖν ἅπαντας Ἀθηναίους περὶ τῶν ἐκείνοις γεγραμμένων ἁπάντων. τί τοίνυν ὁ κρινόμενος παραβὰς ἠδίκηκεν, εἰ μήτε ἐν νόμῳ κεκώλυται δεικνύναι τι τῶν Ἡσιόδου βλαβερὸν μήτε ψήφισμα θάνατον ἀπειλεῖ τῷ μή γε πανταχοῦ τὰ βέλτιστα τὸν Πίνδαρον εἰρηκέναι λέγοντι· 71. *καίτοι τὼ δύο τούτω ποιητά, τόν τε Ἡσίοδον καὶ τὸν Ὅμηρον λέγω, πρεσβυτέρους εἶναι συμβαίνει τοῦ Σόλωνος. εἴ γ' οὖν ἡγεῖτο δεινὸν ὁ Σόλων εἶναί τινα κατὰ τῶν ἐπῶν ἐξουσίαν τῷ βουλομένῳ, πάντως ἂν ἔθηκε νόμον εἴργοντα τοὺς Ἀθηναίους τῆς βασάνου τῶν ἐπῶν, εἰ δὲ μὴ | Σόλων, ἕτερος ἄν, ὡς περὶ* R III 25 *τῶν ὀνομάτων Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔδοξεν*

19 Herod. Att. apud Gell. IX 2, 10 cf. Lambertz, Die griech. Sklavennamen I (Vindob. 1907) p. 23 sq.

4 *ἑκάστων* scripsi *ἕκαστον* libri Mor Re qui „*aut ἑκάστου aut ἑκάστων*" coni *ἑκάστου* Rog 6 *οὐδ' Ma* Rog 8 *ἅπαντας* scripsi auctore Iacobsio Not 24 cum Rog *δὲ πάντας* libri Mor Re *δὴ πάντας* Sintenis 10 *ἐν* delendum censet Sintenis contra usum Libanii | *τί MaB* 11 *γε AthU* Re delendum censet Sintenis *τε MaVaB* Mor 12 *πανταχοῦ* scripsi e *MaUVaB* cum Rog *πανταχῆ Ath* Mor Re 13 *δύο* scripsi ex *UB* cum Rog *δύω MaAthVa* Mor Re 15 *γοῦν MaAthB* *δ' οὖν* Sintenis | *εἶναι* — 18 *Σόλων* in marg *Ma*² 17 *εἴργοντα* scripsi *εἴργων* libri *εἴργοντ'* edd | *τοὺς* inserui e *Ma* om reliqui libri edd | *τῆς* scripsi ex *UB* cum Rog *τοῦ* reliqui libri Mor Re 18 *ὡς περὶ* reposui e libris auctore Re cum Rog *ὥστε* Mor Re *ὥς γε* Sintenis 19 *τῶν* — *Ἀριστογείτονος* delenda censet Sintenis

ἡμῖν μηδένα δοῦλον τοῖς τὸν τύραννον καθελοῦσι ποιεῖν ὁμώνυμον καὶ πειθόμεθα. 72. *πῶς οὖν τῆς αὐτῆς προνοίας οὐκ ἠξίωται τὰ ἔπη; ὅτι τὸ μὲν ὕβριν ἂν εἶχε κατὰ τῶν εὐεργετῶν διὰ τῶν οἰκετῶν, τὸ δὲ τὰ τῶν τυράννων ἂν ἐδίδου τοῖς ποιηταῖς, οὓς τοὺς ἀρχομένους ἐπαινεῖν ἀνάγκη, κἂν ὑπερβάλλωσι πάντας ἀνοίᾳ καὶ κακίᾳ. Σωκράτης δὲ Ὅμηρον οὐκ ᾔδει τύραννον Ἀθηνῶν οὐδὲ Θέογνιν οὐδέ γε, εἰ τυραννοῦντας ἑώρα, κολακεύειν ἂν ὑπέμεινεν, ἀλλ' εἰ πρὸς τὸ τῆς πόλεως ἄρχειν ἐπῆγε, καὶ τυραννούμενος ἂν ἐξήτασε τὰ ποιήματα, καθάπερ τῶν τριάκοντα τὰ ἔργα. σὺ δ' ἐν δημοκρατίᾳ καὶ παρρησίᾳ παλαιοὺς ποιητὰς ἐφίστης τοῖς περὶ τοὺς λόγους διατρίβουσι δεσπότας καὶ τὰ στόματα τοῖς δεξιωτέροις ἐμφράττεις καὶ σιγὴν Ἀθήνησιν εἰσηγῇ.* 73. *καὶ Πεισίστρατος μὲν ὁ μάλιστα σπουδάσας περὶ τὴν Ὁμήρου ποίησιν οὐδένα τῶν πολιτῶν ἀπέκτεινε λαβὼν ἔπους ἐπιλαμβανόμενον, εἰκὸς δὲ*

---

16 Plat. Hipparch. p. 228 B. Ael. var. hist. XIII 13

---

1 *ὑμῖν AthUVaB* et auctore Iacobsio Not 24 Rog | *τὸν* inserui ex *Ath* om reliqui libri edd 2 *ἐπειθόμεθα UVaB* 5 *ἂν ἐδίδου* reposui ex *UVaB* cum Rog *ἐνεδίδου Ath ἐδίδου Ma* Mor Re 8 *εἰ* inserui e *MaUB* auctore Re cum Rog om *AthVa* Mor Re | *τυραννοῦντας* scripsi e *MaUVaB* auctore Re cum Rog *τυραννοῦντος Ath* Mor Re 9 *ἑωρακὼς* coni Iacobs Lect 196 App Pors 321 Not 25 | *ἂν* inserui e libris cum Rog, ut post *ὑπέμεινεν* Iacobs Add 270 Lect 196 App Pors 321 Not 25 om Mor Re | *εἰ πρὸς Ma* sed *εἰ πρ`* in ras m² | *τῶ* libri corr Mor 10 *ἐπῆγε* scripsi auctore Sinteni *ἐπῆν UVaB ἐπῆ Ma* sed *ῆ* evanuit, *Ath* Mor Re qui *ἐπεχείρει* coni *ἐπῆρε* auctore Iacobsio l. l. Rog | *ἐξήτασε* scripsi auctore Sinteni *ἐξήταζε* libri edd 13 *ἐφίστας Ath ἐφιστὰς MaB ἐφιστᾶς UVa* corr Mor 16 *πολιτῶν* scripsi ex *UVaB* cum Rog *ποιητῶν Ma πώποτε Ath* Mor Re

πολλὰ τοιαῦτα γεγονέναι τῶν Ὁμήρου συλλεγομένων· σὺ δ' ἐν δημοκρατίᾳ ποιεῖς τυραννίδος χαλεπώτερα καὶ ταῦτα ἐπαινῶν τὸν Θησέα τοῦ τῆς ἀρχῆς ἣν εἶχεν ἀποστῆναι. ὃς οὐ διὰ τοῦτο τὴν ἐλευθερίαν τοῦ δήμου πρὸ τῆς ἐξουσίας ἐποιήσατο τῆς αὑτοῦ, ἵνα Ἄνυτος καὶ Μέλητος κωλύωσι διαλέγεσθαι τὸν βουλόμενον Ἀθήνησιν, ἀλλ' ἵνα παντὸς ἀπηλλαγμένοι δέους καὶ τὰς ψυχὰς ἀσκῶμεν μαθήμασι καὶ τὰ σώματα γυμνασίοις. 74. καὶ διὰ τοῦτο καλὸν καὶ ἥδιστον αἱ Ἀθῆναι θέαμα καὶ πανταχόθεν | δεῦρο φοιτῶσι καὶ ναυσὶ R III 26 καὶ πεζῇ καὶ οἱ μὲν κατέμειναν, οἱ δὲ μόλις ἀπῆλθον, οὐχ ὅτι τραπέζαις νικῶμεν Σύβαριν οὐδ' ὅτι πυρῶν ἡμῖν εὔφορος ἡ γῆ, τοὐναντίον γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἔξω τικτομένοις τρεφόμεθα, ἀλλ' ὅτι λόγων ἐστὶν ἐργαστήριον ἡ πόλις. ὁ μὲν ἤρετο, ὁ δὲ ἀπεκρίνατο. τῷ μὲν ὑπῆρξε μαθεῖν, ὁ δὲ ἐδίδαξε. τὸν μὲν ἴδοις ἂν ἐπαινοῦντά τι τῶν τοῖς ἔμπροσθεν εἰρημένων, τὸν δὲ αἰτιώμενον, τὸν δὲ δόξαν οὐ καλὴν λύοντα. 75. ταῦτα ἄξια τῆς ἐν ἀκροπόλει θεοῦ, ταῦτα τῶν ὑπὸ θεῶν πεπαιδευμένων, ταῦτα τοῦ Θησέως, ταῦτα τῆς πολιτείας. ταῦτα ποιεῖ τὴν πόλιν χαριεστέραν τῆς Λακε-

---

3 Arist. rep. Ath. 41, 2 8 Plat. Prot. p. 313 C; rep. II p. 376 E; III p. 410 12 cf t. I 520, 9; II 297, 8 13 Thuc. I 2 14 cf t. I 156, 19 19 Hom. Il. β 547 sq.; h. in Cer. 473 sq.

---

1 *πολλοὺς τοιούτους* Gasda | *ἀπανταχόθεν* ante *συλλεγομένων* inserendum coni Re 3 *ἣν* reposui e libris sed *Ma* in ras m² quod usui Libanii magis convenit quam *ἧς* edd 4 *διατοῦτο B* 5 *αὑτοῦ* scripsi cum Rog *αυτοῦ U* *αὐτοῦ* reliqui libri Mor Re 6 *Μέλητος* scripsi ex *AthUVaB* cum Rog *μέλιτος Ma* Mor Re 9 *διατοῦτο B* 12 *οὐδ'* reposui e *MaAthUB* cum Rog *οὐδὲ Va* Mor Re | *ὑμῖν AthUVa* 13 *εὔφορος ὑμῖν Ath* | *γάρ, ὦ* om *Ma* 21 *τάξιν Ma*

δαίμονος. διὰ τοῦτο τῶν φοβερῶν ἐν τοῖς ὅπλοις οἱ τὴν σοφίαν τιμῶντες σεμνότεροι. τοῦτο πολὺ τὸ μέσον ἡμῖν πρὸς τοὺς βαρβάρους πεποίηκεν. 76. *ὁ τοίνυν τὴν ἐν τῷ διαλέγεσθαι παρρησίαν ἀναιρῶν οὗτός ἐστιν ὁ τὰ τῆς δημοκρατίας καταλύων ἐπιχώρια καὶ καθάπερ σώματος ἐξορύττων ὀφθαλμοὺς ἢ τὴν γλῶτταν ἀποτέμνων. ὃν ἔγωγε ἡδέως ἂν ἐροίμην, εἰ καὶ τῶν δείπνων ἐξαιρεῖ τοὺς εἰωθότας λόγους. οὗτοι δέ εἰσι μνησθῆναι ποιητῶν, τοῦ μὲν ὡς εὖ λεχθέντος ἀγασθῆναι, τὸ δέ τι καὶ ἐπανορθῶσαι.* 77. *εἰ μὲν οὖν κἀνταῦθα σιωπᾶν νομοθετεῖ κελεύων ἀφώνους ἐσθίειν καὶ πίνειν, ἀνδραποδώδη ποιεῖ τὰ συμπόσια τῶν ἐλευθέρων τῇ γαστρὶ μετρεῖν ἀναγκάζων τὰς συνουσίας, καὶ τίς ἂν ἔλθοι κληθεὶς ἐπὶ δεῖπνον οὐ μέλλων εὑρήσειν τὴν χρησιμωτέραν ἡδονήν; εἰ δ᾽ ἐκείνων μὲν οὐκ ἀφαιρεῖται τὴν περὶ ταῦτα ἐξουσίαν, τὰς παλαίστρας δὲ τῶν λόγων ἀποστερεῖ, μᾶλλον δὲ εἰ τοῖς μὲν ἄλλοις πανταχοῦ δίδωσι λέγειν, Σωκράτει δὲ οὐδαμοῦ, πεισάτω τοὺς δικάζοντας ὑμᾶς ὅτι τὸ ἄνισον τοῦτο τῶν*
R III 27 *δικαίων ἐστί.* | 78. *καὶ τί δεῖ λέγειν τοὺς ποιητάς;*

6 cf t. III 110, 20

1 *διατοῦτο B* 3 *ὑμῖν AthUVaB* Rog 4 *οὗτος δι᾽ ὃ τὰ Ma* 5 *καὶ* cancellavit Rog 6 *τὴν* inserui e libris om edd 9 *ποιημάτων* Rog at cf. l. 20 et ad t. IV 45,4 *ποιητῶν τοῦ μέν, ὡς εὖ λεχθέντος, ἐπιτηδείου ᾀσθῆναι, τὸ δ᾽ ἔτι καὶ δέον ἐπανορθῶσαι* coni Re | *λεχθὲν* Sintenis | *ἀγασθῆναι* reposui ex *AthUVaB* auctore Cobeto cum Rog *ἠσθῆναι Ma ἀσθῆναι* (i. e. *ᾀσθῆναι*) Mor Re quod delendum censet Iacobs Lect 196 10 *τοῦ* Sintenis at cf. Xen. Hell. VI 4, 7 et 8 14 *ἔλθοι* reposui e libris auctore Iacobsio Not 26 cum Rog *ἔλθῃ* Mor Re 15 *ἐκείνων* scripsi ex *UVaB* *ἐκεῖνον Ath* *ἐκεῖ Ma* edd | *μὲν* om *Ath* 19 *ὅτι* scripsi *εἰ* libri edd | *τοῦτο* reposui e libris auctore Re cum Rog *τούτῳ* Mor Re

ἀλλὰ τοῦ Διὸς οὐχ ὕοντος καὶ πάλιν ἔξω τοῦ μετρίου βοῶμεν ὡς ἀδικούμενοι καὶ τί ποιῶν δίκαιος ἂν ἦν περὶ τὴν γῆν λέγομεν. καὶ ταύτας τὰς κατηγορίας οὐκ ἠγνόει Θέογνις ὁ Μεγαρεύς. εἶτ' ἐνιαυτοῦ μὲν καὶ ὡρῶν καὶ αὐτοῦ γε τοῦ Διὸς ἐπιλαμβανόμεθα καὶ οὐδεὶς ἐπιφέρει γραφήν· ἂν δέ τις ὅτι τὸν Πίνδαρον ἐξέφυγέ τι τῶν σεσιγῆσθαι βελτιόνων εἴπῃ πρὸς νέους ἢ πρεσβυτέρους, τοῦτον εὐθὺς ἐπὶ κώνειον ἄγεσθαι δίκαιον, ὁ δὲ μὴ καταψηφιζόμενος ἀπολλύει τὴν πόλιν; 79. *καὶ τίς ἂν εὖ φρονῶν φήσειε; καὶ γὰρ εἰ καὶ σφόδρα παρὰ τῶν προγόνων τῶν ἡμετέρων τετίμηνται, μισθὸς τοῦτό γέ ἐστι τῶν εἰς τὴν πόλιν ἐπαίνων βραχέων δή τινων ὄντων, οὐ τοῦ πάντα τοῖς ποιηταῖς ὑγιῶς εἰρῆσθαι τεκμήριον. ἀλλ' ὅτι ὁ μὲν Μενεσθέως ὡς δεινοῦ τάττειν στρατιώτας ἐμνήσθη, τῷ δ' ὅτι τῆς Ἑλλάδος ἡ πόλις ἔρεισμα προσερρήθη, λόγους ἔργοις ἀμειβόμε-*

---

4 Theogn. 25 11 Plat. Ion. p. 530; Hipparch. p. 228 B. Isocr. antid. § 166. Aesch. ep 4, 2 15 Il. *β* 552 sq. cf. Her. VII 161. Thuc. II 41, 2 16 Pind. fr. 76 Schr.

---

2 *ὡς* om *B* 3 post *λέγομεν* pro signo interrogationis quod *MaAthUVa* Re Rog habent punctum posui e *B* cum Mor *λεγόμενος* coni Gasda contra sensum loci 4 *ὁ* reposui ex *AthUVaB* auctore Re cum Rog *ὅτι Ma* Mor sed *ὁ* scribendum coni Not ad Lib. f. VII[v], Re | *καὶ* om *Ma* 6 *τὸν* om *MaUVaB* cf. p. 53, 12 | *ἐξέφυγέ τι* reposui e libris auctore Re cum Rog *ἐξεφύγετε* Mor Re 9 *ὁ δὲ* reposui ex *UVaB* cum Rog *οὐδὲ Ma* *ὃ Ath* *ὁ* Mor Re *καὶ ὁ* Sintenis *καὶ* Iacobs Lect 197 Not 26 | *ἀπολύει Ma* 10 *εὖ φρονῶν* reposui e libris auctore Re cum Rog *εὔφρων ὢν* Mor Re | *καὶ* (2) inserui ex *AthUB* om *MaVa* edd 11 *ὑμετέρων AthUVa* 12 *ἐστι* inserui e libris cum Rog om Mor Re 13 *τοῦ* reposui e *Ma UVaB* cum Rog *τῷ Ath* Mor sed *τοῦ* scribendum coni l. l., Re 15 *τῷ δ'* scripsi auctore Re cum Rog *τῶδ'* libri *τόδε* Mor sed *ὁ δὲ* scribendum coni l. l., Re 16 *προσερρέθη UB* *προσερέθη MaAth* | *ἀμειβόμενοι* reposui ex *UVaB* auctore Re cum Rog *ἀμειβόμενος Ath* Mor Re *ἀμείβομαι Ma*

νοι καὶ διὰ τὴν ἔμφυτον μεγαλοψυχίαν ὧν ἐν ταῖς πράξεσι τὴν μαρτυρίαν εἶχον, τούτων τοῖς ἐπαινοῦσιν ἀξιοῦντες εἰδέναι χάριν ἐκόσμουν ἐν τῷ μέρει καὶ αὐτοὶ τοὺς ποιητὰς οὐ δούλην ποιοῦντες τὴν πόλιν οὐδ' ὁμολογοῦντες πρὸς αὐτούς, ὡς ἂν ὕστερον Σωκράτης μὴ πάντα ἐπαινῇ τἀκείνων, ἀποθανεῖται. κωλύει δ' οὐδέν, ὦ Ἀθηναῖοι, τοὺς αὐτοὺς καὶ τὰ ὄντα περὶ
R III 28 τῆς πόλεως ὑμνηκέναι καὶ συμβούλους | οὐ πάντα ἀγαθοὺς γεγονέναι.

80. Ὁ αὐτὸς τοίνυν ἔστι μοι λόγος καὶ περὶ τοῦ μέμφεσθαι, φησίν, αὐτὸν τῶν ἐθῶν τισι τῶν παρ' ἡμῖν. εἰ μὲν γὰρ ὅλως Σωκράτης κατὰ τῆς πόλεως διεξέρχεται λόγους καὶ πείθει λυσιτελεστέραν εἶναι τὴν ἀντὶ τῶν νόμων ἑνὸς ἄφρονος βουλήσει διοικουμένην, ἐν ᾗ δορυφόρων ἀσέλγεια καὶ περὶ γάμους ὕβρις καὶ χρημάτων ἁρπαγαὶ καὶ παρθένοι παροινούμεναι καὶ παῖδες ἀδικούμενοι καὶ φυγαὶ καὶ φόνοι καὶ

10 sq. Xen. comm. I 2, 9 16 Dem. p. 403, 8

1 ἔμψυχον *Ma* | ἐν om *Va* 4 αὐτὸς Mor 5 τις σωκράτης *Ath* 6 πάντα ἐπαινῇ reposui e libris (sed ἐπαινεῖν *Ath*) cum Rog ἀντεπαινῇ Mor Re | τἀκείνων reposui e *MaAth UVa* auctore Iacobsio Not 26 cum Rog κἀκείνων *B* κἀκεῖνον Mor Re κἀκείνους Sintenis 7 δέοντα coni Hefermehl 8 πάντα reposui e libris auctore Iacobsio Lect 197 cum Rog πάντας Mor Re qui πάντως coni 10 τοῦ Mor τούτων *Ma UVaB* τῶν *Ath* οὗ Iacobs Not 26 11 φησίν] τισιν e Par 3017 Rog ὥς anteponendum coni Re καθά praetulerim sed particulam necessariam esse nego | τισι del Par 3017 et Rog 12 ἡμῖν scripsi e *MaUVaB* ὑμῖν *Ath* edd | ὅλως reposui e libris cum Rog ὅτι Mor Re qui delendum aut ὁ scribendum coni ut Iacobs Not 26 | πόλεως reposui e libris πολιτείας edd sed cf. Xen. Cyr. VIII 2, 28; Hier. II 12 sq 16 ὕβρεις auctore Cobeto Rog | παροινούμεναι reposui e *MaUVaB* auctore Re cum Rog παροινούμενοι *Ath* Mo Re

οἰμωγαὶ καὶ δακρύων συνέχεια, εἰ τούτων ἐρᾷ καὶ ταῦτα παιδεύει, θαυμάζω εἰ ⟨τὸν⟩ πολύν, ὦ ἄνδρες, βεβίωκε χρόνον πάλαι θάνατον ὀφείλων Ἀθηναίοις· εἰ δὲ δημοκρατεῖσθαι μὲν ὑμᾶς βούλοιτ' ἄν, ἔστι δὲ ἃ τῶν ἐθῶν οὐ καλῶς ἔχειν ἡγεῖται καὶ λέγει, κατὰ τοὺς τῆς δημοκρατίας, ἄνδρες Ἀθηναῖοι, καὶ τοῦτο νόμους ποιεῖ. 81. τίς γὰρ ὑμῶν οὐκ οἶδεν ὡς τὸ τοὺς βλάπτοντας νόμους λύειν ἐξ αὐτῶν ἐστὶ δεδομένον τῶν νόμων; ὁ μὲν γὰρ θεὶς ἡγησάμενος συμφέρειν ἔγραψεν, ὁ δ' εὑρὼν οὐ τοιοῦτον ἔλυσεν αὐτοῦ καλοῦντος ἐφ' ἑαυτὸν τοῦ νόμου. εἰ γὰρ μὴ λυσιτελῶ τοῖς χρωμένοις ἐφ' ὅπερ ἐγράφην μηδὲ τοῖς ἔργοις βεβαιῶ τὴν ὑπόσχεσιν, κίνει τὰ γράμματα, κατηγόρει, μηδὲν ὑποστέλλου. 82. καὶ ταύτην τὴν ἴασιν, ὦ Ἀθηναῖοι, χρόνον οὐδένα διαλε-

11 Dem. Lept. p. 484, 10 sq. Timocr. p. 706, 7 sq.

1 *δακρύων συνέχεια* scripsi ex *UVaB* *συνέχεια δακρύων* *MaAth* edd 2 *τὸν* inserui om libri edd 4 *ὁ δὲ* Iacobs Add 5 Lect 197 App. Pors. 312 | *ἠβούλετ' ἂν UVaB* *βούλεται* auctore Nabero Rog 5 *ἡγεῖτο UVaB* *ἡγεῖται, καὶ ψέγει καὶ τὰς δημοκρατίας* auctore Iacobsio ll. ll. et Not 27 Rog | *κατὰ τοὺς τῆς* scripsi *κατὰ τοὺς MaUVa* *κατὰ τῆς AthB* Sintenis *καὶ τὰς* edd sed deesse nonnulla coni Re *οὐ τὰς δημοκρατίας, ἄνδρες Ἀθηναῖοι, καὶ τοὺς νόμους λύει* coni Rog | *καὶ τοῦτο* reposui e libris cum Sinteni *καὶ τούτους* edd *αἳ τούτους* vel *τοιούτους* coni Iacobs 7 *νόμος UVaB* *νομιστέον* coni Sintenis | *ποιεῖ.* scripsi *μοι. εἴ MaAth* *μοι. ἢ UVaB* *μοι.* edd *μὴ λύουσιν* Iacobs | *τὸ* inserui ex *AthUB* cum Rog om *MaVa* Mor Re 8 *βλάπτοντας Ma* sed *βλ* in ras m² 10 *αὐτὸν Ath* 12 *τοῖς* inserui auctore Re cum Rog om libri Mor Re | *ὅπερ* scripsi e *MaUVaB* coll p. 68, 21. Plat. Gorg. p. 508 B *ὥνπερ Ath* Mor Re *ὥπερ* Rog | *μὴ δὲ MaB* 14 *καὶ* ante *κατηγόρει MaUVaB* | *ὑποστέλλου* reposui e libris *ὑποστελλόμενος* edd 15 *ὦ* — 60, 1 *προσάγοντες* scripsi ex *UVaB* *τῇ πολιτείᾳ προσάγοντες οὐδένα διαλελοίπαμεν* (*λελοίπαμεν Ma*) *ὦ θεοὶ χρόνον MaAth* edd | *Ἀθηναῖοι* scripsi auctore Cobeto

λοίπαμεν τῇ πολιτείᾳ προσάγοντες νέους ἀντὶ τῶν R III 29 παλαιῶν τιθέμενοι νόμους. ἐντεῦθεν τὸν | μὲν ἀνείλομεν, τὸν δὲ ἐγράψαμεν. καὶ τὸ πρεσβύτερον ὑπεχώρησε τῷ κρείττονι. πόσους Δράκοντος, πόσους Σόλωνος, πόσους λελύκαμεν Κλεισθένους; τὸ γὰρ χρησιμώτερον ἀντὶ τοῦ φαυλοτέρου κρατεῖ καὶ τὴν ἐκείνου χώραν λαβὸν ἀντ' ἐκείνου καθίσταται κύριον. 83. εἶπον δ' ἂν ὑμῖν καὶ ἀπηριθμησάμην τούς τε κατεγνωσμένους καὶ τοὺς ἀντ' ἐκείνων γραφέντας, εἰ μὴ μαρτύριον ἦν ἱκανὸν ἡ ἐξ Ἀρείου πάγου βουλὴ οὐχ ἅπαντα νῦν ἃ πρότερον ἔχουσα. καὶ οὐδὲν ἀντιλέγει νομίζουσα δεῖν εἴκειν τοῖς νεωτέροις νόμοις οὖσί γε ἀμείνοσιν. εἰ ⟨δὲ⟩ περὶ ὧν ἔξεστιν εἰπεῖν ἐν τῷ δήμῳ καὶ καθ' ὧν ὑπάρχει δικαστηρίῳ χρήσασθαι κατηγοροῦντα τὰς ψήφους τ' ἔνι λαβεῖν, εἰ τούτων μνησθείη τις ἐπὶ τῶν ἐργαστηρίων ἠκριβῶσθαι τὴν πολιτείαν εὐχόμενος, οὗτος ἄχθεται τῷ τὸν δῆμον κρατεῖν;

84. Εἰ μὲν οὖν, ὦ ἄνδρες, τὸ μὲν ἐξὸν πεποιῆσθαι τοὺς τοιούτους τῶν λόγων ὑπῆρχε Σωκράτει, βλάβη

3 sq. Plat. Axioch. p. 365 D 11 Arist. rep. Ath. 25 et 27; Dem. Aristocr. p. 641, 28 sq. 13 sq. Xen. comm. I 2, 9

Mnem. III 148 cum Rog θεοὶ libri edd | οὐδένα reposui e libris auctoribus Re et Cobeto cum Rog οὐδὲ Mor Re

7 λαβὸν reposui e *MaUVaB* cum Rog λαβὼν *Ath* Mor Re | ἐπίσταται *Ma* 8 καὶ ἀπηριθμησάμην scripsi ἀπηριθμησάμην libri κἀπηριθμησάμην edd 11 ἃ reposui e libris ἅπερ edd | ἀντιλέγει νομίζουσα scripsi cum Rog ἀντιλέγειν νομίζουσα libri ἀντιλέγει· νομίζουσα Mor Re 13 δὲ inserui, δὴ auctore Gasda Rog om libri Mor Re 14 ὑπάρχει reposui e libris cum Rog ὑπέρχει Mor Re 15 τ' scripsi auctore Re cum Rog γ' libri Mor Re 20 λόγους post τοὺς Mor Re delevi cum Rog τῶν] ἀνοήτων Iacobs Lect 197 | ὑπῆρχεν ἀρχὴ Σωκράτει Iacobs | βλάβης δέ τι e Par 3017 Rog

δέ τις ἐφαίνετο διὰ τῆς ἐξουσίας, πρῶτος ἂν αὐτοῦ κατεψηφιζόμην ἐγώ, καίτοι τὸ τῆς ἐξουσίας μέρος ἤδη τινὰς ἀγωνιζομένους σέσωκεν, ἀλλ' οὐ Σωκράτει γε ἡ τοιαύτη πρέπουσα σωτηρία. πῶς οὖν ἀπολογεῖσθαι καλὸν ὑπὲρ ἀνδρός, ὥς γε ἐμαυτὸν πείθω, φιλοῦντος τὴν πόλιν;

85. *Σωκράτης, ἐρῶ δὲ τἀληθές, νὴ τὸν Ἀπόλλω τὸν Πύθιον, πολλαχοῦ μὲν μέμνηται τῶν ποιητῶν, οὐκ ἀεὶ δὲ μετὰ ψόγου. ἀλλ' οὓ μὲν τὸν ἀκούοντα ποιοῦσι βελτίω, καὶ σοφοὺς καὶ γενναίους καὶ θείους καὶ τὰ τοιαῦτα καλεῖ· ζημιοῦντας δὲ ὅταν ἴδῃ καὶ τὸν πειθόμενον εἰς μέγιστον ἄγοντας κακόν, ἐναντιοῦται καὶ δείκνυσι τὸν κρημνὸν οὐκ ἐῶν νέων ψυχὰς εἰς ὄλεθρον ἐμπεσούσας φέρεσθαι.* 86. *ἐν δὴ τοῖς ἐλέγχοις τούτοις ἔρχεταί τινα καὶ τοιαύτην ὁδόν, ἣν ἀρπάσας Ἄνυτος συκοφαντεῖ. ἐρωτᾷ τὸν συνόντα,* | R III 30 *εἰ μὴ σοφὸς Ἡσίοδος. ἀνάγκη τὸν ὑπὸ τῆς φήμης κατειλημμένον ὁμολογεῖν. τί δ'; οὐχ οὗτος ἔργον πᾶν ἐπαινεῖ φάσκων οὐδὲν ἔργον ὄνειδος εἶναι;*

---

19 Hes. opp. 311. cf Plat. Charm. p. 163 B. Xen. comm. I 2, 56

---

1 *ἐφαίνετο* reposui e libris cum Rog *φαίνοιτο* Mor Re *φαίνοιτο οὐδεμία, τὸ τῆς ἐξουσίας μέρος* Iacobs | *τὸ* ante *τῆς* inser *Ma* | *πρῶτος* — 2 *ἐξουσίας* inserui ex *AthUVaB* cum Rog om *Ma* Mor Re *πρῶτος* scripsi e *VaB* cum Rog *πρῶτον AthU* 2 *κατεψηφιζόμην* scripsi *καταψηφιζοίμην* libri Rog 3 *τίνας* Rog | *ἀγωνιζομένους* scripsi ex *AthUVaB* *ἀγωνισαμένους Ma* *ἠγωνισμένους* edd 4 *ἀπολογιεῖσθαι VaB* *λογιεῖσθαι Ma* 5 *ὥς γε* scripsi ex *AthUVaB* cum Rog *ὡς Ma* Mor Re 9 *ἀεὶ δὲ* scripsi auctore Re cum Rog *ἀεί γε* libri | *τὸν ἀκούοντα ποιοῦσι* scripsi ex *AthUVaB* *ποιοῦσι τὸν ἀκούοντα Ma* edd 10 *καὶ* (1) del? 13 *τὰς τῶν* ante *νέων* inseruit Rog 14 *δὴ* scripsi e *MaAthUVa* *δὲ B* edd 15 *τούτοις* om *Va* 17 *ἀνάγκη Ma* sed ´ *κ* in ras m²

τοῦτο δεύτερον ἐρομένου Σωκράτους οὐκ ἔστιν ἄρνησις. οὐκοῦν ὁ τοῖχον διορύττων καὶ τάφον ἔχει μάρτυρα σοφὸν ἄνδρα, τὸν Ἡσίοδον, τοῦ μηδὲν ἀδικεῖν. ἐνταῦθα ἀνάγκη τὸν μὲν ἐρωτώμενον ἀπορεῖν, τοὺς δὲ παρόντας γελᾶν, οὐδένα δὲ ἀπὸ τῶν λόγων ἐπὶ τὰ πονηρὰ κέρδη τρέχειν, ἀλλὰ πᾶν τοὐναντίον. ἐξεληλεγμένου γὰρ τοῦ ποιητοῦ καὶ γέλωτα ὀφείλοντος ἴσασιν ὡς οὐ πᾶσιν ἐγχειρητέον ἔργοις ἑξῆς.

87. *Οὕτω καὶ περὶ Πινδάρου διαλέγεται δεδοικὼς αὐτοῦ τὴν διδαχὴν καὶ φοβούμενος μή τις τῶν νέων ἀκούσας ὡς ὑπερτάτῃ χειρὶ βιάζεται τὸ δίκαιον ἀμελήσας τῶν νόμων ἀσκῇ τὼ χεῖρε. καὶ τοῦτο οὕτως εἰκότως ὑφορᾶται Σωκράτης, ὡς ὁ σοφώτατος Ἄνυτος ἐτόλμησε μεταγράψαι τὸ τοῦ ποιητοῦ καθάπερ ἐν Σκύθαις διαλεγομένου καὶ οὐκ εἰσομένοις ἀνθρώποις, τί μὲν Ἀνύτου, τί δὲ Πινδάρου. ἀλλὰ τοῦτο μὲν καλῶς*

11 Pind. fr. 169 apud Plat. Gorg. p. 484 B et 488 B; leg. IV p. 714 D; III p. 690 B; Prot. p. 337 D; Aristid. t. II 68 D cf praef. p. 4 14 Valer. M. VI 4 ext. 2. Lys. fr. CXII ed. Thalh.

1 *ὁμολογεῖ καὶ* ante *τοῦτο* inserendum coni Re, *καὶ* Iacobs Lect 197 Not 28 | *τοῦτο — Σωκράτους* delenda coni Sintenis | *ἔστιν ἄρνησις* reposui e libris cum Rog *ἔστι γὰρ ἄρνησις* Mor Re *ἐστὶν ἀπάρνησις* coni Sintenis 2 *οὔκουν* Rog | *διορύσσων AthUB* 5 *οὐ δὲ* coni Iacobs Not 28 | *δὲ* inserui e *MaUVaB*, *δ'* auctore Re Rog om *Ath* Mor Re 6 *εἰκὸς* excidisse coni Gasda | *πᾶν* reposui e libris cum Rog *πρὸς* Mor Re 7 *ὀφλόντος* auctore Nabero Rog 8 *ἔργον VaB* 9 *περὶ Πινδάρου* scripsi auctore Gasda cum Rog *πινδάρῳ* libri Mor Re | colon post *διαλέγεται* libri Mor Re, delevi cum Rog | *γὰρ* post *δεδοικὼς* inserendum coni Re 11 *ὁ νόμος* post *ὡς* inseruit auctore Iacobsio Not 28 Rog at obloquitur l. 12 *ἀμελήσας τῶν νόμων* 12 *ἀσκῇ* scripsi auctore Re cum Rog *ἀσκεῖ* libri Mor Re | *οὕτως* inserui e libris cum Rog om Mor Re 15 *διαλεγόμενος* auctore Gasda Rog at cf. l. 9 16 *μὲν* (2) inserui ex *AthUB* om *MaVa* edd

ἐποίησε κακουργῶν. ἐν γὰρ τῷ μεταθεῖναι τὸ τοῦ ποιητοῦ κατηγόρηκε τοῦ Πινδάρου καὶ τὸν Σωκράτην ἐπήνεσεν.

88. *Ἔτι τοίνυν σκέψασθε, πότερον Θέογνις ὀρθῶς φρονεῖ νομίζων πάντα δεῖν ποιεῖν ὑπὲρ χρημάτων ὡς τῆς πενίας σιγᾶν ἀναγκαζούσης ἢ οὗτος οἰόμενος τὸν ἐν πενίᾳ πολλάκις γ' ἂν τῶν εὐπορούντων ἄμεινον εἰπεῖν δύνασθαι. καὶ ἤρκει μὲν ⟨ἂν⟩ αὐτὰ τὰ παρὰ τοῦ διώκοντος εἰς τὴν ἀπολογίαν ἡμῖν, ὁ Λάμπρος, ὁ Φειδίας, ὁ μὲν ἐν τῷ περὶ τῶν ἀγαλμάτων λόγῳ νικῶν ἂν Ἰσχόμαχον, ὁ δ' Ἱππόνικον ἐν τῷ περὶ μουσικῆς· εἰ δὲ δεῖ τι προσθεῖναι, τίς οὐκ οἶδεν ὡς ἐν ταῖς ἐκκλησίαις πολλοὶ μὲν τῶν τὰς οὐσίας κεκτημένων ἀποροῦντες γνώμης ἄφωνοι | κάθηνται, πολ-* R III 31
λοὶ δε τῶν καταδεῶν ἃ συνοίσει λέγουσι; πάλιν τοίνυν ὑφ' ἑκατέρων γνωμῶν λεγομένων οἷς τε μεγάλοι πλοῦτοι καὶ παρ' οἷς μικρὸν ἀργύριον οἱ μὲν ἔδοξαν οὐκ εὖ φρονεῖν, οἱ δὲ τὰ ἄριστα παραινεῖν. ὀρθῶς οὖν

---

4 Theogn. 173—182 cf. t. IV 983, 10 R 9 Plat. Menex. p. 236 A 11 ep. 258. cf Plat. Prot. p. 311 C; Men. p. 91 D; Hipp. mai. p. 290 A. Lys. or. 19, 46 | Lys. or. 19, 48

---

4 *Θέογνις ὀρθῶς* scripsi e *MaUVaB* *ὀρθῶς θέογνις Ath* edd 5 *δεῖ B* 7 *γ' ἂν* scripsi e *B* *γἂν Ath* *ἂν MaUVa* Mor Re quod auctore Gasda delevit Rog 8 *ἂν* inserui 9 *τὴν* om *Ma* | *ἡμῖν* scripsi e *MaUVa* auctore Iacobsio Not 28 cum Rog *ὑμῖν B* *ἡμῶν Ath* Mor Re *τῇ μὲν* coni Re | *Λάμπρος* scripsi cum Sinteni Cobeto Rog (Mus. Rhen. XXXII 32) *λαμπρὸς* libri Mor Re qui *Ὄλυμπος* coni 10 *ὁ*] *τῇ δὲ* coni Re | *τῶν* om *UVaB* 11 *ἂν Ἰσχόμαχον* scripsi (Mus. Rhen. l. l.) *ἀνισόμαχον* libri Mor Re *Ἰσχόμαχον* auctore Cobeto Rog *Λυσίμαχον* coni Re 12 *οἶδεν* scripsi e *MaAthUB* cum Rog *εἶδεν Va* Mor Re 13 *τῶν τὰς*] *τὰς τῶν Ath* 15 *καταδεῶν* reposui e libris auctore Re cum Rog *καταδέων* Mor Re 16 *ὑφ'* scripsi auctore Gasda cum Rog *ἀφ'* libri Mor Re

ὑπολαμβάνει Σωκράτης τῶν πεπαιδευμένων, ἀλλ' οὐ τῶν εὐπορούντων τὸ δύνασθαι λέγειν ἡγούμενος. 89. καὶ μὴν Ἀθηναίων γε πλουτοῦσι μὲν οὐ πολλοί, συχνοὶ δὲ οἱ πενόμενοι. κατὰ μὲν οὖν Σωκράτην ἔστιν ὑμῶν τοῖς πολλοῖς λέγειν, κατὰ δὲ Θέογνιν ἄτιμον τοῦ δήμου τὸ πλέον. πότερον οὖν βελτίων, ὦ Ἀθηναῖοι, σύμβουλος καὶ πόλει καὶ ἰδιώταις ὅστις ἐκμαίνει περὶ χρημάτων ἐπιθυμίαν καὶ πείθει καλοὺς ἡγεῖσθαι τοὺς ὑπὲρ τούτων πόνους καὶ κινδύνους καὶ τολμήματα καὶ θανάτους ἢ ὅστις ἐπὶ τὴν φρόνησιν μᾶλλον ἢ τὸν πλοῦτον παρακαλεῖ; 90. τοῦτο τοίνυν παρ' ὑμῶν καὶ τοῦ τῆς πόλεως ἤθους· ἐπαιδεύετο Σωκράτης καὶ ἢ μεθ' ὑμῶν ἡμάρτανεν ἢ μεθ' ὑμῶν ἀφεῖται τῆς αἰτίας. ὑμῖν γὰρ ἐξῆν, ὦ Ἀθηναῖοι, κοινωνῆσαι βασιλεῖ τῶν πολλῶν καὶ μεγάλων χρημάτων καὶ μερίτας γενέσθαι τῆς οὔσης εὐδαιμονίας αὐτῷ, ὅτε τῇ μεγάλῃ ναυμαχίᾳ πληγεὶς ⟨τῇ⟩ περὶ τὴν νῆσον ταύτην τὴν πλησίον τὰς ἀπὸ τῶν ὁπλισμῶν ἐλπίδας προέμενος ἐπὶ τὸ διὰ πλούτου κτᾶσθαι τὴν πόλιν ἤρχετο καὶ πέμπων ἐπηγ-

---

5 Theogn. 847 7 cf t. III 421, 7 19 Her. VIII, 140 et IX 4

---

3 γε om *UB* | οὐ reposui e *MaUB* auctore Re cum Rog οἱ *AthVa* Mor Re 4 ἡμῶν *Ma* ὑμῖν Iacobs Not 28 6 τὸ om *Ma* | πότερον scripsi e *MaUVaB* πότερος *Ath* edd | οὖν scripsi auctore Re cum Rog ἂν libri sed α eras *U*, Mor Re | ὦ βελτίων θεοὶ *Ma* | Ἀθηναῖοι scripsi auctore Cobeto Mnem. III 148 cum Rog θεοὶ libri Mor Re 7 ἐκβαίνει *AthVa* ἐμβαίνει *U* sed ιν eras, *B* 8 ἐπιθυμίαν scripsi e *VaB* cum Rog ἐπιθυμίας *MaAthU* Mor Re | πολλοὺς *AthUVaB* 9 καὶ ante πόνους *MaAthUVa* edd delevi 11 τοῦτο *Ma* sed ˜ ο in ras m^2 13 ἡμῶν (1) *AthUVaB* 14 ἐξῆν om *Ath* 16 ἐν τῇ coni Rog 17 τῇ inserui om libri edd | περὶ reposui e libris παρὰ edd 18 ὁπλισμῶν scripsi λογισμῶν libri Mor Re ὅπλων auctore Cobeto Rog

γέλλετο τάλαντα ἀμύθητα χωρὶς τῆς εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον εὐνοίας. ἀλλ' οὐκ ἀνεμνήσθησαν οἱ τῆς γῆς ἐκβεβλημένοι καὶ τὰς τριήρεις οἰκοῦντες τῶν Θεόγνιδος ἐπῶν οὐδὲ ἔλαβον, δίκην μὲν οὖν ἔλαβον παρὰ τοῦ τολμήσαντος εἰπεῖν ὡς δεῖ λαβεῖν. καίτοι τῶν γε ταλάντων ἐκείνων οὔτε πλοῦς οὔτ' ἄλλη τις ἡγεῖτο ταλαιπωρία. ἀλλ' οὐκ ἠνείχοντο πλουτεῖν μετὰ τῆς θητείας, ἣν ἀναγκαῖον ἦν εἰσελθεῖν εἰς τὴν πόλιν ὑπὸ τῷ Μήδῳ γεγενημένην. 91. *τί οὖν; ᾔδει Σωκράτης συμβαίνων τῷ τρόπῳ | τῆς πόλεως, ὡς ὁ Θέογνις* R III 32
οὐκ ἀσφαλῆ ταῖς πόλεσι ταῦτα εἰσηγεῖται. εἰ γὰρ 11
[ὡς] οἱ νῦν παρ' ὑμῖν λέγοντες καὶ πολιτευόμενοι μετ' ἀχρηματίας ἐπὶ τὰς ἐμπορίας τραπόμενοι τὸ βῆμα τοῖς πλουσίοις μέν, ἥκιστα δὲ τὸ δέον εὑρίσκουσιν ἀφεῖσαν, ἐνθυμεῖσθε ποῖ ποτ' ἂν ἀφῖκτο τῇ πόλει τὰ πράγματα.

92. *Ἵνα τοίνυν ὅτι τὰ χρησιμώτατα τῷ δήμῳ ποιοῦντος ἐν ταῖς συνουσίαις Σωκράτους οἶδε συκο-*

---

3 Her. IX 3 4 cf. p. 63, 5 6 Plat. leg. V p. 730 C 7 Isocr. p. 306 A 13 t. IV 161, 26; 682, 28 R. cf. Thuc. I 11

---

1 *τάλαντα*] *πάντα AthUVaB* 2 *μετὰ ταῦτα* om *B* 4 *καὶ* ante *δίκην* Mor Re delevi auctore Re cum Rog 5 *τῶν γε* om *Ma* 6 ⟨*ἀντὶ*⟩ *τῶν γε ταλάντων* — *ἠτεῖτο* coni Gasda *ἤρτητο*? 8 *θείας MaU* sed in hoc *ει* eras, *VaB* 10 *συμβαίνων* scripsi auctore Gasda *συμβαῖνον* libri Mor Re ⟨*τὸ*⟩ *συμβαῖνον* auctore Iacobsio Lect 197 Not 29 Rog | ⟨*καὶ*⟩ *ὡς* Iacobs Not 29 12 *ὡς* cum sequenti *οἱ* in *ὅσοι* corrigendum coni Re, delendum vel in *ὧς* vel *οὕτως* mutandum coni Iacobs Add 231 Lect 198 Not 29, auctoribus Iacobsio et Cobeto delevi cum Rog 13 *μετ' ἀχρηματίας* reposui e libris auctore Iacobsio cum Rog *μετὰ χρημασίας* Mor Re *μετ' ἀχρημασίας* Cobet Mnem. III 14 15 *ἀφεὶς ἂν Ath* | *ποῦ VaB* *πού U* 18 *ποιοῦντος* scripsi ex *UVaB* auctoribus Iacobsio Lect 198 Not 30 et Sinteni cum Rog *ποιοῦντες MaAth* Mor Re qui *παραινοῦντα* et *Σωκράτην* coni *συκοφαντοῦσιν* reposui e libris auctoribus Re Iacobsio Sinteni cum Rog *συκοφαντοῦντες* Mor Re

φαντοῦσιν ἔτι σαφέστερον μάθητε, σεσιγῆσθαι μὲν ἐκείνῳ τἄλλα θῶμεν, λεγέσθω δὲ παρ' ἐμοῦ νῦν πρὸς τοὺς ὑμετέρους παῖδας, βλαβερὰ δὲ Ἄνυτος αὐτὰ δεικνύτω κἂν ὑμῶν ἕνα τοῦτο πεῖσαι δυνηθῇ, τὴν αὐτὴν καὶ παρ' ἐμοῦ λαμβάνετε δίκην.

93. Οὐκ ὀρθῶς, ὦ νέοι, πεποίηκεν Ὅμηρος ἐν Ἰλιάδι τοὺς μὲν τοῦ δήμου τυπτομένους ὑπ' Ὀδυσσέως, ὅτ' ἀποπλεῖν ὥρμηντο, τοὺς δ' ἐν τέλει λόγοις κατεχομένους καὶ τούτοις ἡμέροις. οὐ γὰρ ταῖς τύχαις ἔδει τὸ δίκαιον ὁρίζειν, ἀλλ' εἰ μὲν ἀδίκημα ἦν πληγῶν δεόμενον τὸ καθέλκειν τὰς ναῦς, πάντας ἐχρῆν τύπτεσθαι· εἰ δ' ἁμάρτημα μέμψεως ἄξιον, οὐ τοὺς μὲν ἐπιτιμᾶσθαι, τοὺς δὲ τύπτεσθαι χρῆν, ἀλλ' ἀρκεῖν ἐφ' ἑκατέρων τὸν λόγον. οὐ γὰρ δὴ βελτίους τὴν φύσιν τούς γε ἐν ἀξιώμασι τῶν πολλῶν κρίνων διὰ τὴν ἐν τοῖς τρόποις ἀρε-

7 Il. β 188. Polycr. apud schol. in Aristid. or de IV viris t. III p. 480, 31 ed. Dind. Xen. comm. I 2, 58 sq. cf p. 3

2 *ταῦτα* coni Re | *δὲ*] *μὲν* *Ma* | ⟨*τὰ*⟩ *νῦν* coni Rog 5 *καὶ* om *Ma* | *λαμβανέτω* auctore Nabero Rog 6 *ὧν ἐπεποίηκεν* *Ath* 7 ⟨*τῇ*⟩ *Ἰλιάδι* auctore Gasda Rog | *μετὰ* *Ma* *ὑπ'* scripsi ex *AthUVaB* cum Rog *ὑπὸ* *Ma* Mor Re 8 *ὅτ'* reposui e libris cum Rog *ὅτι* Mor Re | *ὥρμηντο* reposui e *Ma AthVaB* auctore Re cum Rog *ὥρμητο* *U* Mor Re quod tuetur Iacobs 14 *τύπτεσθαι χρῆν* reposui e *MaUVaB* *ἕπεσθαι χρῆν* *Ath* *ἕπεσθαι ἐχρῆν* Mor Re qui *ἐπαινεῖσθαι ἐχρῆν* coni *παίεσθαι ἐχρῆν* coni Iacobs Add 302 Lect 198 Lobeckius Phryn. 508 Sintenis Cobetus R. Hirzel Mus. Rhen. XLII 243 *ἐχρῆν τύπτεσθαι* Rog 15 *βελτίους ἦσαν τὴν φύσιν* cancellavit auctore Cobeto Rog 16 *ἦσαν* ante *τὴν* edd sed *γρ ἦν* in marg Mor delevi | *οὐδ' ὀρθῶς τοὺς ἐν* coni Re *οὐδὲ τοὺς ἐν* Hirzel | *τοὺς δὲ* Iacobs Lect 198 Not 31 | *ἀξιώματι* Gasda at cf. Isocr. p. 134 d 17 *προκρίνων* auctoribus Re et Iacobsio (et Hirzelio) Rog | ⟨*οὐ*⟩ *διὰ* Iacobs | *τρόπων* *Ma* sed *τρο* in ras m²

τὴν οὕτω διῄρει τὸ δίκαιον. ἔστι γὰρ καὶ εἰς δῆμον τελοῦντα εἶναι χρηστὸν καὶ τῶν ἄλλων ὑπερέχοντα τύχῃ γέμειν κακίας. 94. ὅ γέ τοι τὴν Κασάνδραν ἐν ὀφθαλμοῖς αἰσχύνας τῆς Ἀθηνᾶς καὶ τῶν μεγίστων συμφορῶν αἴτιος τῇ στρατιᾷ καταστὰς οὐ τῶν ἐκ δήμου τις ἦν, | ἀλλὰ τῶν στρατηγούντων. εἰ μὲν οὖν R III 33 Ὀδυσσεὺς ἠγνόει τοῦθ' οὕτως ἔχον, οὐκ ἦν σοφός· πῶς οὖν ἐπαινεῖται; εἰ δ' ὁ μὲν οὐδένα ἔτυπτεν, ὁ δὲ ποιητὴς ἔφησεν, ἀδικεῖται μὲν Ὀδυσσεύς, βλάπτονται δὲ οἱ λοιποί. 95. μή μοι μηδὲ τὰς ἀδίκους Αὐτολύκου κλοπὰς μηδὲ τὰς ἐπιορκίας Ἑρμοῦ δῶρα ἡγεῖσθε μηδὲ μισθὸν τῶν πολλῶν καὶ κεχαρισμένων θυσιῶν. ὧν γὰρ εἰώθασι δίκην ἀπαιτεῖν οἱ θεοί, πῶς ἂν ταῦτα ἐν ἀμοιβῆς μέρει τοῖς ἀνθρώποις διδοῖεν;

96. Τί φῄς, Ἄνυτε; χείρους ἐγὼ πεποίηκα νυνὶ τοὺς ἀκούσαντας τῶν λόγων; οὐκ ἔστιν, οὐκοῦν οὐδὲ Σωκράτης, ἀλλὰ μᾶλλον ἀμείνους οὐκ ἐῶν πάντα ἐφεξῆς Ὁμήρῳ πιστεύειν. οὐκ ἂν οὖν δίκαιος εἴην δοῦναι

---

4 Qu. Smyrn. XIII 421; Hyg. fab. 116 cf. t. II 529, 2; 180, 9
12 sq. Od. τ 394 sq. Plat. rep. I p. 334 A sq.

---

1 οὕτω] οὐκ vel οὐκ εὖ Iacobs 3 ὅ γέ scripsi auctoribus Gasda et Hirzelio cum Rog ὁ δέ libri Mor Re | τι *Ma* 4 Κασάνδραν reposui e *MaUVaB* cum Rog Κασσάνδραν *Ath* Mor Re 6 στρατιᾷ reposui e libris cum Rog στρατειᾷ Mor Re | τίς *MaB* 7 μὲν inserui auctore Sinteni om libri edd 12 (1 et 2) et 13 μὴ δὲ *MaB* 13 δῶρα reposui e libris δῶρ' edd | ἡγεῖσθαι *Ath* 15 δίκην ἀπαιτεῖν om *Ma* 17 φῄς scripsi φής libri Rog φῇς Mor Re 19 ἀλλὰ — 68, 1 Σωκράτης inserui e libris cum Rog om Mor Re | πάντας *Ma* 20 οὐκ ἂν καὶ Σωκράτην ante οὐκ *Ath* | οὖν om *Ath*

δίκην, οὐκοῦν οὐδὲ Σωκράτης, ὅστις οὐ ποιητὴς αὐτὸς ὢν οὐδὲ φθονῶν ἐκείνοις τῆς δόξης εἰς τὸ δεικνύειν ἐν οἷς βλάπτουσι τοὺς ἀκούοντας ἧκεν, ἀλλὰ τῶν περιπεσουμένων ὅπως μὴ διαφθαρεῖεν προνοῶν ἀφαιρῶν τὴν δόξαν ἣν ὡς περὶ σοφῶν εἶχον ὡς οὐκ ἂν δυναμένων σοφούς τε νομίζειν ὁμοῦ καὶ μὴ πιστεύειν αὐτοῖς.

97. Ἀλλ' Ἄνυτος ὥσπερ τῆς φύσεως ἐπὶ τἀναντία πορευσομένης, εἴ τις Ἀθηναίων φρονιμώτερος ἀναφανείη τῶν ἑτέρωθι γεγενημένων ἀνδρῶν, ἀγανακτεῖ καὶ κελεύει παραδοῦναι τοῖς ἕνδεκα δέον σωτῆρα τῶν νέων νομίζειν ἐν τοῖς περὶ τῶν ποιητῶν λόγοις. ἰδοὺ γάρ σε πάλιν ἐρωτῶ· πρὸς τίνα ἀνθρώπων τὰς παρ' Ὀδυσσέως κατὰ τοῦ δήμου πληγὰς ἐπαινέσας ἐπέθηκε·
R III 34 καὶ σὺ τοίνυν τῶν μὲν μέγα δυναμένων | καὶ λαμπρῶν ἀπέχου, τοὺς δὲ πενεστέρους ἔλαυνε; τίνα δὴ τῶν οὐ τοῦτο πεποιηκότων ὡς ἀπειθοῦντα τῆς πρὸς ἑαυτὸν συνουσίας ἀπέκλεισεν;

98. Εἰ δὲ λέγεις· αὐτὸν μὲν ἀξιόπιστον οὐκ ἐνόμιζεν ἔσεσθαι, τῇ δὲ δόξῃ τῶν ποιητῶν ἐπὶ τὸ πείθειν ἐχρῆτο, τὸ μὲν ὡς ἐναντία σαυτῷ λέγεις

21 Plat. apol. p. 27 A

1 οὐκοῦν om Rog 4 ἀφῄρει? 6 μὴ om *Ma* 9 πορευσομένης scripsi e *MaAthB* cum Rog πορευσομένοις *Va* πορευομένης *U* Mor Re 10 καὶ om Re 11 κελεύει παραδοῦναι scripsi e *MaUVaB* cum Rog παραδοῦναι κελεύει *Ath* Mor Re | δέον reposui e libris auctore Cobeto cum Rog δὲ Mor qui ὃν δεῖ coni, Re ἑαυτὸν δὲ Sintenis 12 τῶν inserui ex *AthUB* om *MaVa* edd 13 πάλιν σε ἐρῶ *Ma* 14 καὶ *Ma* | ἐπέφησε coni Re quod iure Iacobsius Sintenis Rog improbaverunt 15 αὐτῶν *Ath* | μὲν om *Ma* 17 δὴ reposui ex *AthUVa* δὲ *MaB* edd | οὐ om *Ma* 18 πρὸς ἑαυτὸν reposui e libris cum Rog παρ' ἑαυτῷ Mor Re 19 αὑτὸν *MaUVaB* 21 τῷ *Ma* cf. p. 59, 12

παρίημι τοτὲ μὲν ὡς κατηγοροῦντα, τοτὲ δὲ ὡς ἐπαινοῦντα τοὺς αὐτοὺς διαβάλλων, πολὺ δέ σοι τούτου λόγον ἰσχυρότερον ἀντιθήσω. 99. *φέρε γάρ, ἐπὶ τίνα τῶν θεῶν ἐν τοῖς ἀδήλοις καταφεύγομεν καὶ παρὰ τοῦ τἀληθὲς ὑπὲρ ἑκάστου μανθάνομεν; οὐκ ἐπὶ τὸν τὰ μέσα τῆς γῆς ἐπὶ μαντείαις κατέχοντα, τὸν Ἀπόλλω τὸν Πύθιον, οὗ τοῖς χρησμοῖς ἀκολουθοῦντες τὰ μέγιστα τῶν ἔργων ἐπράξαμεν;* 100. *οὗτος τοίνυν ὁ τῇ πόλει πατρῷος ἅπαντας τοὺς ἄλλους ὑπερβὰς τὸν νυνὶ κρινόμενον ἀνεῖπε σοφώτατον, οὐ τὴν ὑπὸ τῶν πολλῶν θαυμαζομένην, πολλοὺς γὰρ πρὸ τοῦδε ταύτην προσεῖπεν, ἀλλ' ἧς ἐστι τὸ περὶ τὴν ἀλήθειαν καὶ τὴν ταύτης ζήτησιν διατρίβειν. καὶ γέγονεν ἀπ' ἐκείνης τῆς ἡμέρας [ὁ Σωκράτης] ζηλωτός, ὡς οὐχ ἕτερος, μεῖζον μὲν οὐ φρονήσας ἢ πρόσθεν οὐδὲ φυσηθεὶς*

---

6 cf. p. 117, 14 9 Plat. apol. p. 26 E sq. 10 cf. p. 117, 9 sq. 141, 4; t. IV 431, 13. Plat. apol. p. 20 E 11 Her. I 65 15 Xen. comm. I 2, 25. Dem. p. 1377, 29

---

2 *μοι Ma* 3 *ἰσχυρότερον* scripsi auctoribus Morello Iacobsio Not 31 Sinteni cum Rog *ἰσχυρὸν* libri Mor Re 4 *παρὰ τοῦ* reposui e *MaUVaB* auctoribus Sinteni Gasda Cobeto cum Rog *παρ' αὐτοῦ Ath* *παρὰ τούτου* Mor Re 6 *ἐπὶ μαντείαις* in marg. *Ma* 9 *πατρῶος B* 10 *σοφίαν* inserendum coni post *τὴν* Mor, post *θαυμαζομένην* Re, at mente supplere sufficit similiter atque t. I 475, 22; II 465, 5; IV 45, 4 11 *ταύτην* scripsi *ταύτῃ* libri edd 12 *προσεῖπεν* scripsi auctoribus Mor Sinteni Gasda *προσειπεῖν* libri Mor Re *γὰρ ἂν — προσεῖπεν* Nabero auctore Rog *προσεῖπεν ἂν* Iacobs Add 2 Lect 198 Not 31 *προσειπεῖν εἶχεν ἂν δεινούς* coni Re ¦ *ἄλλης Ath* 13 *τὴν περὶ ταύτης UB* 14 *ὁ Σωκράτης* quod abest a libris cancellavi ¦ *ζηλωτὴς Ma* ¦ *ὡς* inserui ex *UVaB* auctoribus Iacobsio Add 2 et 151 Lect 198 Not 31 Sinteni, Cobeto cum Rog om *MaAth* Mor Re 15 *φυσιωθεὶς AthUVaB*

ὑπὸ τῆς μαρτυρίας, τῶν δ' αὖ φθονούντων εἰκόντων αὐτῷ τῆς ἐφ' ἑκάστου γνώσεως. 101. ἐν οὖν τοῖς πρὸς τοὺς νέους λόγοις τί ἂν ἔδει Πινδάρου καὶ Σιμωνίδου καὶ ποιητῶν μετὰ τὰς ἐκ Δελφῶν φωνάς; ὥσπερ ἄν τις ἔχων μάρτυρας τοὺς δικαστὰς τοῦτ' ἀφεὶς ἀνθρώπῳ καπήλῳ προσέχειν ἀξιοίη πᾶν ἀργυρίου ποιήσοντι. ἐνῆν τοίνυν τῷ Σωκράτει παρακαλοῦντι
R III 35 πρὸς τὰ χείρω τοῖς οὐκ ἐνδιδοῦσι λέγειν, | ὅτι ταῦθ' ὑμῖν νομίζετε τὴν Πυθίαν παραινεῖν, ταῦτα τὸν ὑπὸ τῷ Παρνασσῷ μαντευόμενον θεόν. ἐκεῖνός με κέκληκε σοφώτατον. εἰς ἐκεῖνον, ἄν τις ἀντιτείνῃ, πλημμελεῖ. τούτων οὐδεὶς οὐδένα ἀκήκοε τῶν λόγων οὐδὲ τολμήσει Ἄνυτος καὶ τοῦτο ψεύσασθαι καίτοι κατατολμῶν τῶν μεγίστην δόξαν ἐχόντων ἐπὶ σοφίᾳ. τῷ τοίνυν ἐνταῦθα δόξης ἑστηκότι τί περιόδων ἔδει μέγιστον ἐφόδιον εἰς πειθὼ τὴν ἐπὶ σοφίᾳ φήμην ἔχοντι; 102. νέοι δὲ πατέρων

---

10 [Xen.] apol. § 14 17 Xen. comm. I 2, 49 et 51 sq. apol. § 20

---

1 εἰκότων *Ma* 2 ἑκάστω *Ma* 3 ἂν] δὴ coni Hefermehl 4 ⟨τῶν λοιπῶν⟩ ποιητῶν? | Δελφῶν reposui e libris cum Rog Δελφοῦ Mor Re 5 τούτους coni Re et Naber oblocutus est Iacobs Lect 198 Not 32 7 ἀργυρίον *B* sed ιον in ras m² 8 οὐκ ἐνδιδοῦσι scripsi ἐν οἷς διδοῦσι *MaU* sed ἐ et ῖ eras, *VaB* ἐν ᾗ διδοῦσι *Ath* ἐνδιδοῦσι Mor Re qui συνοῦσι coni μὴ ἐνδιδοῦσι Iacobs Lect 198 Not 32 ἐνδημοῦσι e Par 3017 Rog ὁμιλοῦσι Cobet 9 ἡμῖν Mor 11 θεὸν *B* sed ὸν in ras m² | ἐκεῖνος μὲν *VaB* γὰρ post μὲν *B* 12 ἄν scripsi e libris ἐάν edd | πλημελεῖ *MaUVaB* cf. t. III 343, 4 | οὐδεὶς om Rog 13 οὐδ' ἐτόλμησεν coni Sintenis τολμήσαι *Ath* 14 κατατολμῶν scripsi auctore Iacobsio Add 64 Not 32 (κατατολμώντων Lect 199 App Pors 321) κατὰ τῶν λόγων libri edd καταβοῶν Cobet Mnem. III 150

τε πρότερον ἄγοντες ἐκεῖνον, ὡς λέγεις, καὶ πρεσβυτέρων ἀδελφῶν ὑπερορῶντες καὶ καθάπερ ὑπὸ γόητος ἑλκόμενοι τοῦ Σωκράτους τί πλέον ἂν ἐζήτησαν τοῦ νεῦσαι τὸν ἄνθρωπον; οὔτ' οὖν οὗτος ἂν ἔχρῃζε τῶν ποιητῶν εἰς τὸ πείθειν γονεῖς τε ὑβριζόμενοι καὶ ἀδελφοὶ καταφρονούμενοι πάντως ἂν ἤλγησαν καὶ παρωξύνθησαν καὶ πρὸς δικαστήριον ἧκον καὶ τοὺς μὲν αὐτῶν ἠνάγκασαν σωφρονεῖν, τὸν δὲ ἔπαυσαν ἀπολλύντα τοὺς νέους. 103. *τίς οὖν πατὴρ ἀπεκήρυξε τὸν αὑτοῦ φάσκων πονηρὸν διὰ Σωκράτην γεγονέναι; τίς οἴκοι καθεῖρξε τὸν υἱόν, ὅπως μηκέτ' ἀκούοι τῶν διαφθειρόντων ῥημάτων; οὐδείς. ᾔδεσαν γὰρ τά τε ἄλλα ἃ πρὸς ὑμᾶς νῦν διῆλθον καὶ περὶ τῶν λοιπῶν ἃ δίειμι, τοῦ τε κλέπτειν καὶ τῆς ἱεροσυλίας καὶ τῆς ἀπάτης. ταυτὶ γὰρ οὐκ εἰσάπαξ ἡγεῖτο δεινὰ καὶ τοῖς νόμοις ἐναντία· γίγνεσθαι γὰρ αὐτοῖς παρὰ τῶν πολέμων τὸν καιρόν. καὶ στρατηγὸς ἀμείνων ὁ κλέπτων τοῦ δεδιότος μὴ διὰ κλοπῆς νικήσῃ. κἂν ἀπάτην ὥσπερ*

---

18 Plat. rep. III p. 389 B sq.

---

1 *τε* inserui e libris om edd 3 *ἐλαυνόμενοι B* 4 *οὔτ' οὖν* reposui e *Ma VaB* auctore Sinteni et Cobeto cum Rog *οὔτ' ἂν Ath U* Mor Re *οὐ γὰρ* Iacobs Lect 199 Anth. Pal. III 558 *οὔτ' ἄρα* Not 33 | *ἔχρῃζε* scripsi cum Rog *ἔχρηζε* libri Mor Re cf. t. II 472, 17; t. III 130, 16 5 „*malim δέ*" Re 6 *πάντως* scripsi e *Ma U* auctore Iacobsio Lect 199 Not 22 cum Rog *πάντες Ath VaB* Mor Re 7 *δικαστήριον* scripsi e *Ma Ath U Va* auctore Iacobsio Lect 199 Not 33 cum Rog *δοκιμαστήριον B* Mor Re 8 *αὑτῶν* scripsi auctore Re cum Rog *αυτῶν U* *αὐτῶν Ma Ath VaB* Mor Re 10 *αὑτοῦ* scripsi e *VaB* cum Rog *αυτοῦ U* *αὐτοῦ Ma Ath* Mor Re 11 *καθείρξας B* | *ἀκούοι* scripsi e *Ma U VaB* cum Rog *ἀκούῃ Ath* Mor Re 12 *ἄλλα* scripsi ex *U* cum Rog *ἀλλὰ Ma Ath VaB* Mor Re 13 *ἃ*] *τὰ Ath* et *γρ* in marg Mor *νῦν δὴ* Cobet, *νυνδὴ* Rog 14 *ἱερωσύνης B* 15 *εἰσάπαξ* scripsi e *Ma UB* *εἰς ἅπαξ Ath Va* edd *εἰσάπαν* Sintenis 16 *γίνεσθαι Ma* 18 *νίκης, ἢ κἂν Ath* | *ἀπάτην* scripsi auctoribus Sinteni et Cobeto cum Rog *ἀπατῶν* libri Mor Re

μηχανὴν προσαγάγῃς τοῖς ἐχθροῖς, ἔννομα δέδρακας. 104. *Οὕτως ὁ Θεμιστοκλῆς ἐκεῖνος δυοῖν ἀπάταιν* R III 36 | *τῇ μὲν ἐτείχισε τὴν πόλιν, τῇ δ' ἔσωσε τὴν Ἑλλάδα. καὶ μὴν καὶ τοὺς ἰατροὺς ὁρῶμεν τὰς τῶν καμνόντων ἐπιθυμίας ἀπάταις ἀναβάλλοντας. ἤδη δέ που καὶ πρὸς ὑγιαίνοντας τοῦτο ποιοῦμεν, ὅταν ᾖ κρεῖττον τοῦ τἀληθὲς ἀκοῦσαι τὸ παρακρουσθῆναι.* 105. *τί οὖν ἠδίκει Σωκράτης ἢ Μέλανθος ὡς ἐνίκησε λέγων, ἔστω γάρ τοι καὶ ψεῦδος ἐν μάχαις, δέχεται γὰρ ὁ περὶ τῆς ψυχῆς ἀγὼν τὸ κλέμμα, ἢ τὸν Ὀδυσσέα φάσκων ἐπὶ τῇ τοῦ Παλλαδίου τιμηθῆναι κλοπῇ; τὰ γὰρ τῶν Τρώων ἔκλεπτε τῶν τὰ τιμιώτατα τοῦ Μενελάου κεκλοφότων προτέρων.* 106. *ἀλλ' οἴεσθε Σωκράτην, εἰ κατὰ τῶν πολιτῶν καὶ φίλων παρεκάλει τοὺς νέους, ἐχθρῶν ἂν εἰς ἐχθροὺς ἔργα παρενεγκεῖν νόμῳ πολέμου συνερρωγότων, ὥσπερ οὐχ ἥξοντος αὐτῷ παρὰ τῶν ἀκουόντων ὅτι τῆς συμβουλῆς ἀπᾴδει τὰ*

---

2 Thuc. I 90 sq. cf. Busolt, Beitr. z. alten Gesch. V 255 sq. | Her. VIII 75 sq. 8 t. I 119, 15. cf. Harpocr. s. v. *Ἀπατούρια*. schol. ad Arist. Ach. 146; ad Plat. symp. p. 61, 25; ad Tim. p. 947, 16 sq. 11 Lys. contra Polycr. fr. CXIII Thalh. (schol. in Aristid. III 320, 4 et 25) cf. p. 4 12 cf. t. IV 23, 1 sq. R

---

2 *οὕτως* ex *οὗτος* corr *Ma*^{2} 3 *δὲ ἔλαβε Ma* 8 *ἂν Ma* | *ὡς* ⟨*εὖ*⟩ Iacobs Lect 199 Not 34 | *Μέλανθον*? cf. p. 79, 18
9 *τοι* scripsi ex *UVaB* *τι MaAth* edd 12 *τῶν* ante *τοῦ* edd delevi *τοῦ*] *τῶν Ma* 13 *προτέρων* scripsi auctoribus Iacobsio Add 143 Lect 199 Not 34 Anth Pal III 328 et Hirzelio Mus. Rhen. XLII 248 *προπατέρων MaAth* Mor Re *προπατόρων UVaB* *πρότερον* auctore Cobeto Rog 16 *συνερρωγότων* scripsi e *B* sed *ω* ex *ο* corr m^{2}, cum Rog *συνερρογότων Ath* Mor Re *συνερρηγότων Ma* *συνερρ γότων* cum ras 1 litt *U* *συνερ̈ρ̈γότων Va* | *ὥσπερ οὐχ ἥξοντος* scripsi e *Ma* *ὥσπερ οὐχ εἴξοντος Ath* *ὥσπερ οὐκ εἴξοντος B* *ὥσπερ οὐκ εἴξοντος Va* *ὥσπερ οὐκ ʺξοντος* cum ras 1 litt *U* *ὡς οὐκ εἴξοντος* Mor Re *ὡς οὐχ ἥξοντος* auctore Re Rog

παραδείγματα; ἀλλ', οἶμαι, δεικνὺς ἔστιν οὗ τὴν κλοπὴν τῶν χρησίμων ἐμέμνητο τῶν περὶ τὴν Τροίαν λέγων οὐδὲν καινόν, ἀλλ' ἃ ποιεῖτε πολεμοῦντες ὑμεῖς ⟨καὶ⟩ Λακεδαιμόνιοι καὶ | πάντες ἁπλῶς οἳ ὅταν κατα- R III 37
σκάπτωσι τῶν πολεμίων πόλεις, οὐδὲ τῶν ἱερῶν ἀπέχονται χρημάτων πᾶν κέρδος τὸ παρὰ τῶν δυσμενῶν ὅσιον κρίνοντες. 107. ὁ δὲ Θυέστης καὶ τὸ τοὺς Ἕλληνας ὑπὸ τῶν ὑμετέρων ἐξηπατῆσθαι πατέρων ἐμβέβληται παρὰ τῆς Ἀνύτου πονηρίας εἰδότος ὡς ἀπὸ μὲν τῶν εἰς τοὺς Τρῶας καὶ τὸν ἄρχοντα τῶν Βοιωτῶν οὐκ ἂν δόξαι κακοὺς ἀπεργάζεσθαι τοὺς ἀκούοντας ὁ Σωκράτης, ἀπὸ δὲ τούτων ἃ προστέθεικεν αὐτός. ἀλλὰ καὶ Σωκράτης μέντοι καλῶς, Ἄνυτε, ἠπίστατο μαχομένοις ⟨ἂν⟩ πρὸς ἄλληλα χρησάμενος παραδείγμασιν, εἴ τόν τε Ὀδυσσέα καὶ τὸν Θυέστην καὶ Μέλανθον καὶ τοὺς προγόνους ἀναμίξας ὡς

---

7 cf. p. 74, 8. Hyg. fab. 258. Diog. L. VI 2, 73 8 Her. VIII 75 10 Xanthum cf p. 72, 8

---

1 οὖσαν post δεικνὺς inserendum videtur | ἔνεστιν *UVaB* 3 καὶ inserui auctore Re cum Rog om libri Mor Re 4 Λακεδαιμονίοις *B* | καὶ inserui e *B* auctore Iacobsio Not 34 cum Rog om *MaAthUVa* Mor Re 5 ⟨τὰς⟩ πόλεις Rog 7 κρίνοντες reposui e libris auctore Sinteni cum Rog κρίναντες Mor Re 8 ἐξηπατῆσθαι scripsi ἐξαπατᾶσθαι libri edd 10 τῶν (2) inserui e libris om edd 11 δόξαι reposui e libris cum Rog δόξῃ Mor Re δόξειε Hirzel 12 προστέθεικεν scripsi ex *AthUVaB* cum Rog προσέθηκεν *Ma* προστέθηκεν Mor Re 13 καὶ] γὰρ coni Re | μέντοι reposui e libris cum Rog μὲν σοὶ Mor Re 14 ἂν inserui et χρησάμενος reposui e libris χρησόμενος edd 15 καὶ Μέλανθον καὶ τὸν Θυέστην transpos Schanz Plat. apol. comm. p. 44 16 ἀναμίξας scripsi auctore Re ἀναμίξεις καὶ Sintenis ἀναμίξειεν libri ἀναμὶξ Iacobs Add 143 Lect 199 | ὡς — 74, 1 ἐμνήσθη pro scholio marginali ad τοὺς προγόνους habuit Rog

ἐξαπατησάντων τοὺς Ἕλληνας οὕτως ἐμνήσθη. 108. *ὥστ' εἰ μὲν ὑπ' εὐηθείας τοῦτο πέπονθεν ὁ Σωκράτης, πόρρω δήπου κακοτεχνίας καὶ δεινότητος ἂν εἴη καὶ τοῦ ῥᾳδίως ἔχειν ἐξαπατᾶν· εἰ δ' ἐπὶ πλεῖστον ἥκει σοφίας, πάντως ἂν ἐφυλάξατο τὰ τὸν λόγον αὑτῷ βλάψοντα τῶν παραδειγμάτων καὶ ἢ ταῦτα ἂν ἢ ταῦτα παρέλιπε. τῷ μὲν γὰρ δικαίους βουλομένῳ ποιεῖν οὐκ εἶχε καιρὸν μνησθῆναι τῶν τοὺς οἰκείους ἠπατηκότων, τῷ δὲ ἀδίκους ἄκαιρον ἂν ἦν λέγειν ἃ πολέμιοι πολεμίους ἔβλαψαν.*

R III 38 109. *Ἀλλὰ τί ταῦτα θαυμάζω | ἀφεὶς ἐφ' ᾧ μᾶλλον ἄν τις σχετλιάσειε; διδάσκει γάρ, φησίν, ἐπιορκεῖν. ὁ μηδ' ἐν οἷς εὐορκεῖν μέλλει τοὺς θεοὺς ὀμνύων, ἀλλ' ἀποχωρῶν εἰς ἕτερ' ἄττα καὶ συνεθίζων ἐν τοῖς ὅρκοις τοὺς αὑτοῦ μὴ ῥᾳδίως προσιέναι τοῖς ὀνόμασι τῶν θεῶν; ὥσπερ ἂν εἴ τις τὸν οὐδ' ἀπὸ γῆς ἰδεῖν τολμῶντα τὴν θάλατταν φάσκοι τοὺς ἄλλους ἀναπείθειν χρῆσθαι τῇ θαλάττῃ καὶ τῷ πλεῖν.* 110. *δεί-*

---

8 t. II 75, 20 14 Plat. apol. p. 21 E cum scholio

---

3 *δεινότ τος* cum ras 1 litt *U* 4 *δὲ Ma* | *ἐπιπλεῖστον MaB* 5 *τὸν λόγον* reposui e libris auctore Re cum Rog *τῶν λόγων* Mor Re | *αὑτῷ* scripsi cum Rog *αὐτῷ* libri Mor Re 7 *παρέλιπε* scripsi ex *AthB* *παρέλιπεν MaUVa* edd 9 *δὲ* om Rog | *ἄκαιρον* reposui e libris cum Rog *καιρὸς* Mor Re 12 *σχετλιάσειεν* Rog | *ἐπιορκεῖν ὁ* Rog 13 *μὴ δ' MaB* *μηδ' ἐν*] *μηδὲν AthUVa* | *ἐπιορκεῖν Ath* 14 *ἑτεράττα* libri corr Mor 15 *τοὺς αὑτοῦ* scripsi auctore Re cum Rog *τοῖς αὑτοῦ Ath* Re *τοῖς αὐτοῦ MaB* Mor *τοῖς αντοῦ U* *τοιάντου Va* 16 signum interrogationis posui e *B* punctum reliqui libri edd 17 *θάλατταν* scripsi e *MaB* cum Rog *θάλασσαν AthUVa* Mor Re | *φάσκοι* reposui ex *UVaB* auctoribus Iacobsio Not 35 et Sinteni cum Rog *φάσκῃ Ma* *φάσκει Ath* Mor Re 18 *ἀναπείθειν Ma* sed *ειν* in ras m[2] | *θαλάσσῃ B*

ξας, ὦ τάν, ἐπιωρκηκότα πολλαχοῦ τὸν ἄνθρωπον καὶ συγχέαντα πίστεις οὕτω φάσκε τοὺς ἄλλους ὑπ' αὐτοῦ πεπαιδεῦσθαι τῶν θεῶν ὀλιγωρεῖν. καὶ περὶ τῶν λοιπῶν δὲ ταὐτὸν αἰτιῶν λέγω. δείξας ἱεροσυλήσαντα, κεκλοφότα, βεβιασμένον οὕτω φάσκε πολλοὺς αὑτῷ παραπλησίους εἰργάσθαι. εἰ δὲ τοὺς μὲν λόγους αὑτοῦ φῄς εἶναι πονηρούς, οὐδὲ γὰρ τοῦτο δεικνύεις, τοῖς δ' ἔργοις οὐκ ἔχεις ἐγκαλεῖν, οἷς ἀνάγκη τὰ βεβιωμένα δοκιμάζειν, τούτοις ἃ τοὺς λόγους αἰτιᾷ συκοφαντῶν ἐλέγχῃ. 111. τὸν ἐπαινοῦντα λῃστείαν ⟨ἢ μοιχείαν⟩ οὐχ ὁρῶμεν ἀπεχόμενον τῶν ἀλλοτρίων ἀγαθῶν, ἀλλὰ τὸν μὲν διακόπτοντα συζυγίας, τὸν δὲ τοίχους διορύττοντα, καὶ ὅλως ἐν τοῖς τοιούτοις ἀκολουθοῦντα τὰ ἔργα τοῖς λόγοις. εἰ δέ τις ἐφ' ἃ τοὺς ἄλλους ἄγειν ἀξιοῖ, τούτων αὑτὸν ὡς πορρωτάτω φυλάττοι, τὴν ἐκ τῶν λόγων συμβουλὴν τῇ παρὰ τῶν ἔργων λέλυκε τῷ μὲν ἀσθενεστέρῳ παρακαλέσας, τῷ κρείττονι δὲ ἀποτρέψας. οἷον εἴ τις ἐπιδιδόναι τῷ δήμῳ χρήματα παραινῶν αὐτὸς φείδοιτο τῶν αὑτοῦ, κεκώλυκε τὴν ἐπίδοσιν οἷς περὶ

1 Xen. comm. I 2, 28   8 Dem. p. 315, 5   18 Dem. p. 266, 21; 285, 19

1 ὦ τάν scripsi e *MaUVaB* ὦταν *Ath* edd cf. t. IV 7, 16 R | ἐπιωρκηκότα scripsi ex *U* auctore Re cum Rog ἐπιορκηκότα *MaAthVaB* Mor Re 2 συγχέαντα scripsi e *Ma* sed α (1) ex ο corr m², auctore Re συγχέοντα *AthUVaB* edd 5 αὑτῷ scripsi αὐτῷ libri edd 6 αὑτοῦ scripsi αὐτῷ libri edd 7 φῄς scripsi φὴς *UVaB* Rog φῇς *MaAth* Mor Re 9 δοκιμάζειν scripsi θαυμάζειν libri edd | τοῖς λόγοις *Ma* 10 ἐλέγχει Rog | λῃστείας *Ma* | ἢ μοιχείαν inserui cum Rog μοιχείαν ἢ λῃστείαν coni Re 11 ἀγαθῶν scripsi γάμων libri edd sed auctore Re cancellavit Rog | 11 et 12 τὸν e τῶν corr *B²* 14 τούτων e τοῦτον corr *Ma²* 15 αὑτὸν scripsi ex *UVaB* cum Rog αὐτὸν *MaAth* Mor Re | φυλάττοι scripsi ex *AthUVaB* φυλάττει *Ma* edd 16 περὶ *Ath* 19 αὑτοῦ scripsi e *B* cum Rog αὐτοῦ *MaAthUVa* Mor Re

τῶν ἑαυτοῦ βεβούλευται. εἰ ⟨δέ⟩ τις ἐν μάχῃ προσπίπτειν τοῖς ἐναντίοις κελεύων ἐπὶ τοῖς λόγοις τούτοις λείποι τὴν τάξιν, πάντας ἐποίησε δειλοὺς ἔργῳ φοβήσας μᾶλλον ἢ θρασύνας τῷ λόγῳ. καὶ ὅλως ἐν τοῖς
R III 39 *τοιούτοις σύμβουλος | πιθανὸς ὁ πρῶτος τῶν πράξεων ὧν ἔχεσθαι συνεβούλευσεν ἁπτόμενος.* 112. *εἰ τοίνυν Σωκράτης ἐπιορκεῖν καὶ κλέπτειν καὶ βιάζεσθαι καὶ τἄλλ' ἅ φησιν Ἄνυτος ἐδίδασκεν αὑτὸν τἀναντία πεπεικώς, αἰδεῖσθαι θεούς, χρημάτων καταφρονεῖν, μέτριον εἶναι, σώφρονα, ἐπιεικῆ, παίζειν ἂν ἔδοξε τοῖς λόγοις οὐ τοιοῦτος ἐπὶ τῶν ἔργων δεικνύμενος καὶ καλὰ νομίζειν ὡς ἀληθῶς οὐχ ἅπερ ἔφασκεν, ἀλλ' ἐν οἷς ἐφαίνετο ζῶν. ὥστε μᾶλλον ἀμελήσαντες τῶν λόγων ἐκεῖνα ἐζήλωσαν ἄν. οὐδὲ γὰρ ἂν τοῦτο δὴ ὑπέλαβον, ὡς Σωκράτης ἃ τοῖς ἄλλοις ἄγαν προὐξένει, τούτων ἂν αὑτὸν ἀπεστέρει καὶ τοῖς μὲν ὁμιλοῦσιν ἐδήλου τὰς ἐπὶ τὸ βέλτιον ὁδούς, αὐτὸς δὲ ᾑρεῖτο τὴν πρὸς τὰ χείρω φέρουσαν.* 113. *ἀλλ' οὔτε λόγοις οὔτε ἔργοις οὗτός ποτε πρὸς κακίαν ἡγήσατο τοῖς νέοις, ἀλλ' οἱ*

1 *τῶν Ma* sed *ὧν* ex *ὃν* corr m² | *δέ* inserui auctore Gasda cum Rog om libri Mor Re | *τῇ μάχῃ B* 3 *λείποι* scripsi e *Ma* *λείπει Ath* edd *λίπῃ UVaB* 4 *θ σύνας* cum ras 2 litt *U* *θαρσύνας* Rog | *ὅλος UVaB* 5 *πρώτως VaB* 6 *ἔχεσθαι* om *B* 8 *αὑτὸν* scripsi e *B* cum Rog *αυτὸν U* *αὐτὸν AthVa* Mor Re *αὐτῷ Ma* 10 *παίζων Ma* 11 *ὁ VaB* 12 *ὡσαληθῶς B* | *ἐν* scripsi auctoribus Re et Gasda *ἐφ'* libri edd 13 *ζῶν* scripsi e *B* auctore Re cum Rog *ζῆν MaAthUVa* Mor Re | *ἀμελήσαντας MaVaB* Rog *ἀμελήσας Ath* 14 *ἐζήλωσαν ⟨ἂν⟩* scripsi *ζηλώσειν* libri Rog om Mor Re qui *ἐδίωκον* vel simile quid inserendum coni 16 *ἂν* delendum censuit Gasda | *αὑτὸν* scripsi ex *UVaB* cum Rog *αὐτὸν MaAth* Mor Re | *ἀπεστέρει* scripsi e *MaB* auctore Gasda cum Rog *ἀποστέρει U* *ἀποστερεῖ Va* *ἀποστερῇ Ath* Mor Re *ἀποστεροῖ* coni Sintenis 17 *βέλτιον* scripsi ex *UVaB* *βέλτιστον MaAth* edd 18 *οὔτε* (2) reposui e libris *οὔτ'* edd 19 *τοῖς νέοις* reposui e libris cum Rog *τῶν νέων* Mor Re

μηδὲν ἐοικότες τούτῳ καὶ γράφονται γραφὰς ἀδίκους καὶ κατηγοροῦσι τὰ ψευδῆ. κἂν ἀναρπάσαι δυνηθῶσι τῶν πολιτῶν τινα, τοῦτο ἡγοῦνται λαμπρὸν ἐρωτῶντες, τί ἄν, εἰ περὶ αὐτοῦ ταῦτα λάθρα ἔλεγον, ἐπεπόνθεσαν. οὐδὲν κακόν, εἴπερ ἐπ' οὐδενὶ κακῷ, καθάπερ οὐδ' οὗτος ἐχρῆτο τοῖς λόγοις, ὑπὲρ οὗ καὶ τοῦτ' αὐτὸ γίγνεται τὸ μὴ λάθρα ποιεῖσθαι τοὺς λόγους. ὡς τοῖς μὲν ἀδικοῦσι καὶ κακουργοῦσιν ἐν σκότῳ οὗ λήσειν ἐλπὶς τὰ τοιαῦτα πράττεται, τοῖς δ' ἁπλῶς καὶ δικαίως ζῆν αἱρουμένοις ἐν μέσῳ καὶ πάντων ὁρώντων ἅπαντα γίγνεται.

114. Διὸ καὶ θαυμάσαι τις ἂν Ἀνύτου πείθοντος ὑμᾶς δεινότερα τῶν φανερῶν τἀφανῆ νομίζειν. εἰ γὰρ ἃ μὴ κρύπτει, φησί, Σωκράτης, οὕτως ἂν εἴη βλαβερά, τίς ἂν εἴη καὶ τί συμβουλεύοι ἂν μόνους ἔχων τοὺς ἐραστάς; ποῦ; πότε; τί ταῦτα

13 cf. p. 33, 20 sq.

2 ἀναρπάσαι scripsi e *MaAth* auctore Cobeto Mnem. III 150 cum Rog ἁρπάσαι *UVaB* Mor Re 3 τοῦτον *B* | post λαμπρὸν colon *B*, punctum reliqui libri edd locus labem contraxit ante ἐρωτῶντες Gasda, post ἐρωτῶντες Rog lacunam statuit nisi ἐρωτῶντες delendum sit 4 ἄν] οὖν Sintenis | εἰ reposui e *MaUVaB* cum Rog οὐ *Ath* Mor Re | ἔλεγεν *AthU* sed in hoc in ε (3) ras, *Va* | ἐπεπόνθει ἂν Sintenis punctum post ἐπεπόνθεσαν inserui 6 τοῦτ' αὐτὸ scripsi e *MaU VaB* ταυτὸ *Ath* Mor Re τοῦτ' αὐτῷ Rog 7 γίγνεται reposui e libris cum Rog γίνεται Mor Re 9 λ σειν cum ras *U* λύσειν *Va* 11 τὰ πάντα *Ath* 12 ἂν inserui e *B* auctoribus Iacobsio Not 35 Sinteni Gasda cum Rog om *MaAthUVa* Mor Re 14 κρύπτει scripsi ex *Ath* auctore Gasda cum Rog κρύπτειν *MaUVaB* Mor Re κρύπτων Sintenis 15 ἂν εἴη] ἐστί Gasda | τί reposui e *MaUVaB* auctore Re cum Rog τίς *Ath* Mor Re | ἂν inserui e *MaUVaB* cum Rog om *Ath* Mor Re 16 ποῦ; πότε; scripsi auctore Re cum Rog ποῦ· πότε *B* ποῦ ποτε *UVa* που ποτὲ *Ath* Mor Re τοῦ αὐτοῦ *Ma* ἐραστάς πού ποτε Iacobs Not 36 et Gasda

ἀναισχυντεῖς, Ἄνυτε; τίς συνουσία Σωκράτους ἔξω τῶν γνωρίμων τόπων; τίς οἶκοι; τίς ἐπ' ἀγροῦ; τίς R III 40 *ἑτέρωθι;* 115. *ἀλλ' ἵνα μὴ καὶ τοῦτ' αὐτὸ | φάσκων λανθάνειν εἰς ἀδίκημα θῇς, τοσοῦτον ἀπόκριναι· πότερον ταῦτα ἃ κατηγορεῖς, τὰ δῆλα, τὰ πολλοὺς ἔχοντα μάρτυρας βλάπτοντός ἐστι καὶ παρανομοῦντος ἢ οὔ; εἰ μὲν γὰρ οὐδὲν ἂν ἀπ' αὐτῶν γένοιτο κακὸν οὐδὲ συμβέβηκεν, ὡμολόγηκας συκοφαντεῖν· εἰ δ' ἔστιν οἷα κατηγορῶν εἴρηκας, πολλὴν ἀνδρίαν, μᾶλλον δὲ ἀπόνοιαν τοῦ Σωκράτους λέγεις.* 116. *τί οὖν μαθὼν τὰ μὲν εἰς μέσον ἔφερε, τὰ δὲ ἀπεκρύπτετο; ἢ γὰρ δεδοικὼς κίνδυνον πάντα ἂν ἦγεν εἰς τὸ ἀφανὲς ἢ φιλοκίνδυνος ὢν οὐκ ἔστ' ἐφ' ὅτῳ τῶν πάντων ἔδεισεν ἄν. οὐ γὰρ δὴ μείζω γε τῶν ἐν τῷ φανερῷ φήσεις ἕτερα τολμᾶσθαι. τί γὰρ ἂν τοῦ διαφθείρεσθαι τοὺς νέους καὶ καταφρονεῖσθαι τοὺς νόμους καὶ κινεῖσθαι τὴν πολιτείαν δεινότερον γένοιτο;*

---

4 Plat. rep. IV p. 437 C

---

1 *σοι* ante *συνουσία* edd delevi 3 *καὶ* om *Ath* | *αὐτὸ φάσκων* scripsi ex *AthUVaB* *ἀποφάσκων Ma* edd 4 *λανθάνειν* scripsi ex *AthUVaB* *λανθάνω Ma* *λανθάνων* edd | *εἰς*] *ὡς* ut Dem. p. 292, 20? | *θῇς* reposui ex *AthUVaB* auctore Sinteni cum Rog *θεὶς Ma* Mor Re *εἰς ἀδύνατα ἀπαχθῇς* Gasda 5 *ταῦτα ἃ* scripsi auctore Re cum Rog *ταῦτα εἰ MaUVa* *εἰ ταῦτα B* *ταῦτα Ath* Mor Re Iacobs Not 36 | *κατηγόρεις Ath* | *τοὺς Ma* 6 *ὡς βλάπτοντός* Iacobs 8 *οὐδὲ* scripsi e *MaUVaB* auctore Re cum Rog *οὐδὲν Ath* Mor Re | *ὡμολόγηκας* scripsi e *Ma* *ὡμολόγησας AthUVaB* Rog *ὡμολόγηκε* Mor Re | *δὲ Ma* 9 *κατηγορεῖν Ma* | *ἀνδρίαν* scripsi e *MaVaB* sed in hoc ras supra *ι* *ἀνδρείαν AthU* edd 10 *παθὼν* Rog cf. t. IV 120, 15 17 *γένοιτο* reposui e libris cum Rog *καταγένοιτο* Mor Re qui adnotat: „*aut γένοιτο simplex leg. aut δεινότερον καὶ ἀσεβέστερον γένοιτο*“ *κακὸν γένοιτο* Iacobs Lect 199 Anth. Pal. III 681

117. Ὅταν δὲ λέγῃ τοῖς μὲν νέοις αὐτὸν διαλέγεσθαι, τοῖς πρεσβυτέροις δὲ οὐκ ἐθέλειν, ψεύδεται. καὶ οὕτως ἐστὶν ἀναιδής, ὥστ' ὁρῶν ἐν ὑμῖν καὶ τοῖς περιεστηκόσιν οὐκ ὀλίγους τῶν χαιρόντων καὶ συνόντων καὶ χρωμένων καὶ ὧν εἰώθει λέγειν ἀκηκοότων ὅμως φησὶν αὐτὸν φεύγειν μὲν τοὺς ἄνδρας, θηρεύειν δὲ τὴν νεότητα. νομίζει γὰρ ὑμᾶς ὧν αὐτοῖς σύνιστε παρὰ πάντα τὸν χρόνον ἃ νῦν ἀκούετε πιστότερα θήσεσθαι. 118. χωρὶς δὲ τούτων, εἰ μὲν αὐτὸν μὲν διδάσκαλον, οἴκημα δέ τι διδασκαλεῖον προσειπὼν ἐνταῦθα ἱδρυθεὶς θυρωρὸν ἀποδείξας τοῖς μὲν εἰσιέναι παρίει, τοῖς δὲ μή, μᾶλλον δὲ νόμον ἐτεθείκει νέοις μὲν εἰσελθεῖν εἶναι, πρεσβυτέροις δὲ μή, τάχ' ἄν τις ὑπώπτευε τὴν συνουσίαν· εἰ δ' οὔθ' ὑπέσχετο διδάξειν οὔτε μόνους τοὺς νέους, πανταχοῦ δὲ οὗ τῶν διαλεξομένων λάβοιτο, τοῦτ' ἦν αὐτῷ χωρίον διατριβῆς φάσκοντι μανθάνειν ἐπιθυμεῖν κύκλῳ τε αὐτὸν ὄχλος τῶν βουλομένων περιέρρει, τί δεῖ τοῦτον λέγειν ὡς τοῖς μὲν συνῆν, | τοῖς δὲ οὔ; οὐ γὰρ Σωκράτης R III 41

---

3 cf. Plat. apol. p. 30 A

4 ὀλίγοις *Ma* Mor | καὶ ante χαιρόντων libri edd delevi 7 νομίζει cum ras 1 litt post ι(2) *Ma* | ἂν ante αὐτοῖς *UVaB* Mor Re et inser *Ma* delevi auctore Cobeto Mnem. III 151 cum Rog | αὐτοῖς scripsi ex *UVa* auctore Gasda cum Rog αὑτοῖς *Ma* sed ᾿ in ῾ corr m^2, *AthB* Mor Re 8 ἀκούετε reposui e libris auctore Re cum Rog ἀκούεις Mor Re | φήσεσθαι *Ma* sed φ in ras m^2 9 αὐτὸν scripsi cum Rog αυτὸν *U* αὑτὸν reliqui libri Mor Re 10 δὲ ὅτι *Ma* | διδασκάλιον εἰπὼν *Ath* 11 ἱδρυθεὶς scripsi e *VaB* cum Rog ἱδρυνθεὶς *Ma* sed νν in ras m^2 ἱδρυσθεὶς *AthU* Mor Re 12 παρείη *Ma* | δὲ(2)] δεῖ *Ath* | νόμον *Ma* sed ο(2) in ras m^2 15 τε *Ath* | οὔ *Ma* 16 οὖν *Ma* 17 τ' Rog 18 ⟨ἀκούειν⟩ post βουλομένων supplevit Cobetus | δὲ *Ath* δὴ *B* | τοῦτον scripsi cum Par 3017 τοῦτο reliqui libri edd | λέγειν *Ma* sed ν in ras m^2

τοὺς τῆς ἀκοῆς ἐπιθυμοῦντας ἀπήλαυνεν, ἀλλ' οἱ μηδὲν δεόμενοι τῶν λόγων οὐ προσήεσαν Σωκράτει. σὺ δὲ παραπλήσιον ποιεῖς ὥσπερ ἂν εἰ τοῖς ἀνέμοις ἐγκαλοῖς ὑπὲρ τῶν πλεῖν οὐ βουλομένων, ἤ, νὴ Δία γε, ταῖς κρήναις ὑπὲρ τῶν οὐχ ὑδρευομένων. 119. *εἰ δὲ δεῖ καὶ τὴν αἰτίαν εἰπεῖν, πόθεν νέοι μᾶλλον ἢ πρεσβύτεροι μετεῖχον τῶν λόγων, οὐδὲν ἐρῶ ποικίλον, ἀλλ' ὅ παρὰ τοῖς μουσικὴν καὶ γράμματα καὶ τὰ ἄλλα διδάσκουσι πλείους ποιεῖ τοὺς νέους, τοῦτο καὶ παρὰ τῷδε. τί οὖν τοῦτο ἔστι; τὸ τοὺς μὲν ἐν τῇ τῶν μανθανόντων ὄντας ἡλικίᾳ τούτῳ μόνῳ προσέχειν τὸν νοῦν τῶν ἄλλων ἀφειμένους, ὑμῖν δέ, ὦ ἄνδρες, οἶμαι μυρίας πανταχόθεν περικεχύσθαι τὰς φροντίδας, γυναῖκας, παῖδας, τὴν οἰκίαν, πρεσβείας, δημηγορίας, συλλήβδην εἰπεῖν τὴν ὑπὲρ τῶν κοινῶν πρόνοιαν, ἃ καὶ τοῖς σφόδρα βουλομένοις ἐν οἷσπερ οἱ νέοι διατρίβειν ἐμποδὼν ἂν εἴη.* 120. *μὴ δὴ τοῦτο λεγέτω τις, ὡς νέοι Σωκράτει συνῆσαν, ἀλλ' εἴ τις τῶν πρεσβυτέρων εἴρχθη συνεῖναι βουλόμενος. τὸ μὲν γὰρ ἦν ἂν τοῦ*

---

11 Plat. apol. p. 23 C

---

2 *προσίεσαν MaUVa* 3 *ἂν* inserui e libris cum Rog om Mor Re *ὡσπερεὶ* Iacobs Lect 199 | *εἴ ⟨τις⟩* coni Iacobs Add 100 Not 37 et Cobet *οἱ — ἐγκαλοῦντες* coni Re | *ἐγκαλοῖς* scripsi e *Ma* cum Rog *ἐγκαλεῖς AthUVaB* *ἐγκαλεῖν* Mor Re *ἐγκαλοίη* Iacobs et Cobet *ἐγκαλῶν* coni Sintenis 8 *τὴν B* | *τἄλλα UB* Rog 9 *τούτῳ Ath* 12 *ἀφειμένους* reposui e *MaAthVaB* auctore Re cum Rog *ἀφειμένων U* Mor Re | *δέ* inserui e *MaAthUB* auctore Re cum Rog om *Va* Mor Re | *εἰ μοι Ath* 15 *πρόνοιαν Ma* sed *προ* in ras m² 17 *ἐμποδὼν* scripsi e *Ma* sed *ὼ* ex *οῖ* corr m², *UVaB* cum Rog *ἐν ποδοῖν Ath* Mor Re | *εἴη* scripsi cum Rog *εἶεν* libri Mor Re 18 *μόνοι* post *νέοι* inseruit Rog, *μᾶλλον ἢ πρεσβύτεροι* praetulerim coll l. 6 19 *γὰρ Ma* sed *γ* in ras m² | *ἦν ἂν* scripsi auctoribus Iacobsio Lect 199 App. Pors 321 et Sinteni *εἴη ἂν* Iacobs Not 38 *ἕνεκα* libri edd

φθονήσαντος ὧν εἶχεν, τὸ δ', εἴπερ ἦγον σχολήν, ἐκείνων ἥ γε μὴν αἰτία τῶν κεκωλυκότων πραγμάτων. καὶ μὴν τοσοῦτόν γε ἀπεῖχε τοῦ φεύγειν διώκοντας, ὥστ' ἐνίους φεύγοντας ἐδίωκεν. οὓς δὲ σφῶν αὐτῶν ἀμελοῦντας εὕρισκεν, ἐπαινεῖν μὲν οὐκ εἶχε, μεμφόμενος δὲ ἐλύπει. ὥστ' εἰ πᾶσιν Ἀθηναίοις ἐπῆλθε Σωκράτει συνημερεύειν ἀνθέλκοντος οὐδενός, ἤκουον ἂν ἅπερ οἱ νέοι. ταῦτα δὲ ἦν μανθάνειν μὲν ἅττα λέγουσιν οἱ ποιηταί, μιμεῖσθαι δὲ τοὺς κυβερνήτας καὶ τὰ ὕπουλα φυλάττεσθαι τῶν ἐπῶν ὥσπερ ἐκεῖνοι τὰς ὑφάλους.

121. Ἀλλὰ τί βούλεσθε περὶ τῆς Ἀθηνᾶς, ὦ Ἀθηναῖοι, πιστεῦσαι εὐθὺς τοὺς ὑμετέρους υἱεῖς, ὡς ἀνθρώπου φύσιν ὑποδῦσα τὸν Πάνδαρον ἤγειρε | R III 42 συγχέαι τοὺς ὅρκους, καὶ περὶ τῆς Ἥρας ὡς ὑπὸ τοῦ Διὸς ἀγανακτοῦντος κρεμασθείη χοίνικας ἔχουσα, καὶ περὶ τῆς Ἀφροδίτης ὡς νῦν μὲν μαστροπὸς Ἀλεξάν-

7 Xen. comm. I 4, 1 10 cf. t. IV 45, 26 R; t. IV 363, 5 14 Il. δ 81 sq. Plat. rep. II p. 377; 379 E 15 Il. ο 18 sq. 16 Arist. Plut. 276. Dem. p. 270, 8 17 Il. γ 383 sq.

1 *εἶχεν* scripsi auctoribus Iacobsio et Sinteni *εἶχον* libri edd | *τῶ Ma* | *ἦγον Ma* sed *γον* in ras m² *εἶχον Va* et Iacobs Lect 199 App Pors 321 2 *ἐκείνων* scripsi e *MaAthB* auctoribus Iacobsio et Sinteni cum Rog *ἐκείνῳ UVa* Mor Re | *ἥ γε μὴν αἰτία* scripsi *ἥ γε μὴν αἰτία* libri edd *εἰ δὲ μή, ἡ αἰτία* Iacobs Lect 199 App Pors 321 et Gasda *εἰ μή, ἥ γε μὴν αἰτία* Iacobs Not 38 4 *ἐδίωκεν Ma* sed ´*ωκ* in ras m² 5 *εὕρισκεν* reposui e libris cum Rog *εὕρηκεν* Mor Re 6 *ἐπῆλθε Ma* sed ε (1) ex α corr m² 7 *ἂν* inserui auctoribus Iacobsio Not 38 Sinteni Nabero cum Rog om libri Mor Re 9 *τὰ ὕπουλα* scripsi auctore Iacobsio Add 84 Lect 200 coll. Dem. cor. p. 327, 29 *τὰ πολλά* libri Mor Re qui *τἀπατηλὰ* coni *τὰ πονηρὰ* auctore Cobeto Mnem III 151 Rog 12 *περὶ* scripsi *πρὸς* libri edd *περὶ τῆς Ἀθηνᾶς* ante *πιστεῦσαι* edd delevi 13 *τίς πιστεῦσαι Ath* 15 *συγχέειν B*

δρῷ γένοιτο, νῦν δὲ αὐτή τε καὶ Ἄρης ὑπὸ Διομήδους τρωθεῖεν; ἀλλὰ τὴν Ἀπόλλωνος καὶ Ποσειδῶνος θητείαν οἴεσθε νέοις λυσιτελεῖν; ἀλλὰ τὸν μικροῦ δεθέντα ⟨Δία⟩ παρὰ τῶν ἐπ' αὐτὸν συνθεμένων θεῶν; ἀλλὰ τὴν πάντων θεῶν πρὸς ἀλλήλους μάχην; ἀλλὰ τὸν περὶ τῆς ἐκτομῆς λόγον ἣν ὁ Κρόνος ἐτόλμησεν, ἀλλὰ τὴν δίκην ἣν οὗτος αὐτὸς ἔτισε τὰ ἔσχατα μὲν ἐργασάμενος τὸν ἑαυτοῦ πατέρα, τούτων δὲ οὐ κουφότερα παρὰ τοῦ παιδὸς παθών;

122. Ἆρα διαφθείρει Σωκράτης τοὺς νέους ἢ διαφθείρεσθαι κωλύει; καίτοι ποῦ καλὸν Ὅμηρον μὲν βλασφημήσαντα περὶ τῶν θεῶν τοσαῦτα τιμῶν τυχεῖν, Σωκράτην δὲ τὰ μὲν ἐπαινοῦντα τῶν ἐκείνου, τὰ δὲ οὐ δυνάμενον ἀποθανεῖν καὶ ταῦτα τοῦ κατηγόρου σφόδρα κακῶς εἰρηκότος Ὅμηρον, ὡς δέον τοῦ αὐτοῦ τοὺς μὲν ἄλλους δίκην ὑπέχειν, τοῦτον δὲ μηδὲ διδόναι λόγον;

123. Ἵνα τοίνυν μήτ' αὐτὸς ἀπιστῇ μήθ' ὑμεῖς, ὡς κακῶς εἴρηκε τὸν Ὅμηρον, ἀναμνήσω τι τῶν αὐτοῦ

---

1 Il ε 334 et 855 sq. 2 Il. φ 442 sq. 4 Il. α 397 sq. 5 Il. υ 31 sq. Plat. rep. II p. 378 B sq. 6 Hes. theog. 180. Plat. rep. II p. 377 E sq. 8 Il. ξ 204

---

2 τὴν reposui e libris cum Rog τὸν Mor Re 3 μικρὸν *Ath* 4 Δία inserui auctore Cobeto cum Rog, πατέρα Iacobsius Not 40 om libri Mor Re 4 αὐτῶν *Ath* 7 ἔσχατα reposui e libris auctore Cobeto cum Rog αἴσχιστα Mor Re 9 διὸς *Ath* 11 post κωλύει; lacunam statuit Gasda | καὶ τὸ *Ma* | ποῦ scripsi e *MaUVa* coll. t. III 444, 6 et 391, 1 που *AthB* Mor Re πῶς Rog 16 τοὺς μὲν ἄλλους reposui e libris auctore Cobeto cum Rog τοῖς μὲν ἄλλοις Mor Re | μηδὲ scripsi auctore Cobeto μὴ libri edd 18 μήτ' αὐτὸς ἀπιστῇ scripsi auctore Re cum Rog μήτ' αὐτὸς ἐπιστῇ libri sed ἐπι eras *U* μὴ ταὐτὰ ἐπιστῇ Mor Re μὴ ταῦτα ἀπιστῆτ' ὑμεῖς coni Sintenis 19 τι scripsi cum Rog τί libri Mor Re

μικρόν. ὅτε τοίνυν ἔφασκεν Ὀδυσσέα διὰ τὴν ἱεροσυλίαν τὰ καὶ τὰ πεπονθέναι, τὰ μὲν ἐν γῇ, τὰ δὲ καὶ ἐν θαλάττῃ, καὶ τὰ μὲν ἐν τῇ κομιδῇ, τὰ δὲ οἴκοι, τότε τούτοις ἅπασι τὸν Ὅμηρον ἤλαυνε. πῶς; ὅτι πᾶς τις ὁμολογήσειεν ἂν ἐγκώμιον ἐκείνῳ τοῦ πολυπλανοῦς ἀνδρὸς τὴν Ὀδύσσειαν πεποιῆσθαι καὶ δεδόσθαι παρ' Ὁμήρου τούτῳ μόνῳ τοσοῦτον ὁπόσον τοῖς ἄλλοις ἅπασι. τὴν μὲν γὰρ Ἰλιάδα κοινὸν ἔπαινον συγκεῖσθαι, θατέρᾳ δὲ τὸν Ὀδυσσέα τετιμῆσθαι. 124. *διὰ τοῦτο τὴν Ἀθηνᾶν αὐτοῦ ποιεῖ τῆς σωτηρίας ἐπιμελουμένην καὶ οὐ μόνον τἆλλα συμπράττουσαν, ἀλλὰ καὶ τὸ εἶδος αὐτῷ τρέπουσαν, νῦν μὲν εἰς αἶσχος, νῦν δὲ εἰς κάλλος, | ὡς ἑκατέρου δεήσειεν. ἀλλὰ καὶ τὴν* R III 43
αἰτίαν αὐτῷ τῆς τοῦ Ποσειδῶνος ὀργῆς οὐκ ἐποίησε δικαίαν. ὁ μὲν γὰρ ὑπὲρ τοῦ Κύκλωπος τυφλωθέντος ἤχθετο, ὁ δὲ τὸν Κύκλωπα ἀμυνόμενος ταῦτ' ἐδεδράκει καὶ προσέτι γε σώζων αὐτόν. οὐκοῦν ἐν μὲν οἷς

---

1 Antisth. Ulix. 3 sq. 3 Her. VII 170; VIII 19; 108; IX 73; 107 5 sq. cf. t. IV p. 925, 1 sq. R 7 Antisth. Ulix. 1 10 Od. ε 382 sq. 11 cf. t. IV 166, 25 12 Od. ν 189 sq.; ϑ 18 sq. 16 Od. ι 316 sq. α 68 sq.

---

3 *τῇ* scripsi e *MaUB* auctore Re cum Rog *τοῖς AthVa* Mor Re | *ἀνακομιδῇ* auctore Re Rog *οἴκαδε ἀνακομιδῇ* coni Cobet 4 *ἤλαυνε* scripsi *ἐλαύνει* libri edd | *τις* om *AthUVaB* 5 *ἂν* inserui e libris auctoribus Iacobsio Not 40 et Sinteni cum Rog om Mor Re | *ἐκείνῳ* reposui e *MaUVaB* cum Rog *ἐκεῖνον Ath* Mor Re 7 *ὁμήρῳ Ath* 8 *ἅπασι. τὴν μὲν γὰρ* reposui e libris auctore Sinteni cum Rog *ἅπασι τὴν μὲν* Mor Re 9 *διατοῦτο MaB* 10 *ποιεῖ* reposui e libris auctoribus Gasda et Cobeto *ποιεῖται* Mor Re 11 *τἆλλα* scripsi ex *UVaB* cum Rog *τὰ ἄλλα MaAth* 14 *οὐκ ἐποίησε* reposui e libris *ἐποίησεν οὐ* edd 15 *ὑπὸ Ma* 16 *ἀμυνόμενος ταῦτ'* scripsi ex *AthUVaB* *ταῦτα ἀμυνόμενος Ma* Rog *ταῦτ'* om Mor Re „*desideratur τοῦτο aut κακῶς*“ Iacobs Not 40 17 *σῴζων* Rog cf. t. III praef. p. IX | *αὐτόν* scripsi e *MaVaB* cum Rog *αὐτὸν AthU* Mor Re | *ἐν*] *εἰ UVa* | *οἷς*]*ἐν οἷς B*

ἐπλανᾶτο ἠδικεῖτο, ἐν οἷς δὲ τοσούτων κακῶν κρείττων ἦν ἀρετὴν κεκτημένος ἐδείκνυτο. 125. τῷ μὲν οὖν Ὁμήρῳ ποιεῖν ἐπῆλθεν εἰς ἄνδρα θαυμαστὸν ἔπαινον, Ἄνυτος δὲ ὃν ἐκεῖνος τά τε ἄλλα γενναῖον ἡγεῖτο καὶ μόνον ἐπιθεῖναι τῷ μακρῷ πολέμῳ τέλος, πάντων ἀθλιώτατον ἀποφαίνει καὶ τὸν αὐτὸν ἀσεβῆ καὶ κακοδαίμονα. τί οὖν ἄν τις μᾶλλον Ὁμήρου κατηγορήσειεν ἢ τὸ τὸν κάκιστον τῶν ἐπ' Ἴλιον στρατευσάντων ἐκλεξάμενον περὶ τοῦτον οὕτω πολλὴν εἰσενέγκασθαι σπουδήν; 126. πότερον οὖν δίκην ὑπὲρ Ὁμήρου λαμβάνειν οὗτός ἐστι δίκαιος ἢ διδόναι μᾶλλον, ὃς τὴν ὑπόθεσιν αὐτῷ καταφέρει πρόρριζον αὐτὸς ὑπὲρ ἐπῶν οὐ πολλῶν ἐγκαλῶν ἑτέροις; εἰ γὰρ ὁ τὴν χεῖρά τῳ λωβησάμενος κολάζοιτ' ἂν εἰκότως, τόν γε ἀποκτείναντα πῶς ἔνι μὴ μείζω παθεῖν; ἀλλ' οὔτ' Ἄνυτος οὔτε Σωκράτης ἀδικοῦσιν, εἴ τι τῶν τοῖς ποιηταῖς εἰρημένων καταμέμφονται.

127. Ἀλλ' ἀργούς, φησίν, ἐποίει Σωκράτης. τίνα τρόπον; εἰπὲ τὸ καθῆσθαι ποιοῦντα μηδὲν τοῦ

5 cf. t. IV 166, 25. Od. α 2. Antisth. Ulix. 14   12 Her. I 32; VI 86   18 sq. Plat. Gorg. p. 515 E sq.

5 ἡγεῖτο ⟨γενέσθαι⟩? | ⟨ἱκανὸν⟩ μόνον Rog auctore Gasda qui ἱκανὸν vel μόνον ἱκανὸν vel in sequentibus ἐπιθεῖναι ⟨ἂν⟩ scribendum coni   6 εὐσεβῆ libri corr Mor   7 μᾶλλον Ὁμήρου scripsi e *MaUVaB* Ὁμήρου μᾶλλον *Ath* edd | ποιήσειεν *Ma*   8 τὸ om *Ma*   11 λόγον *MaUVaB*   14 τῳ om *Ma* | γε reposui e *MaUB*, ut coni Mor Iacobs Not 40 Sintenis τε *Ath Va* Mor Re γ' Rog   15 ἀποκτείναντα scripsi cum Sinteni ἀποκτένοντα libri ἀποκτείνοντα edd   16 οὔτε scripsi e Par 3017 cum Rog οὗτος ἢ libri Mor Re οὐθ' οὑτοσὶ Iacobs Not 40 | τοῖς ποιηταῖς reposui e libris cum Rog ποιητῶν Mor Re qui ποιηταῖς aut ὑπὸ τῶν ποιητῶν coni ὑπὸ ποιητῶν Iacobs   18 ποιεῖ coni Schanz Plat. apol. comm. 37   19 εἶπε *B* Mor sed vertit *cedo* εἰπέ reliqui libri Re ὅτι εἶπε Iacobs Add 215

μετιέναι τὰς ἐργασίας ποτὲ βέλτιον καὶ συνεβούλευσε τοῖς μὲν χειροτέχναις ἀποστῆναι τῶν τεχνῶν, τοῖς γεωργοῖς δὲ μισῆσαι τὴν γῆν, τοῖς ἐμπόροις δὲ ἐκλιπεῖν τὴν θάλασσαν, τοῖς δὲ ναύταις καθεύδειν, τοῖς δὲ ναυκλήροις μὴ κατασκευάζειν τὰ πλοῖα, πᾶσι δὲ ἁπλῶς πάσης ἀφεμένοις πράξεως εἰς τὸν οὐρανὸν βλέπειν ὡς ἐκεῖθεν ἀφιξομένης τροφῆς; εἷς ἐξ ἁπάντων Ἀθηναίων | παρελθὼν μαρτυρησάτω καὶ σιωπήσομαι. R III 44 *εἰ δὲ τὸ μὲν ἀργεῖν οὐκ ἐπῄνει, τὸ δὲ τῇ κτήσει τῶν χρημάτων ἢ τῇ τῆς ψυχῆς ἀρετῇ πλείω νέμειν τὴν σπουδὴν ἡγεῖτο τῶν ἀτόπων λέγων τιμιώτατον μὲν ἀνθρώπῳ τὴν ψυχὴν εἶναι, δεύτερον δὲ τὸ σῶμα, τρίτον δὲ τὰ χρήματα, πῶς ταῦτα πείθοντος ἦν ἀργεῖν;* 128. *ὃς τὸ μὲν ἔργῳ τῳ προσέχειν οὐκ ἐκάλει κακίαν, ἠξίου δὲ μὴ τὰ τῇ φύσει δεύτερα πρὸ τῶν ἀμεινόνων ἄγειν. ἐπειδὴ γὰρ ἑώρα πολλοὺς τοὺς μὲν*

---

10 Plat. apol. p. 36 B sq. 12 cf. p. 22, 1 sq. Plat. leg. IV p. 724 A; V p. 726 A sq. VIII p. 870 B

Not 40 *εἰ εἶπε* Rog (*εἰ εἶπέ* Par 3017) | *μηδὲν τοῦ* scripsi ex *AthUVaB* auctoribus Re et Iacobsio Add 215 Lect 200 Not 40 cum Rog *μηδέν τε Ma* *μηδὲν τὸ* Mor Re

1 *πότε βέλτιον* ⟨*εἶπεν εἶναι*⟩ *καὶ* coni Re 3 *ἐκπεσεῖν Ma* 4 *θάλατταν Ma* Rog | *δὲ* om *Ma* 5 *μὴ* om *Ma* 6 *ἀφεμένοις* reposui e *MaVaB* *ἀφεμενος U* sed *ο* eras *ἀφεμένης Ath* Mor Re *ἀφειμένοις* auctore Re Rog | *πάσης πράξεως Va* 7 *αὐξομένης Ma* | signum interrogationis posui e *MaB*, punctum reliqui libri edd 10 *πραγμάτων Ma* | *τῇ*] *τὸ Ath*

11 *λέγων* reposui e libris auctoribus Iacobsio Not 40 Sinteni Cobeto cum Rog *λόγων* Mor Re 12 *τῷ* ante *μὲν* Mor Re, post *μὲν* auctoribus Re et Cobeto Rog delevi | *τὴν* inserui e libris cum Rog om Mor Re 13 *τὰ* inserui e *Ma* om *AthUVaB* edd 14 *ὡς Ath* | *τὸ* reposui e *MaUVaB* auctore Re cum Rog *τῷ Ath* Mor Re | *ἔργῳ τῳ* scripsi auctore Re cum Rog *ἔργῳ τῷ Ath* *ἐργώ τῳ U* *ἐργώ τω VaB* *ἔργῳ τὸ Ma* Mor Re | *προέχειν Ath*

υἱεῖς ἐν ἴσῳ τοῖς ἀνδραπόδοις τρέφοντας καὶ οὔτε τὴν ψυχὴν παιδεύοντας οὔτε τὸ σῶμα γυμνάζοντας, πανταχόθεν δὲ πλοῦτον ἀγείροντας ὡς μιᾶς οὔσης εἰς εὐδαιμονίαν ἀφορμῆς, ἵνα παιδεύσειε κακῶς φρονοῦντας, ἐπετίμα καὶ μεθίστη καὶ μετεπαίδευε παραινῶν μὴ τὰ προσήκοντα περὶ ταῦτα ἀγνοεῖν μηδ' ἃ μὲν πλείστην ἀπαιτεῖ πρόνοιαν, περὶ ταῦτα ῥαθύμως ἔχειν, ἃ δ' ἐλάττονός ἐστι λόγου, περὶ ταῦτα πονεῖν. τοῦτο δὲ ἦν εὐπορεῖν τε τοὺς αὐτοὺς βουλομένου καὶ νοῦν ἔχειν.

129. *χωρὶς δὲ τούτων, εἰ μὲν οἷς ἀπὸ τῶν χειρῶν ὁ βίος, τούτους ἀφεῖλκεν ὅθεν ἕξων, ὥστ' ἀνάγκην εἶναι προσαιτεῖν, τάχ' ἂν ἠδίκει· εἰ δ' οἷς οἰκέται πολλοί, καὶ σὺ δὲ τοῦτο ὡμολόγηκας, Ἄνυτε, πλησιάζειν Σωκράτει λέγων οὐ τοὺς ταπεινοτάτους, πῶς ἄσπορον ἐποίει τὴν χώραν καὶ τὴν γῆν ἀπεστέρει γεωργῶν, εἰ*

---

5 Luc. Anach. 17; Lexiph. 21; Pseudol. 13 14 Dem. p. 279, 4

---

1 *ἐν ἴσῳ* om *UB* 3 *δὲ* om *Va* | *ἀγείροντας* reposui e *MaUVaB* auctoribus Iacobsio Lect 200 Not 41 et Cobeto cum Rog *ἐγείροντας Ath* Mor Re | *μιᾶς οὔσης* et *ἀφορμῆς* scripsi e *MaUB* *μιᾶς οὔσης* et *ἀφορμὴν Va* *μίαν οὖσαν* et *ἀφορμὴν Ath* edd 5 utrumque *καὶ* om *Ma* 6 *μὴ δ' MaB* | *ἃ μὲν* reposui e *MaUVaB* cum Rog *ἂν μὲν Ath* *ἂν* Mor Re qui *ἃ* coni 7 *ἀπαιτεῖ* reposui e libris auctore Re cum Rog *ἀπαιτεῖν* Mor Re 8 *λόγου* reposui e libris auctore Re cum Rog *λόγον* Mor Re | *τοῦτο* reposui ex *AthUVaB* auctoribus Re et Sinteni cum Rog *τὸ Ma* *τοῦ* Mor Re | *δ'* Rog 9 *εὖ φρονεῖν* coni Naber | *γε Ma* | *τοὺς* inserui e libris om edd 10 *τῶν* inserui e libris om edd 11 *ἀφεῖλκεν* reposui e libris auctore Cobeto cum Rog *ἀφεῖλεν* Mor Re 12 *δ' οἷς* reposui e libris auctoribus Sinteni et Cobeto cum Rog *δὲ* Mor Re *εἰ δὲ οἰκέται συνῆσαν αὐτῷ οὐ πάνυ πολλοί, καὶ οὐδὲ τοῦτ' αὐτὸς ὡμολόγηκας* coni Re | *ἱκέται Ath* *ἐργάται οὐ πολλοὶ ἐπλησίαζον Σωκράτει* Iacobs Lect 200 14 *ἄπορον UVa* 15 *ἐποίει* reposui e libris sed post *ι* (2) ras 1 litt *Ma*, auctore Re cum Rog *ἐποίειν* Mor Re | *τῆς γῆς Ath*

τοῖς τοὺς ἀγροὺς κεκτημένοις καὶ τὰς περιουσίας πρὸς τῷ τῆς ψυχῆς φροντίζειν καὶ τῆς γῆς ὑπῆρχεν ἐπιμελεῖσθαι;

130. Τοὺς μὲν οὖν ἄλλους οὐκ ἀπέτρεπεν ἔργων, αὐτῷ δὲ οὔτε χωρίον ἦν παρὰ τοῦ πατρὸς οὔτε ναῦς τό τε ἀργύριον ὅπερ ἦν, ὡς ἔφην, ἀπολώλει | καὶ R III 45 προσῆν τὸ ῥᾷστα φέρειν πενίαν. οὔκουν οὐδεὶς ἀνθρώπων, ὡς οὗτος, ἐκράτησε λιμοῦ. ὥστ᾽ εἰ κατὰ τὴν Σωκράτους φύσιν οἷόν τε ἦν συστῆναι στρατόπεδον, οὐκ ἂν ἦν ἕτερον ἀληπτότερον. ποῖον μὲν γὰρ οὐ δίψος, ποῖον δὲ οὐ θάλπος τοῖς τοιούτοις ἄλυπον; τί δ᾽ ἂν ἄνυδρον χωρίον οὐχ ὡς ἕν τι τῶν καταρρύτων διῆλθον; 131. τῆς ἀργίας Σωκράτους εἰλήφατε πεῖραν, ὦ Ἀθηναῖοι, τοῦτο μὲν ἐπὶ Δηλίῳ, τοῦτο δ᾽ αὖ ἐν Ἀμφιπόλει, ὅτε δὴ τῇ πρὸς ἅπαντα καρτερίᾳ τοὺς στρα-

---

1 Dem. p. 37, 20. Isocr. p. 224 c 6 cf. p. 23, 6 sq. 10 Thuc. I 143, 4 14 Plat. apol. p. 28 D; conv. p. 219 sq.; Lach. p. 181 B. Diog. L. II 5, 6, 22 sq.

---

2 *τῷ* reposui e libris auctore Sinteni *τὸ* edd | *ἐπιμελεῖσθαι* scripsi *ἐπιμέλεσθαι* libri edd 4 *οὖν* om *UVaB* | *ἀπέτρεπεν ἔργων* reposui ex *UVaB* auctore Re cum Rog *ἀπέτρεπεν ἔργον Ma* *ἐπέτρεπεν ἔργον Ath* Mor Re 6 *τό τε* scripsi e *B* *τότε* reliqui libri Mor Re *τό τ᾽* Rog *τὸ δ᾽* Iacobs Not 41 | *ἀπωλώλει Ma* sed ω (1) ex ο corr, Rog 7 *προσῆν* reposui e libris cum Rog *προσῆγε* Mor Re | *τῷ ῥάστῳ Ma* | *οὔκουν* scripsi ex *UVaB* auctore Gasda *οὐκοῦν MaAth* Mor Re 9 *οἷόν τε* reposui e libris cum Rog *ἂν* Mor Re 10 *ἂν ἦν*] *ἐνῆν* Cobet Mnem. III 152 | *μὲν* inserui e libris om edd 11 *δ᾽* ⟨*οὐκ*⟩ *ἂν* coni Re 12 *οὐχ ὡς* scripsi auctoribus Sinteni Gasda Cobeto cum Rog *ὡς οὐχ* libri Mor Re | *καταρρύτων* reposui e libris cum Rog *καταρρῶν* Mor Re 13 *πεῖραν* inserui e libris cum Rog om Mor Re qui *παραδείγματα εἰλήφατε* coni *τέκμαρ* Iacobs Add 123 Lect 200 *σημεῖα* Cobet 14 *δ᾽ αὖ* scripsi e *Ma VaB* auctore Iacobsio Add 123 cum Rog *δὲ Ath* *δ᾽ ἂν U* Mor Re qui adnotat „*malim aut ἂν abesse aut eius loco legi αὖ*“ 15 *ἅπαντας B*

τιώτας πρὸς αὑτὸν ἐπέστρεφεν ὁμοίως νύκτωρ καὶ μεθ' ἡμέραν. ἐῴκει γὰρ σιδηρῷ τινι. τοσοῦτον κατεγέλα τοῦ περὶ Θρᾴκην χειμῶνος. καίτοι τῇ μὲν ἀργίᾳ τὴν μαλακίαν, τῇ μαλακίᾳ δὲ τὸ μηδὲν τῶν τοιούτων φέρειν ἀκολουθεῖν ἀνάγκη. ὁ δὲ τῆς τῶν ὡρῶν ὑπερβολῆς κρείττων ἦν. καὶ τῇ περὶ τὸ Δήλιον τύχῃ φεύγων μετὰ τῶν ἄλλων μόνος ἦν τοῖς πολεμίοις κἀν τῇ φυγῇ φοβερός. οὕτως ὑπὸ τῆς ἀργίας τό τε σῶμα καὶ τὴν ψυχὴν διέφθαρτο.

132. *Ἔοικε δὲ Ἄνυτος ἐνεργοὺς νομίζειν τοὺς συκοφάντας μόνους, τοὺς δὲ παιδείᾳ προσέχοντας καὶ τὴν αὑτῶν διάνοιαν ἐκκαθαίροντας οὐδὲν ἔργον πράττειν. καὶ τοὺς μὲν ἀθλητὰς οὐ κακίζει, καίτοι τί τῆς ἰσχύος αὐτῶν εἰς ἕτερον ἂν διαβαίη; τοὺς δὲ ἀντὶ τῶν σωμάτων τὰς ψυχὰς ἀσκοῦντας, ὧν κἂν ἄλλος ἀπολαύσειεν, ἀχρήστους ἀποκαλεῖ. καὶ οὐ νομίζει ὡς μέγι-*

---

1 cf. t. III 243, 13 2 cf. t. IV 134, 13 13 Isocr. or. IV § 2

---

1 *αὑτὸν* scripsi e *Ma* sed ʽ e ʼ corr m², *B* cum Rog *αὐτὸν* *AthUVa* Mor Re | *ἀπέστρεφεν* *MaAthVa* *υπέστρεφεν* *U* | *μεθημέραν* *Ma* 2 *σιδηρῷ* scripsi ex *AthVaB* auctore Re cum Rog *σιδήρῳ* *MaU* Mor Re | *γὰρ* ante *κατεγέλα* Mor Re delevi cum Rog 4 *τῶν* om *AthUVaB* | *τοιοῦτον* *UVaB* 6 *κρείττων* reposui ex *AthUVaB* auctore Re cum Rog *κρεῖττον* Mor Re | *ἦν καὶ τῆς περὶ τὸ Δήλιον τύχης ἢ φεύγων* coni Re *κἀν* auctoribus Iacobsio Add 123 Lect 200 Not 42 Sinteni Cobeto Rog at talem dativum causae in deliciis habuit Libanius | *μάχῃ* auctore Cobeto Rog 8 *τότε* *MaAthUVa* Re 12 *αὑτῶν* scripsi e *VaB* cum Rog *αὐτῶν* *MaAthU* Mor Re 14 *ἕτερον* reposui e *MaUVaB* auctoribus Morello Iacobsio Lect 200 Not 42 Anth. Pal. III 560 Cobeto cum Rog *ἑταῖρον* *Ath* Mor Re | *δὲ* scripsi ex *AthUB* *δ'* *MaVa* edd 16 *ἀποκαλεῖ* *Ma* sed *εῖ* in ras m² | *νομίζει ὡς*] *νομίζεις* Iacobs Lect 200 App Pors 321 | *ὡς* aut delendum aut cum *πάντων* mutandum censuit Re delevit Rog

στον ἔργον, εἰ διὰ | τὰς παρὰ Σωκράτους μέμψεις R III 46 *οἱ τὰ κοινὰ πράττοντες φροντίζοιεν ἀρετῆς.*

133. *Οὐ λέγει παριών. μετὰ πολλῶν γε Ἀθηναίων, δεδωκότος γε τοῦ Σόλωνος, οὐκ ἔχων φύσιν δήμῳ δυναμένην ὁμιλεῖν, ὃ καὶ τῶν ἄλλων πολλοὺς ἰδιώτας τετήρηκεν. ἀλλ' ἐὰν ἴδῃ νέους πρὶν ὥραν ἥκειν ἐπὶ τὸ βῆμα πηδῶντας, ἐπιλαμβάνεται, κατέχει, τοῖς κοινοῖς ἐμμελετᾶν οὐκ ἐᾷ. τοῦτ' ἴδιον Σωκράτους ἔθος, ᾧ πολλάκις ἐξείλετο τὴν πόλιν κυβερνητῶν ἀπείρων. οὗτος ἀργῶν Ἀθήνησι διαγέγονεν; ἐργαζόμενος μὲν οὖν τὰ πάντων ὠφελιμώτατα, ἐξαιρούμενος δὲ ἀνεπιστημόνων ῥητόρων τὸ πλῆθος; ἐγὼ δὲ ὅστις μὲν ἠναντίωται τοῖς βλαβεροῖς, εὐεργέτην ἡγοῦμαι τῶν οὐ γευσαμένων τῆς βλάβης· ὃν δ' εὐεργέτην ἔξεστι προσειπεῖν, πῶς ἔτ' ἂν ἀργόν τις καλοίη;*

134. *Τραπεζίτης γὰρ οὐκ ἔστι. κρείττων ἴσως*

---

8 Plat. Phaedr. p. 228 E 16 Plat. polit. p. 268 B

---

2 *φροντίζοιεν* reposui e libris cum Rog *φροντίσειεν* Mor Re 3 *παριών* scripsi auctore Re cum Rog *περιιὼν* libri Mor Re | *γε* om *MaB* 4 *ἔχω* *MaUVaB* 5 *καὶ* inserui e libris cum Rog om Mor Re 7 *βῆμα* *U* sed *β* e *ρ* corr, B *ῥῆμα* *MaAthVa* 8 *ἐμμελετᾶν* scripsi auctore Cobeto Mnem. 1874 p. 377 et N. S. III 153 cum Rog *μελετᾶν* libri Mor Re qui aliquid deesse coni *ἐμπηδᾶν* coni Gasda | *Σωκράτους ἔθος, ᾧ*] *Σωκράτους εἶθ' ὅστις* Iacobs Add 180 Lect 200 Not 42 9 *ᾧ* scripsi coll l. 11 *τι* libri Mor Re *ὃ* auctore Re Rog 10 *παραγέγονεν* *Ma* | signum interrogationis inserui auctore Sinteni cum Rog 11 *ἐξαιρούμενος*] *καὶ κατεχόμενος* *Ath* | *δὲ* inserui ex *AthUVaB* *δ'* Rog om *Ma* Mor Re 12 signum interrogationis posui 13 *βλαβεροῖς* scripsi auctore Re cum Rog *βαρβάροις* libri Mor Re 16 *ἔστι. κρείττων* scripsi *ἔστι κρείττων* libri edd *ἔστι. κρείττων εἰ Σωκράτους νέων ἡγεῖσθαι τραπεζίτης, ἀδικεῖ* Iacobs Lect 200 App Pors 322 Not 42 „*locum hunc hiulcum non intelligo*“ Re et Rog at *ἴσως* cum ironia dictum | *ἴσως* om *Ath*

τῶν νέων ἡγεῖσθαι τραπεζίτης. ἀδικεῖ. σὺ δ' ὅτι μὲν οὐκ εὐπορεῖ, μέμφῃ, τὸ δ' ὡς πρᾳότατα τὴν πενίαν φέρειν οὐχὶ θαυμάζεις; καὶ Λακεδαιμονίους μὲν ἄριστα πολιτεύεσθαι νομίζεις οὐ φύντος αὐτόθι σοφιστοῦ, τοῦτον δὲ μετ' ἐκείνων πενόμενον τοῦτο καθ' ὃ προσέοικεν ἐκείνοις ἀδικεῖν λέγεις; 135. ἦν δὲ οὐ ταῦτα πρότερον ἐν τοῖς δικαστηρίοις ἐγκλήματα, τὸ μὴ πλουτεῖν, τὸ μὴ χρυσὸν κεκτῆσθαι, τὸ μὴ συνεωνῆσθαι γῆν, ἀλλὰ πᾶν τοὐναντίον, ὅτι οὗτος μικρὰ παραλαβὼν παρὰ τοῦ πατρὸς χρημάτων ὄγκον συνείλεκται μέγαν καὶ γεωργεῖ καὶ γέγονεν ἐξαίφνης ὑπὲρ τοὺς πολλούς. τίς οὖν ἡ μεταβολὴ καὶ πόθεν; Σωκράτης δὲ κινδυνεύει μόνος ἀνθρώπων διὰ τὸ τοῖς παροῦσιν ἀγαπῆσαι δοῦναι δίκην.

136. Πονηρῶν δέ, ὦ ἄνδρες, ἔργων διδάσκαλον ⟨αὐτὸν⟩ Ἄνυτος καλῶν καὶ φάσκων ὑμῖν ὑπ' αὐτοῦ
R III 47 διεφθάρθαι τοὺς νέους οὐκ ἔσχε | πλὴν Ἀλκι-

11 cf t. II 293, 12   17 Polycr. apud Isocr. Bus. § 5. Xen. comm. I 2, 12 sq. Aristid. rhet. t. II 110, 27 sq. Dind. cf p. 2 sq.

1 τῶν scripsi e *Ma* τῶν οὐ *UVaB* οὐ *Ath* τοῦ edd ἡγεῖσθαι reposui e libris cum Rog ἡγῆσθαι Mor Re   2 πρᾳότατα scripsi cum Rog πραότατα libri Mor Re   3 φέρειν inserui e libris auctore Iacobsio Lect 201 cum Rog om Mor sed φέρει in marg, Re | signum interrogationis e *Ma* posui cum Rog punctum reliqui libri Mor Re   5 τὸν Cobet | καθὸ *Ath* 6 signum interrogationis e *MaB* posui cum Rog punctum reliqui libri Mor Re   9 ὅτι — 10 πατρὸς inserui e libris cum Rog om Mor Re   10 παρὰ τοῦ πατρὸς παραλαβὼν *Ma* 12 ἡ inserui e *MaAthVaB* cum Rog om *U* Mor Re 15 Πονηρὸν *MaUVaB* Rog | δέ inserui auctore Gasda om libri edd | ὦ reposui e *MaUVaB* cum Rog om *Ath* Mor Re | πονηρῶν ante ἔργων libri edd delevi | διδάσκαλος *Ath*   16 αὐτὸν inserui om libri edd | ὑμῖν reposui e *MaUVaB* cum Rog ἡμῖν *Ath* Mor Re | ὑπ' αὐτοῦ om *Ma*

βιάδου καὶ Κριτίου μνησθῆναι. περὶ ὧν ἐστὶ μὲν ἀπολογεῖσθαι ῥάδιον, πάνυ δ' ἂν αἰσχυνοίμην, εἰ δόξαιμι καταλιπεῖν Ἀλκιβιάδην ἐν κοινωνίᾳ τῆς Κριτίου δόξης τοῦ τὰ κοινὰ γνώμῃ βεβλαφότος τὸν πολλὰ μὲν εὖ πεποιηκότα, πάντα δὲ κωλυθέντα, λυπῆσαι δὲ ἠναγκασμένον. πῶς οὖν μοι δοκεῖ; μικρὰ χωρὶς ὑπὲρ ἐκείνου διαλεχθέντα μετὰ ταῦτα συγχωρῆσαι μὲν ἴσην ἀμφοῖν εἶναι τὴν ἀδικίαν, δεῖξαι δὲ οὐδὲν μετὸν τῆς ἀδικίας Σωκράτει.

137. *Τί οὖν ἄν τις Ἀλκιβιάδου κατηγοροίη; πότερον ὅτι τὸν Ἀλκμαίωνα καὶ τὸν Ἱππόνικον ἀκούων καὶ προαιρέσεις γενναίας καὶ πράξεις ἐφαμίλλους καὶ Κλεινίαν καὶ μάχας καὶ τελευτὴν ἔνδοξον φρονήματος*

---

1 Aesch. Tim. § 173   2 Isocr. Busir. p. 222 c   8 Xen. comm. I 2, 25 sq.   11 Plat. Alc. I p. 112 C. Her. VI 125. Isocr. big. § 25   13 Her. VIII 17. Plut. Alc. 1. Xen. comm. I 2, 14 et 24. Isocr. big. p. 351 c sq. et 352 c

---

1 *καὶ Κριτίου* scripsi auctore Re cum Rog *καὶ τούτου κριτίου MaUVaB* *καὶ τούτου Ath* Mor Re *Κριτίου τε* Iacobs Lect 201 | *ἐστὶ* scripsi ex *Ath* *ἔστι MaUVaB* *τὸ* edd *τοῦ* Sintenis   4 *τὰ κοινὰ* reposui e *MaUVaB* coll. Xen. comm. I 2, 12 cum Rog *τινὰ Ath* Mor Re *τίνα* coni Re *τίνα* (vel *τί*) *οὐ* (vel *οὐκ*) Iacobs Lect 201 Not 43 *τὰ κακὰ* Hefermehl | *γνώμης Ath* *παρανόμως* vel *ἀνόμως* Iacobs | *βεβλαφότος* scripsi coll. Dem. p. 398, 4 *δεδρακότος* libri edd   5 *πάντα*] *πολλὰ* Gasda   6 *πρέπον* coni Re *πάντως* IacobsAdd 158 Lect 201 App Pors 322 Not 34 *προσήκειν* auctore Cobeto Rog | signum interrogationis inserui ex *U* sed eras, *B* cum Sinteni | *μικρὰ* om *Ma*   7 *μεταταῦτα Ma* | *μὲν* om *Ma*   8 *μετὸν U* sed *ον* maximam partem eras *μετὰ MaVa*   10 *Τί οὖν; τίς ἂν Ἀλκιβιάδου* Iacobs Lect 201 App Pors 322 | *ἂν*] *εἴ* coni Gasda | *κατηγοροίη; πότερον* scripsi auctore Cobeto Mnem. III 154 cum Rog *κατηγοροίη ποτὲ* libri Mor Re   11 *ὅτι — ἀκούων* om *Ma*   12 *καὶ* (1) reposui e libris auctore Re cum Rog *τὸ* Mor Re *ὅτι* Sintenis | *καὶ Κλεινίου μάχας καὶ τελευτὴν* Cobet   13 *ὅτι φρονήματος Ma UVaB*

ἔγεμε δυοῖν οἰκίαιν γνωριμωτάταιν πρέποντος; ἢ ὅτι καλὸν αὐτὸν ἡ μήτηρ ἔτεκε καὶ θαυμαστὸν τὴν ὥραν; ἢ ὅτι τὴν τῶν προγόνων διεδέξατο τάξιν καὶ πρὸς τὸ τὴν πόλιν εὖ ποιεῖν ὥρμησεν; ἢ ὅτι τοὺς ὁμόρους πρὸς τὴν Σπάρτην ἐξεπολέμωσε καὶ τὴν τῆς Ἀττικῆς φθορὰν ἐπὶ τὴν ἐκείνων μετέστησεν; ἢ ὅτι φαυλότερα τῆς ὑμετέρας ἀξίας τὰ ὄντα ἐνόμισε καὶ τὰ ἀπόντα ἐζήτησεν; 138. ἀλλ' εἰ τοὺς ἀφαιροῦντας τῶν ὑπαρχόντων μισεῖτε, τάς γε προσθήκας πῶς οὐκ ἂν ἐπαινοῖτε; ἐκεῖνος τοίνυν εἶδεν ἐπὶ τὸν Ἰόνιον, εἶδε νῆσον μεγάλην, ὠρέχθη Σικελίας, ἐπεθύμησεν Ἰταλίας, ἤλπισεν ἕξειν Λιβύην, ἔγνω περιστῆσαι Πελοποννήσῳ τὴν Ἑσπερίαν, ἐπεθύμησε λῦσαι τὸν πόλεμον τέλει καλῷ καὶ προσπεσεῖν Λακεδαιμονίοις προσαυξήσας τῇ πόλει τὴν ῥώμην. ἀλλ' οἱ φθονοῦντες καὶ κωλύοντες,
R III 48 ἐπειδὴ λέγοντες | οὐκ ἐκράτουν, ἠσέβουν μὲν

---

2 cf t. III 99, 5   4 Thuc. V 43. Isocr. big. p. 349 d   6 cf t. IV p. 197 R. Aristid. de IV viris t. II p. 167 sq. Dind.

---

1 ἔγεμεν *Ath* | γνωριμωτάτοιν Rog | πρέποντος; ἢ scripsi πρέποντος· ἢ libri πρέποντος, ἢ Mor Re πρέποντος καὶ Rog 2 ἔτεκε scripsi auctore Iacobsio Lect 201 Not 44 τέκοι libri edd 4 ὁμόρους reposui e *MaUVaB* auctore Re cum Rog ὁμήρους *Ath* Mor Re 7 ὑμετέρας scripsi e *MaAthUB* cum Rog ἡμετέρας *Va* Mor Re | τὰ (2)] ταῦτα *AthUVaB* 8 ἐζήτησεν scripsi e *MaAth* auctoribus Iacobsio Not 44 et Sinteni cum Rog coll p. 100, 4 ἐξήτησεν *UVaB* Mor Re 10 εἶδεν prius delendum censuit Iacobs Lect 201, alterum Not 44 et delevit Rog | ἐπὶ scripsi e *MaUVaB* ὑπὲρ *Ath* edd | εἶναι Sintenis Herm. I 469 12 περιστῆσαι scripsi e *MaUVaB* παραστῆσαι *Ath* Rog παραστῆναι Mor Re et A. Hug, Schweiz. Mus. I (1861) p. 187 vertens: *dem Peloponnes beistehen würde* | πελοπονήσῳ *Ma* πελοπόννησον *Ath* πελοπόνησον *UVaB* 13 Ἑσπερίαν scripsi auctore Sinteni ἑσπέραν libri edd 14 κακῷ *Ath* | προπεσεῖν *Ma*

αὐτοὶ καὶ περιέκοπτον τοὺς Ἑρμᾶς, τὰ δ' αὐτῶν κακὰ φέροντες ἐκείνῳ περιῆπτον, καὶ μέτοικοι καὶ μυστήρια καὶ σκευωρία καὶ πᾶσα τέχνη καὶ μηχανή. 139. *σκοπεῖτε δέ· δοῦναι λόγον ἤθελεν, οἱ δὲ ἐκέλευον πλεῖν. ἔπλει τὸν Ἰόνιον, οἱ δὲ τὸν δῆμον ἠρέθιζον. προσήγετο τὴν νῆσον, οἱ δὲ ἐκάλουν εἰς ὄλεθρον. τί οὖν ἐποίησεν; ὃ πᾶς τις ἂν εὖ φρονῶν. ἔσωσεν αὑτὸν καὶ τὸ βάραθρον ἐφυλάξατο. καὶ ἡγήσατο τότε παρὰ τῆς Σαλαμινίας ἀκούειν· φεῦγε τὴν ταχίστην, Ἀλκιβιάδη. φεῦγε. ζήτει σωτηρίαν ὡς Ἀθήνησί γε οὐκ οὔσης. δοκεῖς μὲν ἐπὶ κρίσιν, καλῇ δὲ ἐπὶ θάνατον. πίστιν ἔχουσιν αἱ διαβολαί. καὶ πάντα τοῦτον κατηγοροῦ τὸν χρόνον.* 140. *τί οὖν θαυμαστόν, εἴ τις ἀδίκως οὐκ ἠθέλησεν ἀποθανεῖν; τί δ', εἴ τις ὅθεν προσεδόκησεν ἀσφάλειαν, ἐκεῖσε ἔπλευ-*

1 Thuc. VI 27. Andoc. myst. § 15 sq. 2 Andoc. l. l. 3 Dem. p. 1272, 8 | Thuc. VI 53 et 61 4 Thuc. VI 29, 3 9 Thuc. VI 61, 5 sq. Plut. Alc. 21. Apostol. paroem. XV 31

1 *τοὺς Ἑρμᾶς* reposui e *MaUVa* auctoribus Iacobsio Lect 201 App Pors 322 Not 44 Sinteni Cobeto cum Rog *τὰς ἑρμᾶς* *B* sed ˜ e ˋ corr *τὰς ὁρμὰς Ath* Mor Re | *αὐτῶν* reposui e *Ma* cum Rog *αὑτῶν AthUVaB* Mor Re 3 *σκευωρία* scripsi ex *AthVaB* *σκευάρια MaU* edd 4 *ἤθελεν* scripsi auctoribus Sinteni Gasda Cobeto cum Rog *ἦλθεν* libri Mor Re 5 *ἔπλει* scripsi auctoribus Iacobsio Lect 201 et Sinteni *ἐπὶ* libri Mor Re *πλεῖ* Iacobs Add 130 App Pors 322 Not 44 *ἔπλει ἐπὶ* auctore Cobeto Rog | *προσήγετο* reposui e libris cum Rog *προσῆγε* Mor Re 7 *ἂν* inserui ex *AthVaB* cum Rog om *MaU* Mor Re | *αὑτὸν* scripsi ex *UVaB* cum Rog *αὐτὸν Ma Ath* Mor Re 8 *τὸ βάραθρον* reposui e libris auctoribus Iacobsio Lect 202 App Pors 322 Not 45 Sinteni Cobeto cum Rog *τὸν βάρβαρον* Mor Re 11 *οὔσης* vitio laborare censet Rog perperam | *καλεῖσθαι* post *κρίσιν* inserendum coni Re cui illud e sequenti *καλῇ* suppleri iure opposuit Iacobs Lect 202 Not 45 15 *ὅθεν* inserui e *MaAthUVa* cum Rog *ὅθεν καὶ B* om

σεν. ὁ δὲ ἦν μὲν ἐν Σπάρτῃ, τὰς Ἀθήνας δὲ ὠνειροπόλει. καὶ οὐκ ἔφθη πιστευθεὶς καὶ μεθ' ὑμῶν ἦν τὴν γνώμην μεταφέρων μὲν ἐς τὴν τῆς πόλεως χρείαν τὴν βασιλέως ῥοπήν, καταλύων δὲ τὸ Λακεδαιμονίων ναυτικὸν ἀπορίᾳ μισθοῦ, τῶν δὲ προσδοκωμένων τριήρων ἀποστερῶν. καὶ οὐ πρότερον ἐπαύσατο καταπολεμῶν ἐκείνους φυγὰς ὤν, Ἄνυτε, καὶ τὸν δῆμον εἰδὼς ἐπικείμενον αὐτῷ, πρὶν αἰσχυνθέντες ὑμεῖς ναυμαχίας καὶ μάχας καὶ νίκας καὶ πόλεις προσγεγενημένας ἐψηφίσασθε τὴν κάθοδον καὶ τὰς ἀρὰς ἀνελύσατε. ὁ δὲ
R III 49 τοῖς μυστηρίοις ὁ κάκιστος ἐκεῖνος ἀπέδωκε τὴν | ἀρχαίαν ὁδόν. 141. καὶ ἐῶ λέγειν ἁρμάτων πλῆθος καὶ μεγάλας ὑπὲρ ὑμῶν Ὀλυμπίασι δαπάνας ἀφ' ὧν δόξαν ὑμεῖς εἰς τὸ κοινὸν ἰσχύος ἐσχήκατε. φανεῖται

---

1 Isocr. big. p. 348 d 3 Thuc. VIII 45 sq. 4 Thuc. VIII 46 et 80 10 Thuc. VIII 81 11 Plut. Alc. 33 et 34 12 Isocr. big. p. 353 b sq. 14 Thuc. VI 16 | Plat. leg. III p. 681 C

Mor Re qui οὗ inserendum coni, ἧ Sintenis ἧ pro τις scribendum coni Iacobs Lect 202 App Pors 332 Not 45 | ἔπλευσε Re 2 ὑμῶν scripsi ex *AthUVaB* cum Rog coll l. 8 ἡμῶν *Ma* Mor Re 4 λακεδαιμόνιον *Ma* 5 τριήρων reposui e *MaUVaB* cum Rog τριήρεων *Ath* Mor Re 7 ἐκείνας *B* 8 αὐτῷ scripsi ex *U* cum Rog αὗτῶ *B* αὐτῷ *MaAthVa* Mor Re | ὑμεῖς scripsi e *MaUVa* cum Rog ἡμεῖς *AthB* Mor Re | ναυμαχίας scripsi ex *UVaB* cum Rog ναυμαχίαν *MaAth* Mor Re 9 καὶ μάχας inserui ex *AthUVaB* om *Ma* edd | γεγενημένας libri corr Mor 11 ἀπέδωκε τὴν scripsi auctore Iacobsio Not 45 ἀπέδωκεν libri ἐπέδωκεν Mor Re qui ἀπέδωκε coni ut Iacobs Add 290 ἀπέδωκεν τὴν Rog qui perperam adnotat: *aut deest sententiae prior pars aut manum librarii cuiusdam agnoscere debemus* 13 ἡμῶν *Ma* | Ὀλυμπίασι scripsi cum Rog ὀλυμπιάσι libri Mor Re 14 τὸ κοινὸν reposui e libris cum Rog τόνον Mor Re εὐτόνου vel συντόνου Iacobs Not 45 λόγον coni Sintenis Herm. I 470 coll Thuc. VI 16

τοίνυν κἂν τοῖς δευτέροις κυβερνήτου προπετείας, οὐχ ἑαυτοῦ κακίας ὑποσχὼν δίκην καὶ ὅλως τῶν μὲν ἔξω κεκρατηκώς, βασκανίας δὲ τῆς παρ' ὑμῖν ἡττηθείς, πολὺ δὲ τῶν ἐκβαλόντων αὐτὸν χρησιμώτερος τῇ πόλει.

142. Καὶ ταῦτα διῆλθον οὐκ Ἀλκιβιάδου καὶ Σωκράτους χάριν μᾶλλον ἢ ὑμῶν καὶ τῆς ὑμετέρας, ὦ Ἀθηναῖοι, δόξης. δεῖ γὰρ ὑμᾶς οὐκ ἀσεβεῖ διηλλάχθαι δοκεῖν, ἀλλὰ τὸν οὐδὲν ἠδικηκότα καταδεδέχθαι. ἵνα δὲ ὅσον περίεστι τῷ νυνὶ κρινομένῳ τῶν δικαίων ἔτ' ἄμεινον μάθητε, ἔστω μὲν Ἀλκιβιάδης μηδὲν Κριτίου βελτίων, ἔστω δὲ Σωκράτης διδάσκαλος ὁ μηδαμοῦ μηδενὶ τοῦτο ὑποσχόμενος. ἐξεταζέσθω δὲ παρ' ὑμῖν, εἰ τῆς τῶν οὐκ ἐθελησάντων ἢ μὴ δυνηθέντων γε μαθεῖν κακίας ὁ διδάξαι γε βουληθεὶς ὑπεύθυνος. εἰ γὰρ ὁ μὲν ἔλεγεν ὃ ποιοῦσιν ἂν συνήνεγκεν, οἱ δὲ οὐ προσεῖχον τὸν νοῦν ἑτέρων αὐτοῖς ἀρεσκόντων, τί δεῖ Σωκράτην ἀντ' ἐκείνων μισεῖν; ὥσπερ ἂν εἴ τις γεωργὸν μηδὲν παραλιπόντα τῶν περὶ τὴν γῆν πόνων, ἀλλὰ καὶ χερσὶ καὶ σκεύεσι καὶ βουσὶ καὶ σπέρμασι

---

1 Xen. Hell. I 5, 11 sq. 12 Polycr. apud Isocr. Bus. § 5 p. 222 d 16 Plat. Euthyph. p. 2 D

---

1 *ἐν Ath* | *δευτέρας Ath* *ὑστέροις χρόνοις* coni Naber 3 *ὑμῖν* scripsi ex *Ath UVaB* *ἡμῖν Ma* *ὑμῶν* edd 4 *αὐτὸν* scripsi auctore Gasda *αὐτὸς* libri edd 9 *καταδεδέχθαι* scripsi auctore Cobeto cum Rog *δεδέχθαι* libri Mor Re 13 *μηδενὶ* reposui ex *Ath UVaB* *μηδὲν Ma* edd | *τοῦτο* inserui e libris om Mor Re *τοιοῦτο* auctore Gasda Rog | *ὑμῖν* reposui e libris *ὑμῶν* edd 14 *εἰ τῆς* reposui e *MaUVaB* auctore Re cum Rog *εἴ τις Ath* Mor Re 16 *οἱ* et 17 *προσεῖχον* reposui e libris auctore Re cum Rog *ὁ* et *προσεῖχε* Mor Re 18 *εἴ* inserui auctoribus Gasda et Cobeto Mnem. III 151 cum Rog om libri Mor Re 19 *παραλείποντα Ath UVaB*

καὶ τῷ περὶ ταῦτα νόμῳ χρησάμενον, ἔπειτα μηδ' ὁτιοῦν παρ' αὐτῆς κεκομισμένον οὐκ οὔσης ἀγαθῆς R III 50 *αἴτιον τοῦ συμβάντος ἡγοῖτο, ἀλλ' | ἕτοιμον αὐτῷ καὶ περὶ τῆς αὑτοῦ διεξελθεῖν τέχνης καὶ δεῖξαι τὴν γῆν.* 143. *ὁρῶμεν δὲ κἀν ταῖς ἄλλαις τέχναις τοὺς μὲν παριόντας τὸν διδάσκαλον, τοὺς δὲ πρὸς ἴσον ἐρχομένους, τὸν δὲ ἐλάττω λαμβάνοντα, τὸν δὲ οὐδ' ὁτιοῦν. ἐντεῦθεν σκυτοτόμου σκυτοτόμος ἀμείνων καὶ τέκτονος τέκτων κἀν τοῖς ἄλλοις ἕτερος ἑτέρου τῶν αὐτῶν τετυχηκότες διδασκάλων. ἔστι γάρ, ὦ Ἀθηναῖοι, βιαιότερον καὶ μᾶλλον ἰσχυρὸν μαθήσεως φύσις. ὅταν ᾖ πονηρά, καθέλκει πρὸς ἑαυτὴν καὶ πᾶσαν παίδευσιν ἀπέφηνε μάταιον. εἰ δὲ μὴ τοῦτο τοιοῦτον ἦν, ἐν ἅπασιν ἂν τοῖς ὁμοτέχνοις τὸ ἴσον τῆς ἐπιστήμης ἔκειτο. εἰ δὲ τῆς φύσεως πανταχοῦ τὸ κράτος ἐχούσης οὐχ οὕτω τοῖς ἀνθρώποις ἐδόκει, ἀλλ' ἐν ταῖς τῶν φοιτητῶν ἀπειρίαις τοὺς διδασκάλους ἐκόλαζον, κατα-*

---

3 Plat. rep. VIII p. 567 A 11 cf. t. IV 450, 4 sq.

---

1 *καὶ* inserui e *MaUVaB* om *Ath* edd | *μὴ δ' Va μηδοτιοῦν U* 4 *αὑτοῦ* scripsi ex *UVaB* cum Rog *αὐτοῦ MaAth* Mor Re 5 *γῆν*] *ο ην* cum ras 2 litt *U* *ην* cum ras 3 litt ante *η Va* *ὀργήν B* 6 *τὸν μὲν διδάσκαλον Ath* | *ἶσον Ma* 7 *ἐλάττω* scripsi ex *AthUVaB* *ἔλαττον Ma* edd 8 *σκυτοτόμου* inserui ante *σκυτοτόμος* e *MaUVaB*, post *σκυτοτόμος* Rog auctore Re om *Ath* Mor Re 9 *τέκτονος τέκτων* reposui e *MaUVaB* *τέκτων τέκτονος Ath* edd 10 *Ἀθηναῖοι* scripsi cum Par et Rog auctoribus Gasda et Cobeto Mnem. N. S. III 148 *θεοὶ* libri Mor Re 11 *ἡ γὰρ φύσις* ante *ὅταν* inser auctore Cobeto Rog et Gercke Plat. Gorg. p. XLIX | *ὅτ' ἂν Ath* 12 *ᾖ* reposui ex *UVaB* auctoribus Iacobsio Lect 202 Not 45 Anth Pal III 62 et Cobeto cum Rog *ἦν Ath* Mor Re *ἡ Ma* | *ἑαυτὴν* reposui e libris auctoribus Re et Iacobsio Not 45 cum Rog *ἑαυτὸν* Mor Re 13 *ματαίαν* coni Iacobs Not 45 contra usum Libanii 14 *ἂν*] *οὖν Ath* | *ἶσον MaB* 16 *οὕτως Ath* 17 *καταλέλυντ' ἂν αἱ* scripsi auctoribus Sinteni et Gasda cum

λέλυντ' ἂν αἱ τέχναι μηδενὸς τολμῶντος διδάσκειν ἐπὶ τῷ μὴ κακῶς παθεῖν. ἀλλ', οἶμαι, τοῖς μὲν διδασκάλοις πανταχοῦ χάρις ὀφείλεται, τῶν προσιόντων δὲ τὸ μὴ μαθεῖν ἔγκλημα. 144. καὶ μὴν τούς γε νομοθέτας οὐδὲν ἕτερον ἢ διδασκάλους πάντες ἄνθρωποι νομίζουσιν οὐ μιᾶς τινος ἡλικίας οὐδὲ ἔθνους ἑνὸς τῶν ἐν ταῖς πόλεσιν, ἀλλ' ὁμοίως μὲν νέων, ὁμοίως δὲ γερόντων, ἔτι δὲ ἀνδρῶν καὶ γυναικῶν καὶ ἀστῶν καὶ ξένων καὶ δούλων καὶ ἐλευθέρων. καὶ διὰ τοῦτο πρῶτοι τιμῶνται μετὰ τοὺς θεούς, ὅτι παρ' αὐτῶν μεμαθήκαμεν ἅ τε δεῖ ποιεῖν ὧν τε ἀπέχεσθαι. ἀκούομεν δὲ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δωρεὰς καὶ ζημίας, ὧν αἱ μὲν ἕπονται τοῖς ἀπειθοῦσιν, αἱ δὲ τοὺς ἐπιεικεῖς ἀμείβονται. ἀλλ' ὅμως οὐδὲ τούτων ἀμφοτέρων ἐλπίδες ἀρκοῦσιν ἐκκόψαι πονηρίαν. ἀλλ' οἱ μὲν ἀπειλοῦσιν, Ἄνυτος δὲ ἀδικεῖ. οἱ μὲν ἐπαγγέλλονται, Μέλητος | δὲ οὐκ ἐπιθυμεῖ τιμῆς, ἀλλ' αἱρεῖται μισθοῦ R III 51
μᾶλλον συκοφαντεῖν ἢ τῶν χρηστῶν νομισθεὶς θαυ-

---

5 Plat. conv. p. 209 D sq.; Gorg. p. 514 E sq. 18 cf. p. 30, 7

Rog coll t. IV 85, 11 et III 26, 8 *κατελέλυντ' ἂν αἱ B* et coni Cobet et Gercke Plat. Gorg. p. XLIX *κατ λέλυνται* cum ras 1 litt *U* *καταλέλυνται* reliqui libri Mor Re

2 *μὴ* inserui ex *UVaB* om *MaAth* edd | *τοὺς μὲν διδασκάλους Ma* (et Par) 3 *πανταχοῦ* — 5 *διδασκάλους* om *Ma* (et Par) 4 *μὴ* inserui e libris auctoribus Iacobsio Lect 202 Not 46 Sinteni Cobeto cum Rog om Mor Re qui *μηδὲν* inserendum coni 9 *διατοῦτο MaB* 11 *ἅ τε* scripsi auctore Cobeto *ὅ τι* libri edd 12 *δ'* Rog | *οὐδὲ Ma* 15 et 16 *αἱ* Rog auctore Gasda at cogitatione e lin. 4 repetendi sunt *οἱ νομοθέται* 16 *Ἄνυτος* voce denuo incipiunt *C* (fol 336) *A* (fol 229) in quo *Ἄ* deest | *οἱ A* Mor | *μὲν* scripsi auctore Re *δὲ AthUB* *δ'* reliqui libri edd | *μέλιτος UVaB* sed in hoc *ι* ex *η* corr, Re *Ἄνυτος* Mor 17 *δ' C AthVa* Re 18 *ἢ* — *θαυμασθῆναι* om *Ma* (et Par) | ** *θεὶς* Mor | *φαντασθῆναι B*

μασθῆναι. 145. τολμωμένων οὖν τῶν ἀδικημάτων ἁπάντων μετὰ τοὺς νόμους καὶ τὴν ἐπιζήμιον ἀπείθειαν κατεβόησέ τις τοῦ Σόλωνος ἢ κακῶς εἶπε τὸν Δράκοντα καὶ δεινὸν ποιησάμενος τὸ φθῆναι τελευτήσαντας πρὸ τοῦ δοῦναι δίκην ἐκέλευσεν ἀχρήστους νομίζειν καὶ λυμεῶνας; οὐδείς. ἀλλὰ τοὺς μὲν σωτῆρας νομίζομεν, τοὺς δὲ παρανομοῦντας κολάζομεν. 146. τί δ' ἄν τις εἴποι περὶ τῶν πολὺ φοβερωτέρων διδασκάλων, ὑμῶν, ὦ Ἀθηναῖοι, τῶν δικαζόντων; οἳ οὐ λόγῳ συμβουλεύετε τὰ δίκαια ποιεῖν, ἀλλ' ἔργῳ, δημεύοντες, ἐξελαύνοντες, τοῖς ἕνδεκα παραδιδόντες ἐπὶ θανάτῳ. ⟨ὧν⟩ οὐδὲν οὔτε τοὺς πονηροὺς ἔπαυσεν ἀδικοῦντας οὔθ' ὑμᾶς καταγινώσκοντας, ἀλλ' οἱ μὲν τήμερον ἀποθνήσκουσιν, οἱ δὲ τῆς ὑστεραίας ἐπὶ τοῖς αὐτοῖς ἁλίσκονται. καὶ οὐδὲν μήποθ' εὕρῃ νομοθέτης εἰς τιμωρίαν οὕτω πικρὸν ὃ ποιήσει πάντας δικαίους. 147. εἶτα τῶν ἐν τοῖς δικαστηρίοις κινδύνων ἐξεληλεγμένων καὶ τῆς κακίας τολμᾶν ἐπισταμένης, εἰ μὴ Σωκράτης ἀπὸ τῶν ἐν Λυκείῳ λόγων ἅπαντας ἁπλοῦς ἐποίησεν εἶναι, ἀδικεῖ; καὶ τοὺς μὲν οἰκέτας, ἐφ' οὓς οὐδὲν δεῖ δικαστηρίου καὶ γραφῆς, ἀλλ' ἐξουσία τοῖς δεσπόταις μύλωνος, πεδῶν, μαστίγων, στίξαι, στρεβλῶ-

6 Dem. p. 807, 19 22 Arist. Vesp. 1296

1 *μενόντων Ma* 3 *κατεβόησε τίς* Gercke Plat. Gorg. p. L 4 *τὸ* om Mor 7 *κολάζομεν* — 8 *πολὺ* om *Ma* 8 *φοβερωτέρων τῶν διδασκάλων Ma* 9 comma post *διδασκάλων* inserui om libri edd | *θεοὶ MaAthUB* Mor 12 *ὧν* inserui auctore Sinteni om libri edd sed *ἀλλ' ὅμως* inserendum coni Re, *δ'* (post *οὐδὲν*) Iacobs Not 46 13 *καταγινώσκοντας* scripsi e *CMaUVaB καταγιγνώσκοντας AAth* edd 15 *ὁδὸν Ath* *οὐδέποτε AthUVa οὐδήποτε B* | *εὕρῃ*^{οι} *B* *εὕρε* Iacobs Lect 202 17 *δικαίως C* 19 *λυκίῳ MaAthUVa* | *ἁπλῶσ* cum ras *U* *ἁπλῶς Va* 20 *οἷς Ath* Re 21 *ἐξουσίας* Mor 22 *μυλῶνος CA* cf p. 36, 12 et ad t. II 543, 10 | *πέδων Ma* Mor

σαι, τούτους μέν, ἂν ὦσι πονηροί, οὐκ ἂν μεταβάλοιμεν τοῖς αἰκισμοῖς, τῶν δ' ἐλευθέρων καὶ φρόνημα παρὰ τῆς εὐγενείας ἐχόντων δεσπότης ἦν ἀκριβέστερος Σωκράτης ἢ τῶν ἀργυρωνήτων ὑμεῖς;

148. *Κριτίας ἐλύπησε τὸν δῆμον. καὶ γὰρ Σωκράτην. ὑμᾶς ἀφείλετο τὴν | παρρησίαν. καὶ* R III 52 *γὰρ ἐκεῖνον τὰς εἰωθυίας συνουσίας. ἆρ' οὖν ὑμῖν, εἰ μαθητὴς ἀκριβῶς ἦν Σωκράτους καὶ τῶν ἐκείνου καὶ λόγων καὶ τρόπων λίαν ἐπιθυμητής, τοιούτους ⟨ἂν⟩ ἀποδοῦναι δοκεῖ τῷ διδασκάλῳ τοὺς μισθοὺς καὶ παρελέσθαι τοῦ βίου τὴν τάξιν ἐν ᾗ τοσοῦτον ἐβεβιώκει χρόνον, καὶ ὁ μὲν κακῶς λέγειν τὴν ἀρχήν, ὁ δ' οἷς μάλιστα λυπήσειν ἔμελλεν ἐπιτάττειν, ἀλλ' οὐκ ἂν ὁ μὲν τὴν ὠμότητα θαυμάζειν, εἴπερ ταύτην ἐδίδασκεν, ὁ δ' ἀντιτιμᾶν τοὺς παρασκευάσαντας;* 149. *τούς γέ τοι παιδοτρίβας ἴσμεν ἐν τοῖς στεφάνοις τῶν ἀθλητῶν οὔτ' ἀχθομένους πρὸς αὐτοὺς οὔθ' ὑβριζομένους ὑπ' αὐτῶν, ἀλλ' ἄμφω συνηδομένους ἀλλήλοις, Σωκράτης*

---

5 Xen. comm. I 2, 12 sq. 7 cf p. 47, 2; 135, 2. Xen. comm. I 2, 31 8 Plat. apol. p. 33 A

---

1 *μεταβάλλοιμεν UB* 3 *καὶ* ante *παρὰ Ma* | *ἦν* om *Ma* 5 *σωκράτη* cum ras 1 litt *U* *σωκράτης MaVa* Mor 6 *ἡμᾶς Ma* 7 *συνουσίας C* sed *ουσ* in ras m², *Ma* sed *συνουσι* in ras m² 8 *ἀκριβὴς C* sed *ὴς* in ras m², et coni Gasda *ἀκριβέστερος VaB* | *καὶ* (2) om *Ma* 9 *τρόπων καὶ λόγων C* | *ἂν* inserui post *τοιούτους*, post *ἀποδοῦναι* Rog auctore Gasda 10 *τοὺς* om *Va* 11 *βεβίωκε AthUVaB* 12 *λέγειν C* sed *ν* suprascr, *A* sed *ν* add m² *λέγει AthUVaB* | *τηναρχὴν B* | *δ A* *ὃ Ma* Mor | *δὲ CVa* Re 13 *λυπήσειεν* Mor | *ἐπιτάττειν* scripsi cum Rog *ἐπιτάξειν* libri Mor Re *ἐπιτάσσειν* Gasda 14 *θαυμάσειεν* Mor 15 *ὃ A* *ὃ MaB* | *δὲ CVa* Re 16 *τοι* om *U* sed ras 3 litt, *B* *τοὺς MaAthVa* Mor 17 *οὔτε* (1) *Ma* | post *ὑβριζομένους* ras 5 litt *CA*

δὲ οὕτως ἦν ἄτοπος, ὥσθ' ὁρῶν αὐτοῦ τὴν σπουδὴν τετελεσμένην καὶ τοὺς νόμους ἀσθενεῖς καὶ τὸν δῆμον οὐδαμοῦ καὶ Κριτίαν τύραννον· ἔψεγεν ἀρχὴν ἣν ἀποῦσαν ἐζήτει, καὶ κινδυνεύειν ᾑρεῖτο μᾶλλον ἢ τοῖς ἐκείνῳ δοκοῦσιν ὑπηρετεῖν;

150. *Σὺ δ' Ἀλκιβιάδην μὲν καὶ Κριτίαν λέγεις, πολλοὺς δὲ χρηστοὺς παραλείπεις, ὧν, εἰ καὶ τῶν κοινῶν ἀφεστᾶσιν, ἔστιν ὅμως ἄγασθαι τὸν τρόπον, ἐπεὶ κἂν τοῖς ἰδίοις γένοιτ' ἂν ἀπόδειξις ἀρετῆς. τί γὰρ ἂν σὺ καταγνοίης Πλάτωνος; τί δ' ἂν Κρίτωνος; τί δ' Αἰσχίνου; τί Χαιρεφῶντος; τί μυρίων ἑτέρων; ποίας οὗτοι φιλίας προὔδοσαν; ποίοις πολεμίοις συνεύξαντο;* R III 53 *τίνας νόμους ἀνεῖλον; τίνας τυράννους | κατέστησαν; ἢ τὰ ἔπη μὲν συνείλοχας οἷς ἤλπισας ἐξαπατήσειν, ἃ δ' ἀφιστάμενος τῶν ποιητῶν διελέγετο Σωκράτης ὑπερπεπήδηκας; οὐχ ὑπὲρ ἐγκρατείας πρὸς Ἀρίστιππον διείλεκται πείθων μὴ δουλεύειν τῇ γαστρί; οὐ Λαμπροκλεῖ μητρὸς ἀμελοῦντι διδάσκων ἡλίκα χρέα γονεῦσιν ὀφείλομεν; τί κάλλιον ὧν ὑπὲρ διαλλαγῶν*

---

6 Xen. comm. I 2, 48 10 cf p. 120, 8. Plat. apol. p. 33 E sq. 11 Plat. apol. p. 20 E sq. Diog. L. II 5, 5, 20 17 Xen. comm. II 1 18 Xen. comm. II 2. Diog. L. II 5, 12, 29 19 Xen. comm. II 3

---

1 *αυτοῦ U αὐτοῦ AMaVaB* Mor 2 *ἀνόμους* Mor 3 *ἔλεγεν Ma* Mor 4 *ἀποῦσαν B* sed *ἀπ* in ras m² 6 *δὲ AthVa* Re 7 *οὓς AthUB* | *εἰ μὴ καὶ Ma* 8 *ἀφεστῶσιν Ma ἐφεστᾶσιν* Mor | *τὸν τρόπον* scripsi e *CA* sed in hoc ὁ supra ῶ m¹ et ο(2) supra ω m², auctore Gasda *τῶν τρόπων* reliqui libri edd 12 *συνηύξαντο Ma* 14 *ἢ τὰ*] *εἰ τὰ UVa* *γαστρὶ* *εἶτα B* Mor | *συνείληχας MaAthUVaB* Mor 17 *σαρκὶ CA* 18 *οὐ Λαμπροκλεῖ* scripsi Mus. Rhen. XXXII 90 cum Rog *οὐκ ἀρικλεῖ Ma οὐκ ἀριστοκλεῖ* reliqui libri Mor Re | *οἷα CA*

πρὸς Χαιρεκράτην καὶ τὸν ἀδελφὸν διεξῆλθε; τί βέλτιον ὢν περὶ φίλων πρὸς Ἀντισθένην; 151. *ἀλλὰ μὴν Γλαύκωνά τε τὸν Ἀρίστωνος καὶ τὸν Γλαύκωνος Χαρμίδην, τὸν μὲν ἐπεγείρας δημηγορεῖν ὀκνοῦντα, τὸν δ' ἐπισχὼν οὔπω δυνάμενον ὠφελεῖν, ἐξ ἀμφοτέρων εὔνουν πολίτην ἔδειξεν. ἤκουσε καὶ Περικλῆς ὁ Περικλέους τῶν ἐπὶ στρατηγίαν παρακαλούντων λόγων. καὶ τί δεῖ καθ' ἕκαστον ἐξαριθμεῖν; εἰ γὰρ ἐθέλοιμι καλέσαι τοὺς περὶ δικαιοσύνης, τοὺς περὶ σωφροσύνης, τοὺς ὑπὲρ ἀνδρίας, τοὺς ὑπὲρ πρᾳότητος, τοὺς περὶ μαντικῆς καὶ τῶν ἄλλων ἀκηκοότας ἀγαθῶν, πᾶσαν ἂν πλὴν τῶν τούτοις ἐοικότων καλοίην τὴν πόλιν, οὐχ ὡς οὐχὶ καὶ τούτων ἀκηκοότων, ἀλλ', οἶμαι, ψεύσονται καὶ τοὐναντίον ἐροῦσιν.* 152. *οὐ μὴν ὑμῶν γε, ὦ ἄνδρες, τἀληθὲς οὐδεὶς ἐξαρνήσεται οὐδὲ πείσει καταψηφίσασθαι Σωκράτους, ὅτι Θησεὺς μὲν συνῴκισε τὴν πόλιν καὶ τὴν ἀρχὴν ἣν εἶχεν ἀφῆκε, Σόλων δὲ Σαλαμῖνά τε προσηγάγετο καὶ χρεῶν ἀποκοπὰς εἰσηγάγετο καὶ ταῦτα*

---

1 *Χαιρεφῶντα* 2 Xen. comm. II 5 3 Diog. L. l. l. 4 Xen. comm. III 7. Diog. L. l. l. 5 Xen. comm. III 6 6 Xen. comm. III 5 9 Plat. leg. XII p. 964 B; Phaed. p. 69 B 18 Plat. rep. VIII p. 566 A; leg. III p. 684 E. Plut. Sol. 15

---

1 *χαιρεκράτη UVaB* Rog 3 *τε τὸν* Re *τόν τε* libri *τὸν* Mor *τόν τ'* Rog | *γλαύκωνα* (2) *Ma* 4 *τόν δ' MaB* 6 ⟨*ἑαυτὸν*⟩ *εὔνουν πολίτην ἔδειξεν* vel *εὔνους πολίτης ὢν ἔδειξεν* coni Gasda 8 *καθέκαστον Ma* | *ἐθέλοιμι* scripsi *θέλοιμι* libri edd 10 *ἀνδρίας* reposui e libris *ἀνδρείας* edd | *πραότητος B* Mor 12 *τῶν* inser C^2 13 *ψεύσεται* Mor sed *ψεύσονται* coni 15 *ἐξαρνήσεται* scripsi auctore Nabero cum Rog coll. t. I 137, 9 *ἐξαιρήσεται* libri Mor Re 16 post *Σωκράτους* maiorem lacunam statuit Gasda | *ὅτι* scripsi e *CA* sed in hoc in ras 2 litt *ἣ MaAthU* sed in hoc *ἡ* eras, *Va* *εἰ B* edd 17 *ἀφῆκε B* sed *ε* in ras m² *ἀφῆκεν Ma* | *κατηγάγετο* Mor 18 *καὶ — εἰσηγάγετο* om *Ma*

R III 54 πέντε ταλάντων ὀφειλομένων αὐτῷ. ταυτὶ γάρ, ὦ Ἀθηναῖοι, τοῖς μὲν πεποιηκόσι δόξαν ἂν εἰκότως φέροι, τοὺς δὲ ἄλλους οὐκ ἂν δικαίως ἀποκτεῖναι. εἰ γὰρ τοὺς ⟨ἢ⟩ μὴ συνοικίζοντας τὴν πόλιν τήν γε συνῳκισμένην ἢ μὴ Σαλαμῖνα κτωμένους τήν γε ἡμετέραν οὖσαν ἀποθνήσκειν δέοι καὶ ὅλως τοὺς ἢ μὴ γράφοντας νόμους ἢ μὴ στρατηγοῦντας, ἐπιλείψει τὸ κώνειον ὑμᾶς. ἔχει Θησεὺς τὰς προσηκούσας τιμάς, ὡς δηλοῖ τὸ Θησεῖον, ἕστηκεν ἐν ἀγορᾷ χαλκοῦς ὁ Σόλων, τὸ δ' ἀποθνήσκειν τινὰς Ἀθηναίων διὰ τὰς ἐκείνων εὐεργεσίας οὐκ οἶδ' ἥν τινα ἂν ἔχοι τοῖς ἀνδράσιν ἐκείνοις τιμήν.

153. *Λεγέτω* τοίνυν τὴν πρὸς τοὺς σοφιστὰς *ὑμῶν* ὀργήν, τὸν Ἀναξαγόραν, τὸν Πρωταγόραν, τὸν Διαγόραν. δώσει γάρ μοι πάλιν ἐρωτᾶν· πῶς οὖν οὐ τῆς αὐτῆς ἀπέλαυσε Σωκράτης, εἴπερ οἷς ὁ δῆμος

8 Plut. Thes. 36, 2 9 Dem. c. Aristog. II § 23 p. 807, 18 16 cf. t. I 466, 12

1 πέντε scripsi Mus. Rhen. XXXII 92 cum Cobeto Mnem. III 155 coll. Plut. Sol. 15, 7 ἐπὶ libri Mor Re ἐπὶ πέντε Rog 2 δόξαν εἰκότως φέρει Mor | φέροιτο *Ma* 3 ἀποκτεῖναι *MaB* Mor ἀποκτείνοι Rog 4 ⟨ἢ⟩ inserui | τήν τε *C* τήνδε *UVaB* τὴν δὲ *Ma* | voce συνῳκισμένην des *A* fol 229, ἢ inc fol 231 συνωκισμένον Re 5 ἢ *U* sed η eras εἰ *MaVaB* Mor 6 ὅλως scripsi e *Ma* coll. t. II 534, 17 ὅλους libri Mor Re ὅλον e Par auctore Gasda Rog 9 θήσειον *AthUVaB* 11 οἶδα *AthUVaB* | ἥν τινα ἂν scripsi auctore Iacobsio Lect 202 (οὐκ οἶδ' ἥντιν' ἂν ἔχοι) ἄν τινα libri ἂν εἴ τινα auctore Cobeto Mnem. III 155 Rog coll Xen. Cyr. V 4, 12; Plat. Tim. p. 26 B ἥν τινα coni Gasda 13 λεγέτω scripsi ut coni Rog, μὴ λέγε Naber λέγει libri edd | νῦν coni Rog | ὑμῶν scripsi τούτων libri edd 15 δώσεις coni Naber | οὐ] οὐκ ἀδίκως et 103, 1 ⟨μὴ⟩ προσόμοιος coni Gomperz Beitr. VII (Rel. ac. Vindob. t. CXLIII) 14, perperam, ut ipse professus est Beitr. VIII (l. l. t. CLII) 31 convictus a M(asquera)y Rev. crit. 1901 n. 10 p. 188 16 ἀπήλαυσε *C* | σωτηρίας post ἀπέλαυσε *AthUVaB*

ὠργίζετο προσόμοιος ἦν; χρῆν γὰρ αὐτὸν ταὐτὰ ἐπιτηδεύοντα τοῖς αὐτοῖς κεκολάσθαι. εἰ μὲν γὰρ οὐδεὶς σοφιστὴς ἔδωκε δίκην, ῥᾳθυμία τοῦτ' ἂν ἦν περὶ τοὺς θεοὺς τῆς πόλεως, ὑφ' ἧς ἂν ἔφη τις καὶ τοῦτον διαλαθεῖν· ὄντων δὲ πρὸς οὓς ἔσχετε πικρῶς ὁ μὴ τοιούτων ὑμῶν πεπειραμένος δέδεικται καθαρεύων τῆς κατ' ἐκείνων αἰτίας. 154. *Ἀναξαγόρας ἐδέθη δικαίως ἀσεβῶν περὶ ἡλίου τε καὶ σελήνης. Πρωταγόραν ἐξεκηρύξατε καλῶς καὶ προσηκόντως ζητοῦντα περὶ θεῶν εἴτ' εἰσὶν εἴτ' οὐκ εἰσί. τῷ τὸν Διαγόραν ἀποκτενοῦντι μισθὸν ὑπέσχεσθε σωφρονοῦντες. | τὴν γὰρ Ἐλευ-* R III 55 *σῖνα καὶ τὰς ἀρρήτους ἐκωμῴδει τελετάς. Σωκράτους δὲ τίς εἰπεῖν ἔχει βιβλίον, τίς δὲ ῥῆμα περὶ τῶν θεῶν ἐναντίον νόμοις; οὐ δυνάμενος δ', Ἄνυτε, δεῖξαι, κἂν μυρίους λέγῃς σοφιστὰς ἀπολωλότας, οὔπω Σωκράτην ἐλέγχεις. οὐ γὰρ ἡ τῶν ἠδικηκότων τιμωρία τῶν ἀναμαρτήτων πονηρία γένοιτ' ἄν.*

---

7 Diog. L. II 3, 9 § 12 sq. 8 Diog. L. IX 8, 3 § 51 sq. 10 Diod. S. XIII 6

---

1 *ταυτα U ταῦτα AthVaB* 2 *ἐπιτηδεύματα Ma* 5 *πρὸς] πολλῶν Ma* | *ἔσχε C* 6 *ὑμῶν τε VaB* | *κατ'* om *B* 7 *τούτων B* | *κακίας Ath* | *ἐδεήθη MaAth* | *δικαίως ἀσεβῶν περὶ* scripsi auctoribus Iacobsio Add 154 Lect 202 App Pors 323 Not 46 et Sinteni cum Rog *δικαιώσ ασ ὥσπερ CA δικαιώσας ὥσπερ Ath δικαίως ὥσπερ MaUVaB δικαίως ἃς *** ὥσπερ* Mor *δικαίως ας* Re qui *δικαίως, ἀσεβῆ δοξάσας περὶ* coni *δικαίως ἀσεβήσας περὶ* Iacobs Anth Pal III 239 9 *περὶ τῶν θεῶν* Mor 10 *ἀπεκτενοῦντι* scripsi e *MaUVaB ἀποκτείνοντι AAth ἀποκτείναντι C* edd 13 *τίς Ma* sed *ς* del | *ἂν* post *τίς* inserendum coni Iacobs Lect 202 Not 46 Anth Pal III 109, post *εἰπεῖν* inser Sintenis Rog | *ἔχοι CA* Re Sintenis Rog | *τί Ma* 14 *ἃ* ante *οὐ* inserendum coni Iacobs Lect 202 Not 46, *ὃ* Anth Pal III 109 | *δ'* inser Re, om libri Mor delendum coni Iacobs ll. ll. 16 *ἡ* om Mor | *τῶν — 17 πονηρία* om *Ma* | *ἁμαρτημάτων* Mor 17 *γένοιτο MaAthU*

155. *Καὶ διεξήει τοὺς τοῖς σοφισταῖς οὐ συγγενομένους ὡς ἀγαθοὺς ἄνδρας γεγενημένους, τὸν Μιλτιάδην, τὸν Θεμιστοκλέα, τὸν Ἀριστείδην, οὐκ ἐνθυμηθείς, ὡς ὁ μὲν Μιλτιάδης δεδεμένος ἀπέθνησκεν, ὁ δὲ μέγας ἐν τῇ ναυμαχίᾳ Θεμιστοκλῆς ἔφευγε. καίτοι ταῦτα, Ἄνυτε, τίνος ἐστὶν* ⟨*ἀρετῆς*⟩ *καὶ καλοκἀγαθίας; καὶ μὴν οὐ τούτων γε αἱ τιμωρίαι, ἀλλ' ἀδικίας καὶ πονηρίας. ποῦ τοίνυν τοῦ μὴ σοφισταῖς ὡμιληκέναι τὸ κέρδος; ἀλλ' οἱ μὲν ἦσαν βέλτιστοι, πονηρὸς δὲ ὁ δῆμος; ὑπὸ ποίου σοφιστοῦ διεφθαρμένος;* 156. *καὶ μὴν οἱ μὲν ἄμοιροι τῆς τῶν σοφιστῶν συνουσίας εἰς τοῦτο ἦλθον κακῶν, ὁ δὲ Ἀναξαγόρου μαθητής, ὁ Ξανθίππου Περικλῆς, ἄνευ τοῦ πλεῖστον ἐν τῇ πόλει δυνηθῆναι καὶ τῇ τοῦ Διὸς προσηγορίᾳ*
R III 56 *κοσμηθῆναι καὶ ταῖς τιμαῖς | ἐντελευτῆσαι καὶ ὅτε δὴ χαλεπῶν ἔτυχε τῶν πολιτῶν, ὀξέως ὑπὸ τοῦ δήμου πρὸς τὰ καλλίω κεκλῆσθαι τοῦτον αὐτὸν τὸν διδάσκαλον δεδεμένον ἐξῃτήσατο καὶ διέσωσεν. οὕτως ἠξίου τὸν Περικλέα μηδενὸς ὧν ἐπαγγείλειεν ἀτυχεῖν. καίτοι τὰς τηλικαύτας δωρεὰς οὐ τοῖς φαύλοις διδόναι νόμος, ἀλλ' οἷς ἀνάκειται τῶν κοινῶν ἡ φυλακή.*

---

2 sq. Plat. Gorg. p. 516 D sq.; p. 503 C sq.; Men. p. 93 B sq. 4 cf. p. 134, 1 sq. 13 Plat. Phaedr. p. 270 A 14 Plut. Per. 3. Plin. n. h. 34, 74 18 Plut. Per. 32. Diog. L. II 3, 9, 13

---

3 *τὸν Ἀριστείδην* pro insiticio habet Rog 5 post *ἔφευγε* mentionen Aristidis (num *ὁ δὲ Ἀριστείδης ἐξωστρακίζετο*?) excidisse coni Gasda at cf p. 105, 17 et p. 106, 3 6 *ἀρετῆς* scripsi *ἢ* libri Mor Re qui *ἢ ἀρετῆς καὶ* aut *ἢ δικαιοσύνης καὶ* coni *δικαιοσύνης* auctore Nabero Rog | *καὶ* om *MaVaB* *ἢ* auctore Nabero Rog 7 *οὐ*] *ἐκ Ma* | *ἀλλὰ AthU* Re 11 *σοφῶν* libri corr Mor 12 *κακόν* Mor 15 *κἂν Ma* 19 *ὧν ἂν* coni Iacobs Not 46 | *ἀδικεῖν Ath*

οὐκοῦν ἄνδρα σπουδαῖον ἡγοῦντο τὸν ὁμολογοῦντα συγγεγονέναι τῷ σοφιστῇ καὶ δι' αὐτό γε τοῦτο βοηθοῦντα, διότι συγγένοιτο.

157. *Δάμων δέ, εἰ μὲν ἠδίκει, καλῶς ἐκβέβληται· εἰ δ' ἐσυκοφαντεῖτο, κρεῖττον ἦν μηδ' ἐκεῖνον τοῦτο παθεῖν ἢ δι' ἐκεῖνον καὶ Σωκράτην. καίτοι φησὶν ἐπ' ἐλάττοσιν αἰτίαις ἐξελαθῆναι τὸν Δάμωνα, ἔτι δὲ μηδὲ ὑπὸ τῶν ἐχθρῶν αἰτίαν τοῦ καταλύειν τὸν δῆμον λαβεῖν, ὥσπερ τὸν νυνὶ κρινόμενον. ἔστι δὲ τοῦτο μὲν τεκμήριον τοῦ μετριωτέρων ἐκεῖνον ἐχθρῶν τυχεῖν, κωλύει δὲ οὐδὲν ἐλάττω τε δικαίως αἰτιαθῆναι καὶ μείζω μὴ προσηκόντως.*

158. *Ἀλλὰ γὰρ τίς οὐκ ἂν στενάξειε Βίαντος κακῶς ἀκούοντος, τοῦ Σόλωνος ἑταίρου, ⟨τοῦ⟩ φίλου τῷ Πυθίῳ, τοῦ πάντας ἀνθρώπους ἐκ Δελφῶν νουθετοῦντος, καὶ μετὰ Βίαντος πολλῶν ἑτέρων δι' οὓς σεμνὴ γέγονεν ἡ Ἰωνία; οὐ διὰ Μέλισσον καὶ Θαλῆν καὶ Πυθαγόραν ἤρχθησάν τε καὶ ἐστασίασαν οἱ τὰς πόλεις ἔχοντες, ἀλλ' αἱ μὲν στάσεις κοινὸν τῆς ἀνθρω-*

---

4 Plut. Arist. 1; Per. 4. Aesch. Socr. ep. 14, 2 15 cf t. IV 486, 2

---

4 *ἐμβέβληται B* 5 *δὲ συκοφαντεῖ, τὸ Ma* Mor qui *δ' ἐσυκοφάντει* coni Not ad Lib. fol VII^v | *κρείττων VaB* 6 *Σωκράτη CA* 7 *ἔτι δὲ* scripsi coll t. III 417, 24, ut coni Mor l. l. *αὕτη δὲ* libri Mor Re qui se non intellegere professus est, delenda censuit Iacobs Add 336 *ἀρχὴν δὲ* auctore Iacobsio Lect 202 Not 47 Rog et Schanz Plat. apol. comm. 39 | *μὴ δὲ B καὶ Ma* 8 *τῶν* om Mor | *αἰτίαν — 9 νυνὶ* om *Ma* Mor 14 *τοῦ* inserui 15 *τοῦ πυθίῳ Va τοῦ πυθίου MaB* et coni Sintenis | *τῷ* et *νουθετοῦντι* coni Re cui oblocutus est Iacobs Lect 203 Anth Pal III 544 17 *μέλλισον C μέλησσον Ma* | *θαλλῆν C* 18 *εἴρχθησαν MaUVaB* Mor *ἠρεθίσθησαν* coni Rog | *διεστασίασαν Ma εἰστίασαν* Mor sed *ἐστασίασαν* coni 19 *αἱ μὲν στάσεις* scripsi auctore Iacobsio Not 47 *ἐμένετ' ἂν* (*ἂν* om *Ath*)

R III 57 πείας φύσεως νόσημα, τὸ | δ' ὑπακούειν ἐκ τοῦ βασιλείαν σφίσιν ἐφορμεῖν μεγάλην συνέβη, τὴν δὲ Περσῶν ἰσχὺν οὐ Πυθαγόρας οὐδὲ Μέλισσος, ἀλλὰ Κῦρος Κροῖσον καθελὼν ἐποίησε καὶ μετ' ἐκεῖνον Δαρεῖος. 159. ἐπεὶ ὅτι ταῦτά γε οὐκ ἐνιᾶσιν οἱ σοφισταὶ οὐδ' ἀγαπῶσιν εἰ ἔστι, μαρτυροῦσι Λακεδαιμόνιοι καὶ στασιάσαντες ἐφ' ὅσον οὐχ ἕτεροι χρόνον καὶ τὴν τῶν ἀρχομένων τάξιν μεταλαβόντες, οὐκ ἐπειδὴ σοφισταῖς ἀνέῳξαν τὴν Σπάρτην, ἀλλ' ὅτι Παυσανίας ἀσελγὴς ἦν καὶ βαρὺς καὶ τοῖς Ἕλλησιν οὐ φορητὸς ὁ μηδεπώποτε σοφιστὴν ἰδών. 160. . . . . . . οὓς δὴ καὶ περὶ Θρασυβούλου καὶ Κόνωνος, ὅτι Θρασύβουλος μὲν καὶ Κόνων ἤστην ἂν ἀμείνους περὶ λόγους δια-

---

2 Dem. Ol. III p. 30, 18 9 Thuc. I 95; 96; 130, 2 12 Dem. Lept. p. 474, 29 sq. et 477, 12 sq.

εἰς libri Mor qui adnotavit: „*Lacunae in Graec. in quibus non liquet,*" Re ἐνέπεσον εἰς auctore Cobeto Mnem. III 155 Rog

1 νόσημα, τὸ scripsi auctoribus Iacobsio Lect 203 Not 47 et Cobeto cum Rog νοσήματος libri Mor Re | ἀκούειν *Va* 2 ἐφορμὴν Mor sed γρ ἐφ' ὁρμὴν in marg ἐφορμᾶν Rog qui ἐφορμεῖν sine sensu esse dicit iniuria cf t. I 507, 16 et Dem. l. l.

4 ἐποίησεν *A* 5 ταῦτά γε reposui e libris γε ταῦτα edd | ἀνιῶσιν *MaUVaB* 6 οὐδὲ Mor Re | ἀγαπῶσιν εἰ scripsi coll t. III 393, 12 ἀγαπῶσι, τί libri edd sed ἀγαπῶσι, τίνες ἔτι μαρτυροῦσι; coni Re ἀγαπῶσι, τίνες ⟨μᾶλλον⟩ μαρτυροῦσιν ⟨ἢ⟩ Λακεδαιμόνιοι coni Iacobs Lect 203, ἀγαπῶσι, πᾶσι μαρτυροῦσι Not 48 8 μεταβαλόντες *Ma* μεταβάλλοντες Mor 11 μηδὲ πώποτε *C* μὴ δὲ πώποτε *AB* | lacunae signum posui auctore Re cum Rog qui perperam addit: „*nisi verba inde ab* οὓς *usque ad* Θρασύβουλος μὲν καὶ Κόνων *e margine in textum irrepserunt*" | οὓς δὴ] ὥστ' ἤδη coni Gomperz Beitr. VII (Rel. acad. Vind. CXLIII) 14 12 Κριτίου τε καὶ Ἀλκιβιάδου τολμῴην ἂν εἰπεῖν καὶ περὶ inter περὶ et Θρασυβούλου inser coni Gomperz parum recte 13 κόνων *C* sed ο in ras m² | ἤστην ἂν] ἤτην ἂν *UVaB* Rog ἢ τὴν ἂν *Ath* κατήναν *Ma* om Mor cf t. I 162, 18; II 484, 16; III 320, 22; IV 146, 5 | ἀμεί-

τρίψαντες, Κριτίας δὲ καὶ Ἀλκιβιάδης πολὺ φαυλοτέρω μηδ' ἁψαμένω. τοὺς μὲν γὰρ ἴσως τι οὐκ ἐχαλίνωσαν ⟨ἄν⟩, οἳ δ' ἂν ἦσαν χαριέστεροι.

161. Περὶ μὲν οὖν τούτων ἀποχρώντως εἴρηται, πάνυ δὲ ἀνδρῶν ἔργον ἀγαθῶν ἐποιεῖτε, ἡνίκα ὑμῖν ἐνέπεσεν ⟨ὀργή⟩, ὅτι Μέλητος ἢ οὗτος Ἄνυτος τὸν Σωκράτην διδάσκει τὰ δίκαια. καὶ δεῖ μὲν οὐδὲν ἴσως λόγων πρός γε τοὺς οὕτω διατεθέντας, ὅμως δὲ ἐρῶ καὶ περὶ τοῦδε.

162. Τί σοι τὸν ἄνθρωπον ἐβούλου ποιεῖν; θεοὺς θεραπεύειν ὥσπερ ἡ πόλις; οὕτω τεθεράπευκεν ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς. γονεῖς εὖ | ποιεῖν; καὶ R III 58
τοὺς ἄλλους ἐπὶ τοῦτο ἤγαγε. μηδένα ἀδικεῖν; περὶ πάντας γέγονε δίκαιος. ἀρχόντων ἀκούειν; πότ' οὖν ὑπερεφρόνησε; τοῖς νόμοις πείθεσθαι; παραβέβηκεν

---

14 Arist. Nub. 1400

νους scripsi *ἀμείνω* libri edd | *διατρίψαντε* Rog et coni Hirzel Mus. Rhen. XLII 245 at pluralis usui Libaniano bene convenit
1 *δὴ Ath* 2 *τί VaB* Mor *„mallem οὐδέν τι ἐχαλίνωσεν"* Re cui oblocutus est Iacobsius Lect 283 Not 48 | *οὐκ* delendum censeo cum Hirzelio | *ἐχαλίνωσεν B* Rog qui *τί ἐχαλίνωσεν ἄν* (*quid enim eorum furorem frenasset?*) coni 3 *ἄν* inserui | *οἳ MaB* | *ἀνήεσαν Ath* 4 *οὖν* om *Ma* 6 *ἐνέπεσε A* sed in *ἐνέπεσεν* corr m², Rog *ἐνέπεσέ Ath* | *ὀργή* inserui, *γέλως* ante *ὑμῖν* Cobet Mnem. III 155, *θαῦμα* vel simile Gasda om libri edd | *τί A* sed in *ὅτι* corr m², Re Rog *εἰ* Cobet | *μέλιτος UVaB* Mor Re | *οὗτός γ'* coni Re 7 *Σωκράτη CA* | *διδάσκοι AMaAthUVa* Re Rog *διδάσκειν δικαιοῖ* Sintenis at cf p. 108, 4
11 *θεραπεύειν θεοὺς Ma* | *θεοὺς δὲ Ath* | signum interrogationis post *πόλις* posui cum *B* (comma *Ma*), post *θεραπεύειν* reliqui libri edd 12 *εὐποιεῖν CAUVaB* Re *εὖ ποιεῖς Ath* 13 *τοῦτ'* Re Rog | *ἤγαγεν Ma* | *μηδὲν A* sed in *μηδένα* corr, *UVaB* 14 *πότ' οὖν*] *πότε* Mor 15 *ὑπερεφρόνησεν* Rog *ὑπὲρ οὐδένα ἐφρόνησε Ma* | signum interrogationis post *ὑπερεφρόνησε* posui cum Rog, colon *MaB*, comma *Ath*, punctum Mor om reliqui libri Re

οὐδένα. τῶν οἰκείων ἐπιμελεῖσθαι; καὶ τῶν ἔξω τοῦ γένους ἐφρόντισε. 163. *τί οὖν ἃ ποιῶν τε γεγήρακε καὶ τοὺς ἄλλους ποιεῖν ἀξιῶν, ταῦθ' ὡς ἀγνοοῦντα διδάσκεις; ὥσπερ ἂν εἴ τις Μέλητον διδάσκοι, πῶς ἂν [τις] τεχνικῶς συκοφαντοίη. μεθ' οὗ κατηγορῶν, ὦ πάντων ἀναιδέστατε, σὺ τολμᾷς καλεῖν Σωκράτην τυραννικόν; πόθεν ἐλπίσας εἶναι πιθανός; ἐκ τῆς ἀπονοίας; ἐκ τοῦ θράσους; ἀπὸ τοῦ χρημάτων ἐρᾶν; ἀπὸ δείπνων πολυτελῶν; ἀπὸ τῆς ἐσθῆτος; ἀπὸ τῶν ἀκολούθων; εἰ γάρ τις ἄλλοθεν ἐπελθὼν καὶ μικρὸν χρόνον ἐνδιατρίψας καὶ κρίνων ἑκάστου τὴν γνώμην οἷς ἑώρα παραγόμενος εἰς τὸν δῆμον ἠναγκάζετο λέγειν, ὃν ἡγοῖτο δημοτικώτατον, οὐκ ἂν ὑμῖν δοκεῖ Σωκράτει δοῦναι τὴν ψῆφον, ὃν ἑώρα κρείττω μὲν πλούτου, κρείττω δὲ ἡδονῶν, περὶ δὲ τοῦ τῆς Ἀσίας δεσπότου μὴ συγχωροῦντα εὐθύς, ὡς εὐδαίμων εἴη; καὶ τί ποτ' ἂν οἴοιτο τὰς μικρὰς τυραννίδας ὁ τὴν οὕτω λαμπρὰν οὔπω νομίζων εὐδαιμονίαν; πῶς δ' ἂν ἐπεθύμησε πολιτείας ᾗ τὸ μηδένα παιδείᾳ προσέχειν λυσιτελεῖ;* 164. *καὶ τί δεῖ μακρολογεῖν ἐξὸν ἐναργεστέροις καὶ σαφε-*

12 Lys. p. 132, 37 15 Plat. Gorg. p. 470 E; Lys. p. 209 D sq.

3 *ταῦτα Ma* 4 *μέλιτον* Mor Re | *διδάσκοι μέλητον (μέλιτον VaB) UVaB* 5 *τις* libri Re Rog cancellavi *τι* Mor Gasda | *συκοφαντοῖ Ma συκοφαντῆ AthUVaB* 9 *ἀκολουθούντων C* 12 *προαγόμενος Va παραγενόμενος B* 13 *ἡγοῖτο* scripsi cum Gasda *ἡγεῖτο* libri edd | *δοκιμώτατον AthUVaB* | *δοκοῖ Ma δοκῆ AthUVaB* 16 *καὶ*] *καίτοι* auctore Re Rog | *τί* scripsi auctore Re cum Rog *ὅ τί MaB* *ὅ τι* reliqui libri Mor Re 19 *ᾗ* e Par Mor et auctore Iacobsio Lect 203 Not 49 Rog *ἢ Ma εἰ* reliqui libri Re | *ἔχειν Ma* | *λυσιτελεῖν Ath* 20 *ἐναργεστέροις B* sed *ἐν* in ras m²

στέροις ἐπιδεῖξαι σημείοις, ὡς οὐκ ἐπαινεῖ τὰς δυναστείας; τοῦτον γάρ, ὦ Ἀθηναῖοι, πολλοὶ τῶν τυράννων ἐπεθύμησαν ἰδεῖν πολλῶν παρ' αὐτοῖς ἐκπεπληγμένων τὴν ἀρετὴν Σωκράτους νομίζοντες πρέπειν ταῖς ἐξουσίαις αὐτῶν καὶ ταύτην τὴν | θέαν. 165. *καὶ* R III 59 *διὰ τοῦτο ἐκάλει μὲν* [ὁ] *Εὐρύλοχος ὁ Λαρισαῖος, ἐκάλει δὲ Σκόπας ὁ Κρανώνιος, οὐχ ἥκιστα δὲ ὁ Μακεδόνων ἄρχων Ἀρχέλαος, δεόμενοι, πέμποντες τοὺς ἄξοντας, ἐπιστέλλοντες, ὑπισχνούμενοι. πῶς οὖν ὁ τοὺς νέους ἐθίζων ὑπερορᾶν τῶν νόμων; αὐτῶν ἔδει μὲν τῶν ἐπιστολῶν, ἐν ἐκείναις τὸν ἄνθρωπον κάλλιστα ἂν εἴδετε, μᾶλλον δέ, τί δεῖ γραμμάτων τοῦ πράγματος αὐτοῦ βοῶντος; τριῶν γάρ, ὦ ἄνδρες, κατεγέλασε τυράννων καὶ δώρων τῶν παρ' ἐκείνων καὶ τρυφῆς καὶ ποικίλων ἡδονῶν αἰσχυνόμενος τοὔδαφος τῶν Ἀθη-*

---

6 sq. Diog. L. II 5, 9 § 25 7 Plat. Prot. p. 339 A 8 Plat. Theag. p. 124 D; Gorg. p. 470 D. Dio Chrys. XIII p. 432 R 10 Socr. epist. 1

---

5 *αυτῶν U αὐτῶν* reliqui libri Mor Re 6 *δια τοῦτο Ma διατοῦτο B* | *ὁ* ante *Εὐρύλοχος CAMa* Mor Re cancellavi cum Rog | *Εὐρύχολος* Mor | *Λαρισαῖος* scripsi cum Cobeto Mnem. N. S. III 156 coll Diog. L. l. l. et t. IV 136, 15 *Λαρισσαῖος* auctore Menagio obss. in Diog. l. l. t. II (25) p. 84 (cf. Iacobs Not 49) Rog *χαρίσιος* (*χαρήσιος Ma*) libri *χαρίστιος* Mor *Καρύστιος* Re 7 *σκοπᾶς CA* sed in hoc in *σκόπας* corr m², *MaAth* Mor Re *σκωπᾶς UVaB* | *οὐχήκιστα B* 9 *ἄξοντας C* sed *τ* in ras m² *ἀξιοῦντας AthUVaB* | *οὖν*; Re 10 *ὑπερορᾶν Ma* sed *αν* in *α* corr m² | post *νόμων* lacunam statuerunt Mor Gasda Rog perperam | *αὐτὸς UVaB* | *ἔδει μὲν* scripsi auctore Hefermehlio *ἐδεόμην* (*δὲ ἐδεόμην Ma*) libri edd et Bentley (Socr. epp. ed. Orelli p. 408) 11 *τῶν* om *Ath* | *γὰρ* post *ἐκείναις* inseruit auctore Iacobsio Not 49 Rog | *κάλλιστ' Va* Re Rog 12 *εἴδητε Va ἴδητε MaUB ἴδοιτε* Bremi Epist. Socr. ed. Orelli p. 132 et Iacobs l. l. | *μάλιστα* Mor delendum et *καὶ* pro *δέ* scribendum censuit Bremi | *παραδειγμάτων Ma* 14 *ἐκείνων* scripsi *ἐκείνοις* libri edd

ναίων καὶ τοὺς νόμους καθ' οὓς αὐτός τε ἐγένετο τῷ πατρὶ καὶ παῖδας ἐποιήσατο νομίζων οὐκ εἶναι τῆς αὐτοῦ φύσεως οὔτε θεραπεύειν τύραννον οὔτε εὖ πάσχειν ὑπὸ τυράννου. 166. *οὐ τοίνυν ὡς καλοῦντες διήμαρτον, ἀφίσταντο τῆς πείρας, ἀλλ' ἀκούοντες ἀνάλωτον εἶναι χρήμασιν οἴκοι καθημένῳ προὔτεινον. ὁ δ' οὐ μετριώτερον ἡγούμενος τοῦ βαδίζειν ἐκεῖσε ἐκεῖθεν τὸ κερδαίνειν διεώσατο καὶ δυνάμενος εὐπορεῖν τούτων μᾶλλον οἷς ἀπὸ τοῦ συκοφαντεῖν ἡ πρόσοδος ἔμεινεν ἐπὶ τῆς πενίας ἡδέως οὐδ' ἂν Θετταλίαν ὅλην, εἴ τις ἐδίδου, λαβών.*

167. *Τοῦτον οὖν ἀποκτενεῖτε καὶ διὰ τοὺς Ἀνύτου λόγους ὑπερόψεσθε τοὺς ὅρκους; οὐ δείσετε τὴν ὀργὴν τῶν θεῶν; οὐ πρὸς τὰ ἔργα βλέψετε τὰς βλασφημίας*
R III 60 *ἀφέντες; οὐκ ἐγκαλέσετε | τοῖς ποιηταῖς ἀντὶ τῶν ἐλεγχόντων; αὐτὸς μὲν Σωκράτης οὐ δεινὸν ἡγεῖται τὸ τεθνάναι, ταῦτα γὰρ αὐτὸν ⟨ἡ⟩ φιλοσοφία πέπεικεν, ὡς ἐκεῖ τῆς ἀρετῆς κομιούμενον τὰ ἆθλα, ὡς ἕξοντα κἀκεῖ θεοὺς δεσπότας, ὡς ἐντευξόμενον αὐτόθι τοῖς ποιηταῖς, ὡς ἐρησόμενον· ὑμεῖς δὲ μὴ σκοπεῖτε,*

---

8 Diog. L. II 5, 9, 25 10 Plat. apol. p. 31 B 17 cf ep. 606. Plat. apol. p. 40 E sq.; Phaed. p. 63 C

---

3 *αὐτοῦ MaVaB* Mor *αυτοῦ U* | *θεραπεύειν B* sed *ερ* in ras m[2] 4 *τοῦ τυράννου Ma* 6 *καθημένωι A* sed *γρ καθήμενον* in marg m[2] *καθημένων Ath* *καθήμενον CMaUVaB* Mor qui *καθημένῳ* coni | *προύτεινον A* sed ·*πι*· supra *τει p* *προὔπινον C* | *ὃ A* 7 *τοῦ C* sed *οῦ* in *ὁ* corr m[2] *„malim transpositis vocabulis τὸ ἐκεῖθεν κερδαίνειν“* Re 8 *διεώσατο A* sed *ε* in ras, *B* sed *ε* in ras m[2] *διεσώσατο C* sed *σ* eras, *MaU* sed in hoc *σ* eras, *Va* Mor | *δυνάμεως Ma* 10 *πενίας Ma* sed *ενι* in ras 4 litt m[2] | *οὐδὲ* Re 11 *ἥτις C* | *λαβεῖν Ath* 15 *ἐγκαλέσετε C* sed *ε* (3) in ras m[2] 17 *ἡ* inserui auctore Re cum Rog om libri Mor Re | *πεποίηκεν Ma* 20 *σκοπῆτε B*

τί τῷδε κοῦφον, ἀλλὰ τί τοῖς νόμοις συμβαῖνον. οὐ γὰρ κατὰ τὴν Σωκράτους ἐπιθυμίαν ὀμωμόκατε ψηφιεῖσθαι, κατὰ δὲ τοὺς νόμους τοὺς κειμένους, ὧν οὐδεὶς κωλύει μεμνῆσθαι ποιητῶν. 168. *μεγάλοι μὲν οὖν αὐτὸν ἐν Ἅιδου περιμένουσι μισθοὶ βίου σώφρονος καὶ κοσμίου, λαβέτω δὲ καὶ παρ' ὑμῶν, ὦ Ἀθηναῖοι, τοὺς ὀφειλομένους, ὅτι πένης ἄνθρωπος γυναικὶ συνοικῶν, παιδία τρέφων, ἐπὶ μὲν τὸ συλλέγειν ἀργύριον καὶ δι' ὧν ἂν ὑπῆρχε τρυφᾶν οὐκ ἐτράπετο, διδάξας δὲ τοὺς ἔνδον ἀνέχεσθαι τῆς τύχης κοινὸς ἐπίτροπος περιήει τῶν πολιτῶν ζητῶν καὶ πυνθανόμενος, εἴ τῳ παῖς ὑπὸ μέθης ἢ κύβων ἤ τινος ἄλλου διέφθαρται κακοῦ, καταβοῶν πατέρων ῥαθυμούντων, ἐπεγείρων στρατηγοὺς καθεύδοντας, ἐνάγων εἰς φροντίδας ῥήτορας, λυπῶν λύπην τὴν λυσιτελοῦσαν. ἑώρα γὰρ καὶ τοὺς ἰατροὺς ταύτην ἰόντας.* 169. *τούτων ἦν μιμητὴς περὶ τὸ βέλτιον μέρος. οἱ μὲν γὰρ τοῖς σώμασι βοηθοῦσιν, ὁ δὲ τὴν ψυχὴν ἐπηνώρθου. τοῖς μὲν οὖν τὸ φαυλότερον ἰωμένοις ἔχετε χάριν, καὶ καλῶς ποιεῖτε, τὸν δ' ὑπὲρ τοῦ τιμιωτέρου πεπονηκότα ἀποκτενεῖτε; καὶ τοῦτο λήψεται μισθόν, ὅτι πάντας Ἀθηναίους ἐβούλετο καλοὺς κἀγαθοὺς εἶναι; καὶ | ὁ μὲν* R III 61

15 Plat. Prot. p. 340 E 22 Plat. apol. p. 30 A sq.

2 *τὴν τοῦ σωκράτους* Ma | *ὀμωμόκατε* MaB 4 *οὖν* om Mor 5 *μισθοὶ περιμένουσι* UVaB 6 *δὴ* B | *ὑμῶν* B sed *ων* in ras m^2 *ἡμῶν* Mor | *θεοί* Ath 8 *τῷ* Ma 11 *ἐπήει* Ath | *τις* Mor 12 *ἢ*] *καὶ* AthUVaB 14 *στρατοὺς* Mor *στρατούς, στρατηγοὺς καθεύδοντας ἐνάγων εἰς φροντίδας, ῥήτορας λυπῶν* coni Re, cui oblocutus est Iacobs Lect 203 15 *τὴν λύπην τὴν* Rog | *τινα?* 17 *βέλτιστον* VaB 18 *οἱ* et *ἐπηνώρθουν* Ma 20 *τιμιωτάτου* Mor | *ἀποκτενεῖτε* scripsi auctore Cobeto Mnem. III 156 cum Rog *ἀποκτείνετε* libri Mor Re

πολλῶν υἱέσιν ἀμείνων ἐγένετο τῶν πατέρων, ὑμεῖς δὲ τοὺς τούτου παῖδας εἰς ὀρφανίαν ἐμβαλεῖτε, μᾶλλον δὲ εἰς ἀτιμίαν; ποῦ γὰρ ἔτι φανοῦνται; ποῦ φθέγξονται; ποῦ παρρησιάσονται τῆς τοῦ πατρὸς συμφορᾶς οὐκ ἐώσης; 170. κλαύσατε, παιδία δυστυχῆ. κλαῦσον, Ξανθίππη ταλαίπωρε. Σωκράτης μὲν οὐδέποτε τοῦτο ποιήσει, θαρρεῖ γὰρ τὴν τελευτὴν καὶ τὴν ἀποδημίαν οὐ δέδοικεν. πολὺ γὰρ τῶν ἐνταῦθα τόπων ἡδίων, ὡς λόγος, ὁ τοῖς δικαίοις ἡτοιμασμένος. οὔκουν αἰσχρὰν ζητήσει σωτηρίαν οὐδὲ τὴν μελετηθεῖσαν ἀνδρίαν ἐν τῷ δικαστηρίῳ καταλύσει νομίζων ἀμφοτέροις αἰσχρὰν εἶναι τὴν ἱκετείαν, καὶ αὐτῷ καὶ τῇ πόλει, τῷ τὸν δοκοῦντα σοφὸν ὥσπέρ τινα βάρβαρον φρίττειν τὸν θάνατον. ἀλλ' ὑμεῖς δεήθητε τῶν δικαστῶν, ἀντιβολήσατε, δακρύσατε. 171. καὶ αὐτὸς δὲ οὐκ ὀκνήσω μεθ' ὑμῶν. ἄνδρες Ἀθηναῖοι, φίλον εἰλικρινῆ, χρηστὸν ἄνδρα, σύμβουλον ἀγαθόν, πολίτην δίκαιον, λυπηρὸν μὲν ἐνίοις, συμφέροντα δὲ τοῖς εὐνοοῦσι σώσατε, διατηρήσατε. στρατηγεῖν μὲν οὐκ ἂν δύναιτο, σωφρονίζειν δὲ ἐπίσταται. στόλον μὲν ἄγων οὐκ ἂν ἐκπλεύσειεν, ἐκπλεῖν δὲ πολλοὺς νέους εἰς ὕβριν οὐκ ἂν ἐφῄη. μέγα μὲν ὑμῖν οἱ νόμοι καὶ ἡ τῶν δικαζόντων ψῆφος, μικρὸν δὲ οὐδὲ Σωκράτης τηρῶν πλημμελοῦν-

9 cf p. 129, 17

2 τοὺς om Mor 3 φεύξονται *Ma* 7 πείσει vel παύσει coni Iacobs Lect 203 | θαρρεῖ *Ma* sed ε in ras m² 8 δέδοικε *MaU* | ἡδίων, ὡς] ἢ δίωνος *Ath* 9 αἰσχρὰν post σωτηρίαν in marg inser *Ma* 10 σωτηρίαν *B* sed σωτη in ras m² | ἀνδρείαν *U* | ἐν om Mor 12 τῷ] τὸ *MaAth* Mor 16 εἰλικρινῆ *MaB* 18 νοοῦσι *Ma* 20 στόλον μὲν ⟨νεῶν⟩? cf. Thuc. I 31,1 21 νέους εἰς scripsi ἐνεὶς *CAAth* Mor Re ἐνιεὶς *MaUVaB* εἰς auctore Re Rog 22 μὲν om *C* 23 πλημμελοῦντας *MaB*

τας, μεμφόμενος ἀδικοῦσι, συνεχῆ τινα ταύτην, ὅπερ ἔφην, λειτουργῶν ἤδη λειτουργίαν τῇ πόλει. 172. πόσους | οἴεσθε διὰ τοῦτον ἀμελήσαντας ἂν υἱέων R III 62 ἐπιμεμελῆσθαι; πόσους πολεμήσαντας ἂν ἀδελφοῖς οὐ τολμῆσαι; πόσους κακώσαντας ⟨ἂν⟩ γονεῖς τεθεραπευκέναι; πρὸ γὰρ τῶν δικαστηρίων ἐφοβοῦντο τὰς ἐπιτιμήσεις Σωκράτους εἰδότες ὅτι κατήγορον μὲν ἔνι ἐκπρίασθαι, λογιστὴν δὲ τοιοῦτον καὶ τῶν δικαίων φύλακα τῶν ἀμηχάνων διαφυγεῖν ἢ πεῖσαι σιγᾶν. διὰ τοῦτ' οὖν ἀποθανεῖται καὶ δώσει δίκην, ὅτι βελτίους ἐν οἷς ἔδακνε καθίστη; 173. καὶ τῶν μὲν παρ' ἐκείνου λόγων ἀπαλλαγῆναι ζητεῖτε, τὸν δὲ ἐπὶ τούτοις ἐσόμενον οὐ δεδοίκατε λόγον, ὅτι Ἀθηναῖοι βουλόμενοι περὶ πάντα μᾶλλον ἢ τὰς ψυχὰς ἐσπουδακέναι καὶ πλουτεῖν μετ' ἀφροσύνης πολίτην τινὰ αὑτῶν ταῦτα οὐκ ἐπιτρέποντα, ἀλλ' αἰσχυνόμενον καὶ λυπούμενον καὶ προσιόντα καὶ νουθετοῦντα ⟨καὶ⟩ κοινόν τινα πάντων ἐπιμελητὴν περινοστοῦντα, καθάπερ τινὰ πολέμιον τῶν πολλάκις δῃωσάντων τὴν χώραν, ἀπέκτειναν οὐ βίον, οὐ λόγους, οὐ πράξεις, οὐκ αὐτὸ τὸ γῆρας αἰδεσθέντες; μικρὰν οἴεσθε ταῦτ' εἶναι βλάβην; ἢ

2 cf. p. 24, 12

2 *λειτουργίαν ἤδη λειτουργῶν* Re Rog 3 *τούτων* Mor 4 *ἐπιμελεῖσθαι MaB* Mor 5 *τετολμηκέναι*? | *ἂν* inserui auctore Re cum Rog om libri Mor Re 7 *ἐκπρίασθαι* scripsi auctore Cobeto Mnem. III 156 cum Rog coll Lys. p. 159, 20 *καὶ πρίασθαι* (*πριᾶσθαι CA*) libri Mor Re 9 *διατοῦτ' Ma διατοῦτο B* 10 *οὖν* om *B* 12 *δ' CMaVa* Re Rog 13 *οὐκ ἐδεδοίκατε Ma* sed *οὐκ* ins m² 15 *μὲν μετ'* Mor | *αὑτῶν* scripsi cum Rog *αὐτῶν* libri Mor Re 16 *αἰσχυνόμενον* scripsi *αἰσθανόμενον* (*αἰσθόμενον Ma*) libri edd 17 *καὶ* inserui auctore Gasda cum Rog om libri Mor Re 20 *λόγον UVaB* Mor

21 *αἰδεσθέντας* (ε supra α) *C* | signum interrogationis posui cum Mor, punctum libri Re Rog | *ταύτην* Cobet

δόξειν ποτὲ τὴν τοιαύτην ⟨πόλιν⟩ πρὸς ἑτέρους ἔσεσθαι μετρίαν, ὅταν τοὺς παρ' αὐτῇ βελτίστους ὠμῶς μεταχειρίζηται; 174. *νῦν μέν τις ζῶντα βλέπων ἴσως ἐπιθυμεῖ τεθνεῶτα ἰδεῖν, ἀποθανόντος δὲ καὶ λωφήσαντος τοῦ θυμοῦ καὶ λογισμῷ τοῦ πράγματος δρωμένου πολλὰ στενάξειν οἶμαι πάντας καὶ μέμψεσθαι καὶ κατηγόροις καὶ ψήφῳ καὶ πᾶσι καὶ σφίσιν αὐτοῖς, ὅταν ἡ φωνὴ Σωκράτους, ὅταν αἱ διατριβαὶ τὴν μνήμην εἰσίωσιν, ὅταν οἱ συνήθεις ἐκείνῳ πενθῶσιν,* R III 63 | *ὅταν οἱ φίλοι κλάωσιν, ὅταν οἱ ξένοι καταπλέωσι μὲν ὡς συνεσόμενοι τἀνδρί, τεθνεῶτα δὲ εὑρόντες ζητῶσι τὸν τάφον, ὅταν ἕτερος πρὸς ἕτερον λέγῃ δεικνὺς ἅμα τὸν τόπον· ἐνταῦθα περὶ σωφροσύνης ἐποιήσατό ποτε λόγους, ἐνταῦθα περὶ ἀνδρίας, ἐνταῦθα περὶ δικαιοσύνης. Πρόδικον ἐνταῦθα λέγων ἐνίκα, Πρωταγόραν ἐκεῖ, τὸν Ἠλεῖον ἄλλοθι, τὸν Λεοντῖνον ἑτέρωθι.* 175. *τίς οἴσει τὴν μνήμην ἀδακρυτὶ τῶν τροπαίων τούτων;*

---

6 Plat. apol. p. 39 C sq. Diog. L. II 5, 23, 43   10 Socr. ep. 17, 3 sq. Suid. s. v. *Σωκράτης Σωφρονίσκου*   15 sq. cf p. 26,7; 138, 16 sq.; 139, 18 sq.

---

1 *δόξαν* Mor quod defendit Iacobs Lect 204 Not 50 | *πόλιν* inserui, subintellegendum censuerunt Sintenis Cobet Rog   2 *παρ' αὐτῇ* scripsi ex *A* cum Rog *παρ' αὐτῇ CMaAthU* Mor Re *παρ' αὐτῆς VaB* *παρ' ὑμῖν* vel *περὶ ὑμᾶς* coni Re, *τὴν ἀρετὴν* Iacobs Not 50   3 *μεταχειρίζητε B* sed *τε* in ras m², et coni Re | *μὲν τίς MaVaB* Mor   5 *λογισμοῦ Ma* sed *ου* in *ω* corr m²   6 *στενάζειν UVaB* | *μέμψασθαι UVaB* Mor   7 *ψήφοις* Mor | *καὶ πᾶσι* om *MaAthUVaB*   9 *εἰσίασιν Ma* | *πενθοῦσιν Ath*   10 *κλαίωσιν Va* *κλαύσωσιν* Mor   11 *τῷ ἀνδρὶ Ma*   14 *ἐνταῦθα περὶ ἀνδρίας* post *λόγους* posui e *C* sed in hoc *ἀνδρείου*, *AMaU* sed in hoc *ἀνδρείας*, *VaB*, post *τόπον Ath* edd   15 *δικαιοσύνης* scripsi *δικαίου* libri edd   16 *τὸν Ἠλεῖον ἄλλοθι* om *B*   17 *τόνδε* post *ἑτέρωθι Ma*   18 *γνώμην*

πῶς ἀλλήλους ὀψόμεθα μετὰ τὸ κώνειον; πολλά, ὦ Ἀθηναῖοι, πολλὰ παρόντα μὲν δυσχεραίνεται, πεπαυμένα δὲ ποθεῖται. μὴ δὴ ποιήσητε τοὺς ἐν ταῖς παλαίστραις λόγους ὑπὲρ χρημάτων τοῖς συνοῦσιν εἶναι μηδ' ἐπικίνδυνον ἀποφήνητε τῆς σοφίας τὴν κτῆσιν ἐν τῇ λήξει τῆς Ἀθηνᾶς μηδ' ἀναμείνητε θέαμα δεινὸν καὶ τῆς πόλεως ἀλλότριον, ἐκφερόμενον μὲν ἀπὸ τοῦ δεσμωτηρίου Σωκράτην, ἔρημον δὲ τὸ ἄστυ τῆς ἐκείνου φωνῆς, ὥσπέρ τινος ἀηδόνος, τοὺς δ' ἑταίρους ἐν μὲν τῷ θάπτειν σιγῇ καταρωμένους ὑμῖν, ἔπειτα δὲ φεύγοντας ἄλλον ἄλλοσε, τοὺς μὲν εἰς Μέγαρα, τοὺς δὲ εἰς Κόρινθον, τοὺς δὲ εἰς Ἦλιν, τοὺς δὲ εἰς Εὔβοιαν, μεταφέροντας ἑτέρωσε τὸ τῆς Ἀττικῆς ἄνθος, λέγοντας παρ' οὓς ἴοιεν· δέχεσθε τοὺς Ἀθήνηθεν, ὦ ἄνδρες, φυγάδας, οὐ προδότας οὐδ' ἀστρατεύτους οὐδὲ τὴν ὥραν ἀποδομένους οὐδ' ὧν ἐν τοῖς νόμοις αἱ τιμωρίαι τετολμηκότας οὐδέν, ἀλλ' ἐγκαλουμένους ἔρωτα λόγων καὶ παιδείας. ταῦτα πέπεικε Λύκων, ταῦτ' εἰσηγήσατο Μέλη-

6 cf ad t. II 21, 1 Eur. Palam. fr. 588 N[2] 9 cf p. 141, 2. Diog. L. II 5, 23, 44. 19 sq. cf p. 14, 13 sq.

Mor sed γρ μνήμην in marg | μετὰ ante τῶν Mor sed γρ κατὰ in marg
2 πολλὰ delendum? | δυσχεραίνετε *MaAthUVaB* Mor 3 ποθεῖτε *MaAthVaB* Mor | μηδὲ Mor 4 συνοῦσιν scripsi συνιοῦσιν libri edd 5 μὴ δ' *B* μὴ δὲ *Ma* 6 μὴ δ' *B* μὴ δὴ *Ma* 7 μὲν om Mor 9 δ' om *Ma* Mor 12 δ' *Va* Re Rog | τούς (1 et 2) *Ma* | δ' (1 et 2) *CMaVa* Re Rog 13 μεταφέροντ ς cum ras 1 litt *U* μεταφέροντες *VaB* 14 λέγοντας παρ' οὓς ἴοιεν reposui e libris παρ' οὓς ἴοιεν λέγοντας edd 15 προδότας scripsi e *Ma* cum Mor προδόντας reliqui libri sed ν eras *B*, Re Rog 19 ταῦτα *VaB* | μέλιτος *VaB* Mor

R III 64 τος, ἐπὶ τούτοις Ἄνυτος ἐδίωκεν. εἴδομεν | Σωκράτην κρινόμενον, εἴδομεν κατεγνωσμένον, εἴδομεν δεδεμένον, εἴδομεν ἀποθνήσκοντα. ταῦτα παρήνεσε φεύγειν, ταῦτα ζητῆσαι καταφυγήν. 176. οὐκοῦν καὶ ἀσμένως δέξονται καὶ παραμυθήσονται καὶ δώσουσι θαρρεῖν. οἱ δὲ ἱδρυθέντες ὡς ἑκάστῳ συμβαίνει καὶ μεταδιδόντες ὧν ἔχουσι πρῶτον μὲν πολλὰς πόλεις σεμνοτέρας τῶν Ἀθηνῶν ἀποδείξουσι κατά γε τὴν σοφίαν, ἔπειτα τοῖς λόγοις ἀμυνοῦνται τοὺς αὐτόχειρας Σωκράτους, οὐ τοὺς κατηγορηκότας, ὦ Ἀθηναῖοι, τουτουσὶ μόνους, ἀλλὰ καὶ ὑμᾶς καὶ τὴν ἄλλην πόλιν ὡς τῶν ἐπιτρεψάντων ἐν τῷ μὴ κωλύσαι δεδρακότων. οὐκοῦν ἀνεξάλειπτον πρόσεισι τοὔνειδος καὶ χρόνος οὐδεὶς στήσει τὴν φήμην. ὅταν γὰρ οἱ τῷ λέγειν διαφέροντες εἰς γραφὴν ἐγκατάθωνται πράξεις ἢ χείρους ἢ βελτίους, ἀνάγκη ταύτας ἐστὶν ἀθανάτους μένειν. 177. οὐχ ὁρᾶτε τὸν Μίνω δεινὰ πάσχοντα ἐπὶ τῆς σκηνῆς καὶ τὴν οἰκίαν αὐτοῦ διὰ τοῦ τῆς Πασιφάης ἔρωτος ἐν αἰσχύνῃ γεγενημένην; ταῦτα μέντοι πολλοὺς ⟨ἂν⟩ ἀν-

17 sq. cf t. IV 467, 5. Plat. Min. p. 318 E sq.

1 ἐδίωκε *Ma* | 1 et 2 ἴδωμεν *AthUVaB* 2 κατεγνωσμένον — 3 εἴδομεν om *UVaB* 4 ταύτην coni Mor | ζητῆσαι *Ma* sed ητ inser m² 6 συμβαίνει scripsi e *C* cum Mor συμβαίνοι reliqui libri Re Rog 10 ἀλλ' ante οὐ *MaUB* 11 μόνον *B* | ἀλλὰ ante καὶ (2) Mor 12 κωλῦσαι *CMa* fortasse recte at cf ad t. I 272, 5 13 πρόεισι *MaUVaB* 14 γὰρ] δὲ *Ma* | τῷ *Ma* sed ῷ e τὸ corr m² 15 ἐγκατάθ ωνται cum ras 1 litt *A* ἐγκαταθέωνται *Ath* ἐγκαταθῶνται *MaUVaB* 16 ἐστὶν inserui e *MaUVaB* et γρ in marg Mor, post ἀθανάτους *Ath* om *CA* edd 17 Μίνω δεινὰ] μὲν ὁ δεῖνα *C* sed ὁ eras, *AAth* Mor qui ὡς δεινὰ coni μὲν δεῖνα *MaUVaB* corr Re 19 τοίνυν *CA* sed in hoc γρ μέντοι in marg | ἂν ante ἀνθρώπους inserui, post ἔλαθεν auctore Gasda Rog

θρώπους ἔλαθεν, εἰ μὴ πανταχοῦ τὸν λόγον αἱ τραγῳδίαι διέσπειραν. νῦν δ' ἀνθ' ὧν τῇ πόλει χαλεπῶς προσενήνεκτο δύναμιν ἔχων ἐν τῇ θαλάττῃ διὰ τῶν ποιητῶν καὶ τελευτήσας κολάζεται. μὴ τοίνυν πολλὰς γλώττας ἐφ' ὑμᾶς αὐτοὺς κινήσητε μηδὲ τοὺς τὸ πρᾶγμα ἐλαύνοντας ἐχθροὺς τῇ πόλει ποιήσητε.

178. *Καὶ τί δεῖ τοῖς ἐσομένοις συγγράμμασι πείθειν μὴ βουλεύεσθαι κακῶς; τὸν Πύθιον, ὦ Ἀθηναῖοι, δείσατε. τὸν χρησμὸν αἰδέσθητε, τὴν ἀπὸ Δελφῶν μαρτυρίαν, καὶ μὴ | τὸν τοῖς ἐκ τοῦ τρίποδος κεκοσμημένον ἀπολέσητε ψήφοις μηδὲ μιμήσησθε τὸν θρασὺν ἐκεῖνον Ἴδαν, ὃς ἔλαβε τόξον, ὥς φασιν, ἐπὶ τὸν θεόν. πόλεμός ἐστι καὶ τοῦτο πρὸς τὸν Ἀπόλλω, πόλεμος ἐξ Ἀττικοῦ δικαστηρίου πρὸς τὰ μέσα τῆς γῆς. ἐκεῖθεν μὲν ὁ θεὸς κηρύττει· σ ο φ ώ τ α τ ο ς ἀ ν δ ρ ῶ ν Σ ω κ ρ ά τ η ς, ἐντεῦθεν δὲ ἀ π ο κ τ α ν θ ή τ ω Σ ω κ ρ ά τ η ς βοᾶτε. 179. πῶς οὖν πέμψετε θεωροὺς εἰς*

R III 65

3 Thuc. I 4, 1 4 Plat. Min. p. 321 A 6 cf ad t. IV 392, 6 9 cf. p. 69, 9 sq. 12 cf t. IV 73, 9 et 736, 6 R et ad t. IV 317, 1 14 cf p. 69, 6

5 ἡμᾶς *UVa* | κινήσετε Mor | μὴ δὲ *CAMaB* | τὸ πρᾶγμα ἐροῦντας *Ma* τὸ πράγματι ἐμμένοντας *Ath* τῷ πράγματι ἐροῦντας *UVaB* Rog τὸ πρᾶγμα ἐμέοντας Mor sed ἐλεοῦντας coni „*malim* ἐλάσοντας" Re ἐκλαλοῦντας coni Iacobs Lect 204 7 γράμμασι *A* sed συγ antep m² 8 βουλεύεσθε *U* βούλεσθε *VaB* βούλεσθαι Mor 10 μηδὲ *CA* Re Rog | τὴν *Ma* | τοῖς om *Ma* Mor ταῖς *AthUVaB* 11 κεκομισμένον *Ma* et auctore Iacobsio Lect 204 Not 50 Rog | ψῆφον *Ma* Mor „*malim* ψήφῳ" Re at cf p. 119, 7 | μὴ δὲ *MaB* 12 ἴθαν *Ma* ἴδην Mor | φασιν *Ma* sed α in η corr m² 15 σοφώτατον et Σωκράτην Mor 16 ἐντεῦθεν — Σωκράτης inserui e *MaUVaB* cum Rog om *CAAth* Mor Re qui ὑμεῖς δὲ π ο ν η ρ ό τ α τ ο ς ἀ ν δ ρ ῶ ν Σ ω κ ρ ά τ η ς inserendum coni, quem secutus ἐντεῦθεν δὲ ὑμεῖς π ο ν η ρ ό τ α τ ο ς ἀ ν δ ρ ῶ ν Σ ω κ ρ ά τ η ς Cobetus 17 βοᾶτε *A* sed αι supra ε m² βοᾶται *Ath*

τὰ Πύθια; πῶς θύσετε πορευθέντες; πῶς εὔξεσθε; πῶς, ἤν τι δέῃ, χρήσεσθε τῷ τρίποδι πολλὴν φλυαρίαν τῶν λογίων κατεγνωκότες; καίτοι τίνες ἂν ὑμῶν δικαιότερον ἂν συμπράττοιεν εἰς δόξαν τῷ μαντείῳ; δι' οὗ τὰς ἀποικίας ἐπέμψατε, δι' οὗ Μήδους ἀπωλέσατε, δι' οὗ κακῶν ἑτέρων εὕρασθε λύσεις, δι' οὗ τὴν προηροσίαν ὑπὲρ τῶν Ἑλλήνων θύετε. 180. φέρε, εἴ του πιέζοντος, ὃ μὴ γένοιτο, ⟨ἥκοιτε⟩ ζητοῦντες παρὰ τοῦ θεοῦ, καθάπερ ἔμπροσθεν, λύσιν, ὁ δ' ὑμᾶς, ὥσπερ τὸν Ἀρχιλόχου φονέα, διαρρήδην ἐξελαύνοι τοῦ νεὼ

R III 66 | Μουσῶν ὑμᾶς ἀπεκτονέναι καὶ αὑτοῦ θεράποντα ὑπειπών, καλήν γ' ἂν εἴημεν δόξαν ἐν τοῖς Ἕλλησιν ἐσχηκότες. καὶ τούτῳ μὲν ἦν εἰς τὸν τοῦ πολέμου νόμον ἀναχώρησις, ὑμᾶς δὲ τί τῶν ἁπάντων παραιτήσεται; 181. τοὺς αὑτοῦ ποθ' ἱερεῖς οὗτος αὐτὸς ὁ

---

5 Aristid. Panath. t. I p. 181, 14 sq. D | Her. VII 141 sq. 7 cf t. IV 367, 14 R. Arist. l. l. p. 318, 23. Schol. Arist. Eq. 729 10 cf ad t. I 119, 20; t. II 145, 9 11 Galen. adh. 9. Archil. fr. 1. cf Hes. theog. 100. Theogn. 769. Arist. Av. 909. Hom. h. XXXII 20 13 Plut. de ser. num. vind. 17 cum nota Wyttenbachii. Suid. s. v. Ἀρχίλοχος

---

13 τούτῳ] τῷ τοῦ Ἀρχιλόχου φον[εῖ] δηλονότι A

---

1 θύσετε scripsi auctore Re cum Rog οἴσετε libri Mor Re ἄσετε Iacobs Add 349 Lect 204 3 λόγων Mor | ὑμῶν om B 4 συμπράττειεν C sed οι supra ει m² 5 οἰκίας C 6 προσηγορίαν C sed προηροσίαν suprascr m² 7 εἴ του scripsi auctore Re εἰ του U εἰ τοῦ reliqui libri edd et defendit Iacobs Not 51 8 ἥκοιτε inserui ante ζητοῦντες auctore Sinteni, ante παρὰ Re, cui oblocutus est Iacobsius l. l. om libri edd 9 ὃ A ὅ B | δὲ Re 10 ἐξελαύνει (οι supra ει) B ἐξελαύνει Mor | νεῶ Re 11 μισῶν Ma sed ι in ου corr, UVaB | αὐτοῦ CAUVaB Mor 13 τοῦτο UVa 15 αὑτοῦ scripsi ex AMa cum Rog αυτοῦ U αὐτοῦ reliqui libri Mor Re

θεὸς ὑπὲρ Αἰσώπου χαλεπαίνων περιέβαλε κακοῖς. καίτοι τίς ἂν μὴ φιλονεικῶν ἀπεικάσειεν Αἴσωπον τὸν Φρύγα Σωκράτει τῷ ὑμετέρῳ; πῶς οὖν δεῖ νομίζειν πρᾴως οἴσειν τὸν τοῦδε θάνατον, ᾧ δεινὸν ἔδοξεν ἐκεῖνος ὁ πρότερος; καλήν γε δόξαν ἐν τοῖς Ἕλλησιν ἕξομεν ἄνευ τοῦ τι πείσεσθαι καὶ ζημίας. καὶ γὰρ εἰ ψήφοις ἀποθανεῖται καὶ δικαστηρίου ἔσται σχῆμα, μείζων αἰτία τὸ μηδ' ὀργῇ προσθεῖναι τὸ κακὸν ἐξεῖναι. τὸ δὲ καὶ τὴν πρύμναν ἐστέφθαι τοῦ πλοίου τοῦ τὸν χορὸν εἰς τὴν Δῆλον ἄγοντος οὐ φαίνεται δηλοῦν ὡς ἐμποδὼν ὁ θεὸς ἵσταται τῇ τελευτῇ καὶ τὴν σῴζουσαν φέρει; 182. μέλει τοῖς κρείττοσιν, ὦ Ἀθηναῖοι, μέλει τῶν φιλομούσων. σημεῖον δέ, Λειβήθριοι μετὰ

---

1 cf ad t. II 528, 7 6 Isocr. Areop. p. 145 a; Panath. p. 263 b 8 cf ad t. IV 269, 3 9 cf. p. 143, 12 sq. et 146, 10. Plat. Phaed. p. 58 A sq. 11 cf t. II 154, 17; 43, 6

---

1 περιέβαλλε Mor 2 φιλονικῶν Rog 3 ἡμετέρῳ? | δεῖ om *Ma* 4 πράως *MaB* | οἴσειν] ὡς οἴσει *Ath* | ᾧ in ras C^2 ὃ *A* | δεινὸς *MaUVaB* 6 ἄνευ τοῦ τι πείσεσθαι καὶ ζημίας scripsi ἄνευ τι πέσωμεν καὶ ζημίας *CA* Re Rog ἄνευ τι πεύσομεν καὶ ζημίας *Ath* ἄνευ τί πεύσομεν καὶ ζημίας *UVaB* αἰευτεπέσωμεν καὶ ζημίας *Ma* ἄνευ τι * καὶ ζημίας Mor qui τιμωρίας pro τι coni ἄνευ τῆς ζημίας coni Re κἂν μὴ περιπέσωμεν ζημίαις Iacobs Lect 204, κἂν μὴ περιπέσωμεν ἄλλῃ ζημίᾳ idem Not 51 ἂν μή τι πάθωμεν καὶ ζημίας olim conieci Mus. Rhen. XXXII 96 7 δικαστηρίῳ *Ma* δικαστηρίοις *UVaB* | ἔσται scripsi τι *CAAth* Mor Re τί *MaUVaB* τι ἔσται auctore Nabero Rog προσέσται τι coni Re 8 τῷ μηδὲ ὕβριν προσθεῖναι τῷ κακῷ ἐξεῖναι coni Gasda | μεῖζον αἰτίας *MaUVaB* | μὴ δ' *MaB* μηδὲ Mor Re 9 ἐστ φθαι cum ras 2 litt *U* ἐστράφθαι *VaB* 11 ἐμποδῶν *A* | σῴζουσαν Rog 12 φέρειν *Ma* sed ν del | φέρει. Re | θεοί *MaAth* 13 δέ, scripsi e *Ma* cum Mor et Gasda coll t. IV 146, 6. Dem. p. 525, 17 δὲ reliqui libri Re Rog | λιβίθριοι (ει supra) *A* λειβέθριοι *Ma* λιβέθριοι Re λειβήθριον Mor | οἳ post Λειβήθριοι inser auctore Ia-

τὸν Ὀρφέως φόνον δι' ἀμουσίας ἔδοσαν δίκην καὶ κατέχεται τὸ χωρίον ἀπαιδευσίᾳ συχνῇ. καίτοι τοῦτο ποίας οὐ νόσου δεινότερον, τίνων οὐκ αὐχμῶν βλαβερώτερον καὶ τετυφλῶσθαι τὴν διάνοιαν καὶ ζῆν ἐν
R III 67 ἀγνοίᾳ τῶν καλῶν καὶ μηδὲν διαφέρειν | βοσκημάτων; ἀλλ' ὑμεῖς μὴ ἁμάρτοιτε τοιοῦτον μηδὲν μηδὲ πάθοιτε.

182. Κρίτων, ἡλικιῶτα Σωκράτους καὶ δημότα, λέγε πρὸς τούτους ἃ σύνοισθα τῷ φίλῳ. ποῦ τοῦ Σαλαμινίου Λέοντος οἱ παῖδες, ἐφ' ὃν ὑπὸ τῶν τριάκοντα πεμπόμενος οὗτος ἀπῆλθεν οἴκαδε; φανεῖται μεμνημένος δημότης τῆς προαιρέσεως; καὶ τῶν ἀμφὶ Θράσυλλον καὶ Περικλέα τοὺς οἰκείους καλῶ τῶν, τὸ Σωκράτους μέρος, οὐκ ἀπολωλότων ἀκρίτων.

183. Παῦσαι θορυβῶν, Ἄνυτε. δεῖσον τὸ μέλλον. μὴ νίκην νίκα Καδμείαν. ὅρα μὴ τήμερον ἡσθεὶς ὕστε-

---

1 Paus. IX 30, 5. cf p. 141, 21 sq. 3 Plat. rep. IX p. 586 A 8 Plat. apol. p. 33 E; Gorg. p. 495 D 10 p. 136, 14. Plat. apol. p. 32 C; ep. VII p. 324 E sq. Andoc. de myst. § 94. Xen. comm. IV 4, 3; Hell. II 3, 39. Dio Chr. t. II p. 191, 10. Socr. ep. 7, 1. Diog. L. II 5, 8, 24 13 p. 134, 2. Plat. apol. p. 32 B. Xen. comm. I 1, 18; Hell. I 6, 29 et 7, 15. Diog. L. l. l. 16 cf t. II 55, 2 17 Xen. Hell. I 7, 35

---

cobsio Lect 204 Not 52 Anth. Pal. III 217 Rog | μετὰ om in ras 1—2 litt *C*

1 δι' del Iacobs τὴν coni Re cui oblocutus est Gasda | ἔδωκεν Mor sed γρ ἔδωκαν in marg 6 ἁμάρτοιτε scripsi ex *AthUVaB* (abreptum est in *Ma*) ἁμάρτητε *CA* Re Rog ἁμαρτάνοιτε Mor | οὐδὲν *AthUVaB* | μηδὲ scripsi e *CA* auctore Gasda cum Rog μήτε reliqui libri Mor Re 7 πάθητε *Ma* 10 οἱ om *C* | ὑφ' Mor 12 μεμνημένος *Ma* | δημότης δημότου coni Re | τῆς om *Ma* | signum interrogationis posui punctum libri edd | τὸν *MaUVaB* Mor | ἀμφιθράσυλλον *U* 14 ἀκρίτως Mor

ρον ὀδύρῃ σαυτόν. εἷλε καὶ Καλλίξενος τοὺς στρατηγούς, ἀλλ' ὅμως ἑλὼν ἀπώλλυτο. φύλαξαι δὴ τὸ παράδειγμα καὶ λῆξον λοιδορῶν. λύει τὰς βλασφημίας Φαίδων μετὰ τὸν χείρω βίον φιλοσοφῶν. οὕτως εἴωθε Σωκράτης διαφθείρειν τοὺς νέους.

---

3 Diog. L. II 9, 1, 105

---

2 *λιμῷ* vel *ἑλὼν λιμῷ* olim conieci Mus. Rhen. XXXII 94
3 „*malim λοιδοριῶν*" Re | *λύει* scripsi *λύεις* libri *λῦσον* Mor *λύει σοῦ* Re qui *λύσεις τὰς βλασφημίας, ὡς Φαίδων* coni *λύε* auctore Nabero Rog 5 *τοὺς* inserui e *MaUVaB* cum Rog om *CAAth* Mor Re *τέλος τῆς σωκράτους ἀπολογίας* subscr *A*, *σωκράτους ἀπολογία Va*

Apologiae Socratis succedere iussi alteram de illo declamationem, quae in uno codice — Barberinum dico — ei antecedit, sed paucissimis libris servata in editionibus Morelliana et Reiskiana desideratur.

II.

Declamatio inscripta *Κωλύουσι Σωκράτην ἐν τῷ δεσμωτηρίῳ διαλέγεσθαι καὶ ἀντιλέγει τις* qua unus e discipulis Socratis frustra oblocutus ne Athenienses Anyto et Meleto auctoribus illum damnatum conversatione hominum arceant[1]), petit ut sibi saltem pridie eius diei quo cicutam bibat cum illo colloqui liceat, non ita multorum tulit lectorum plausum et aetate satis antiqua paene a corpore declamationum abrepta et in paucas eclogas recepta est. Paucissimis igitur iisque recentibus codicibus ad nostram aetatem pervenit.

Qui sunt hi sex:

1. Barberinus II 41 (= B) saec. XV fol. 436. Est codex 'corporalis'. Vide t. I p. 24 sq. Descripsi anno 1869 sed apographum quod cum codice Matritensi comparandum Hausero misi in itinere anno 1870 periit. Alterum apographum amicitiae Hugonis Hinckii debui.

Huius codicis tria servata sunt apographa:

2. Escurialensis T—II—15 (151 in catalogo Milleriano) saec. XVI exeuntis fol. 79. Vide supra p. 7 sq. Consentit fere cum B, nisi quod non omnes illius lacunas spatiis intermissis indicavit. Contuli anno 1880.

3. Vaticanus gr. 1940 saec. XVII part. 2 fol. 1. Vide t. IV p. 384. Consentit cum B. Inspexi anno 1896.

4. Vallicellanus Allat. CXXXV (211 in catalogo 168

---

1) Quae res ficta est, quin etiam abhorret a testimonio cum apologiae quae fertur Xenophontis tum Phaedonis cuius vestigia praeter ceteros dialogos Platonis in reliquis Libanius maxime pressit. Ansam praebuisse videtur quod Socrates nondum reus a Critia colloqui vetitus est. Cf p. 47, 2; 99, 7 et p. 135, 1 sq. Talem fictionem non prorsus a Libanio alienam censeo idemque dixerim de lectione Vitarum sophistarum Philostrati (p. 140, 11) quae uno loco apparet. Et quamquam in dictione imprimisque verborum collocatione nonnulla sunt insolita quae dubitationes de authentia declamationis moveant, tamen eam a Libanio praesertim adulescente scribi potuisse negare nolo.

codicum graecorum bibl. Vallicell. edito a Martinio p. 225) continet duos fasciculos ab Allatio exaratos quorum priore continetur declamatio *φιλάργυρος ἐρασθεὶς ἑταίρας καὶ μισθὸν ἀπαιτούμενος ἑαυτὸν προσαγγέλλει* (t. IV p. 827 R), altero *κωλύουσιν Σωκράτην ἐν τῷ δεσμωτηρίῳ διαλέγεσθαι καὶ ἀντιλέγει τίς.* Consentit cum B, sed desinit verbis *λαλίστεροι. καὶ τόν γε κροίσου τοῦ* p. 137, 14. Mea gratia anno 1903 inspexit Eduardus Scheer.

5. Matritensis 4679, olim N—49 (= Ma) saec. XIV fol. 175. Vide t. I p. 362 sq. et t. IV p. 410. Collationem meum in usum cum apographo codicis Barberini anno 1872 ab Eduardo Geppert factam ipse anno 1880 retractavi.

169 6. Marcianus gr. 514 (= M) chartaceus formae octavae saeculi non XIV, ut dixit Zanettius in catalogo p. 277, sed XV, ut visum est Ioanni Veludo, miscellaneus continet post Nicomachi Arithmeticae libros (fol. 6), Sophoclis Aiacem (48), Ioannis Pediasimi de laboribus Herculis (94), Canones grammaticales (108), Maximi Tyrii orationes (164), Philostrati Heroicum (211) et imagines (260), Synesii ad Arcadium Imp. de Regno (331), Homeri Iliadis libros duos priores cum paraphrasi Manuelis Moschopuli (352)


foliis 415—422 *Κωλύουσι Σωκράτην ἐν τῷ δεσμωτηρίῳ διαλέγεσθαι καὶ ἀντιλέγει τις. λιβανίου*[1]) *μελέτη.* Descripsit et Venetiis anno 1785 publici iuris fecit Iacobus Morelli in libro inscripto: *Aristidis oratio adversus Leptinem. Libanii declamatio pro Socrate. Aristoxeni rhythmicorum elementorum fragmenta. ex bibliotheca Veneta D. Marci nunc primum edit.* p. 190—265. Sed male cecidit quod illum praef. p. XXXII, unico loco quo numerum codicis indicavit, calamus fefellit, — scripsit enim numerum 524 — neque, dum ego Venetiis versor, reperiri potuit. Ioannis demum Veludo bibliothecarii et veteris amici perseverantiae debui ut codex anno 1874 reperiretur et ab ipso cum pulvisculo excuteretur. Nuper a me rogatus gratiose inspexit Carolus Frati.

1) Haec vox est valde compendiata. Totum libellum indicare omisit Zanettius.

De vinculo quo tres codices *BMaM* coniuncti sunt quaerentibus aeque atque in apologia Socratis artior inter *B* et *Ma* apparet necessitudo. Nam haud semel in lectionibus sive genuinis sive pravis concinunt, ubi *M* sive pravam sive genuinam servavit. Sed in universum *M* archetypum maiore cum fide reddit quam *MaB*. Horum autem melior est *Ma* quam *B* qui cum multa alia tum quae legere aegre posset omisit.

Haud parvus est numerus locorum a grammaticis, rhetoribus, florilegiorum auctoribus laudatorum. Atque inter hos sunt etiam satis vetusti, ut auctor *περὶ συντάξεως* Coislinianus (lexici Segueriani tertii) qui unum locum e declamatione sub nomine *Δημοσθένους τοῦ μικροῦ*[1]) attulit (s. v. *διψῶ· γενικῇ. Δημοσθένης ὁ μικρὸς ἐν τῇ σιωπῇ Σωκράτους· καὶ διψᾷ τοῦ κωνείου*) aeque atque Melissa Augustana, et Ioannes Doxapatri in commentario ad Hermogenis *περὶ εὑρέσεων* librum[2]). Quattuor eosque haud parvi ambitus locos in *ῥοδωνιὰν* recepit Macarius Chrysocephalus[3]) (= Macar) usus ille quidem aeque atque Ioannes Doxapatri codice proxime ad *Ma* accedenti.[4])

Necessitudinis igitur vinculum quo codices et testimonia coniuncta sunt hoc tibi stemma ante oculos ponit



1) De hac Libanii appellatione cf quae dixi Mus. Rhen. XXXII 87 et edit. t. I p. 74 not. 3.

2) Cf t. II p. 86. Praeter Baroccianum 175 etiam lectiones Parisini 2922 a Graeveno excerptas et a Rabio mecum communicatas adhibui. 3) Cf t. I p. 351. 4) Cf p. 145, 1 et 9.

Prima huius declamationis notitia ad viros doctos venit per Leonem Allatium qui in praefatione Excerptorum Variorum Graecorum sophistarum ac rhetorum Romae anno 1641 excusorum p. 4 eam inter inedita codicis Barberini „quae esset operae pretium aliquando edi“ recensuit nil nisi titulum et principium proferens. Quae repetivisse satis habuit Fabricius Bibl. gr. t. VII p. 412. Quattuor locos a Macario allatos publici iuris fecit Villoisonus Anecd. gr. t. II p. 13 sq. atque ex hoc Reiskia t. I praef. p. XXVIII sq. Declamationem integram e Marciano satis accurate descriptam et per Stephanopulum cum Barberino sed parum accurate collatam una cum versione latina notisque bonae frugis plenis Venetiis anno 1785 libro cuius titulum supra indicavi Iacobus Morelli (= Mor) edidit haud quidem male — certe scientia linguae Graecae Federicum Morellum aliquanto superavit — sed ut multa mihi corrigenda relinqueret. Sed vel sic non unum mendum latet.

II.

ΚΩΛΥΟΥΣΙ ΣΩΚΡΑΤΗΝ ΕΝ ΤΩΙ ΔΕΣΜΩΤΗΡΙΩΙ ΔΙΑΛΕΓΕΣΘΑΙ ΚΑΙ ΑΝΤΙΛΕΓΕΙ ΤΙΣ.

1. *Χαλεπὸν μὲν εἰπεῖν τι καὶ τῶν πάνυ δι-* Mor p. 190
καίων ὑπὲρ Σωκράτους ἐν ὑμῖν προκατεγνωκόσι καὶ
τὰς πρώτας προσειμένοις | *κατ' αὐτοῦ διαβολάς,* Mor p. 192
ἀναγκαῖον δὲ τῶν συκοφαντῶν ὑπερβολῇ χρωμένων καὶ μὴ Σωκράτην μόνον ἀδικούντων, ἀλλά τινα κοινὸν ἁπάντων τῶν ἀτυχούντων νόμον τοσοῦτον εἰπεῖν πρὸς ὑμᾶς, ὅτι πολλῶν ἤδη καταψηφισθέντων ἐν ὑμῖν καὶ τῶν μὲν ἀδίκως, τῶν δὲ δικαίως ἀποθανόντων οὐδεὶς ἀπόλωλε σιωπῇ. 2. *ἀποθνήσκειν μὲν οὖν ἐκελεύσατε*
Σωκράτην καὶ πάνυ | *πράως πείθεται, οἱ δὲ καὶ* Mor p. 194
δευτέραν ἐπιτάττουσιν αὐτῷ τιμωρίαν τὸ καὶ πρὸ τῆς

M = Codex Marcianus gr. 514
Ma = Matritensis 4679 (N-49)
B = Barberinus II 41

6 cf. p. 17, 1; 129, 15   8 Dem. c. Lept. p. 504, 17 sq.

1 *κωλύει τίς Ma* quocum facit Macarius fol 87ᵛ *τῆς μελέτης ἐν ᾗ κωλύοντός τινος ἐν τῷ δεσμωτηρίῳ Σωκράτην διαλέγεσθαι ἀντιλέγει τις*   2 *καὶ* om *Ma*   3 *τις* om *Ma* *τίς B* | *ἀντίληψις* post *ἀντιλέγει*: *Ma*, *λιβανίου μελέτη M*   4 *τί Ma*   6 *προσειμένοις* scripsi *προσιεμένοις MB* Mor *προσιεμένους Ma*   9 *πάντων B*   11 *θανόντων Ma*   13 *σωκράτη B* | *πράως MaB* | *καὶ* om *Ma*

τελευτῆς σιωπᾶν καὶ μὴ διαλέγεσθαι μηδενὶ ἀποκτείνοντες αὐτὸν καὶ πρὸ τοῦ κωνείου. Σωκράτει μὲν οὖν καὶ τοῦτο ῥᾴδιον, δύναται γάρ, ὥσπερ καὶ λέγειν, καὶ σιωπᾶν, ὑμῖν δὲ εὐλαβείας ἄξιον μὴ καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων αἰτίαν λάβητε τοῦ κοινοῦ καλοῦ πᾶσι τοῖς ἔτι ζῶσι Σωκράτην ἀποστερήσαντες καὶ τήν τε ψυχὴν ἅμα καὶ πρὸ ταύτης ἤδη καὶ τὴν φωνὴν ἀφελόμενοι. 3. ἐγὼ δέ εἰμι μὲν εἷς τῶν φοιτώντων παρὰ Σωκράτην καὶ τῶν ἀκροωμένων, καὶ γάρ ἐστι τὸ πρᾶγμα θαύματος ἄξιον, ἐν δεσμωτηρίῳ φιλοσοφῶν καὶ φαιδρῶς ἀποθνήσκων, ἀνέστην δὲ ἀντερῶν τῷ τὴν χαλεπὴν γνώμην ταύτην εἰρηκότι νομίζων οὐκ ἐκείνῳ τοῦτο, ἀλλ' ἡμῖν οἴσειν ζημίαν, εἰ μηδὲ ὀλίγα κερδανοῦμεν Σωκράτους τὰς λοιπὰς ἡμέρας.

Mor p. 196 4. Ὅτι μὲν οὖν παρὰ πάντα τὰ δίκαια συκοφαντηθεὶς καὶ λαβὼν αἰτίας ψευδεῖς καὶ τῆς αὑτοῦ φιλοσοφίας ἀναξιωτάτας ἀπολεῖται Σωκράτης ἁπάντων μὲν ἀνθρώπων θεοσεβέστατος γενόμενος, ἁπάντων δὲ ὠφελιμώτατος τοῖς νέοις, καὶ τοῖς μὲν νόμοις τῆς πόλεως πεισθεὶς ἀεὶ καὶ πολιτευόμενος καὶ στρατευόμενος, τοῖς δὲ τυράννοις καὶ ταῖς ὀλιγαρχίαις ἀντιπαραταξάμενος, μόνος χρήματα τῆς συνουσίας καὶ μισθὸν μὴ πραξάμενος

---

5 Plat. apol. p. 38 C 13 Dem. p. 118, 16 22 cf. p. 95, 12. Xen. comm. I 2, 60

---

2 *καὶ* om *Ma* 3 *δύναται* scripsi *δύναιτο* libri Mor | *καὶ* (3) inserui e *Ma* om *MB* Mor 5 *αἰτίαν* scripsi e *Ma* coll l. 16 et t. III 361, 18. Plat. l. l. Thuc. II 18, 2 *ἀτιμίαν MB* Mor 8 *σωκράτει MaB* 12 *ταύτην γνώμην B* | *τοῦτο* scripsi e *Ma* *ταύτην MB* Mor 13 *τὴν ζημίαν M* Mor | *μηδὲ* scripsi *μὴ δὲ MaB* *μὴ M* Mor 16 *αὑτοῦ* scripsi *αὐτοῦ* libri Mor 17 *ἀναξιωτάτας* scripsi e *Ma* *ἀναξιώτατα M* Mor *ἀναξιω* cum lacuna 2—3 litt *B* 21 *ἀντιπαραταξάμενος* scripsi e *Ma* *ἀντιταξάμενος MB* Mor 22 *χρήματα καὶ μι-*

τοὺς φοιτῶντας αὐτῷ καὶ ἰδίων μὲν φύσεων πονηρῶν ὡς οἷόν τε ἦν κρείττων γενόμενος, πολλοὺς δὲ καὶ ἄλλους ἀγαθοὺς ἡμῖν ἀπεργασάμενος, καὶ τὴν πόλιν εὐδόκιμον καὶ περίβλεπτον ἐν τοῖς Ἕλλησι ποιῶν τοῖς τε ξένοις τοῖς ἀμφ' αὐτὸν ἀφικνουμένοις καὶ τοῖς λόγοις τοῖς πανταχόσε παρ' αὐτοῦ διαπεμπομένοις.

5. *Ὅτι μὲν οὖν τοιοῦτος Σωκράτης ὢν σεσυκοφάντηται | καὶ θᾶττον ἢ δίκαιον ἦν ἤνεγκαν οἱ δικασταὶ τὴν ψῆφον,* Mor p. 198 *δείξειν οἴομαι τὸν χρόνον καὶ τοὺς θεούς, καὶ γένοιτό γε μετὰ μηδεμιᾶς ὀργῆς καὶ δημοσίας βλάβης τῇ πόλει, καὶ τοῦτ' εὖ οἶδα, ὅτι μετέγνωσαν ἂν οἱ δικάσαντες, εἴ τις αὐτοῖς δευτέραν παρεῖχε περὶ τῶν αὐτῶν κρίσιν, ὥσπέρ ποτε καὶ περὶ Μιτυλήνης μετέγνωτε.* 6. *ἐπειδὴ δ' οὖν ἐκράτησαν οἱ διὰ τοὺς ἔτι τῶν λόγων ἐλέγχους φθονήσαντες Σωκράτει, τοῦ μὲν ἠκούσατε κἀν τῷ δικαστηρίῳ φιλοσοφοῦντος, οὔτε γὰρ ἔκλαυσεν οὔθ' ἱκέτευσεν οὐδὲ αἰσχρὰν οὐδὲ ἀναξίαν φιλοσοφίας σωτηρίαν εὕρατο, ἀλλὰ πείθεται τῷ πρὸς ταύτην ἄγοντι τὴν τελευτὴν θεῷ καὶ τοῖς ἕνδεκα εὐδαιμόνως ἠκολούθησε καὶ παρῆλθε φαι-*

---

8 Plat. apol. p. 38 C 11 Diog. L. II 5, 23, 43 14 cf. t. II 460, 20 sq. Thuc. III 36 sq. 15 cf. p. 17, 2 17 cf. p. 112, 6 18 cf. p. 112, 11 20 Plat. Phaed. p. 59 E; 85 B

σθὸν τῆς συνουσίας Ma | *τῆς* inserui e libris om Mor | *μὴ πραξάμενος τοὺς φοιτῶντας αὐτῷ] τοὺς φοιτῶντας οὐκ αἰτῶν Ma* 1 *συνόντας B* | *ἰδίων* scripsi *διὸ Ma* *δύο MB* Mor 3 *ἄλλους ἀγαθοὺς* scripsi *ἀγαθοὺς ἄλλους* libri Mor | *ἡμῖν* inserui e *Ma B* om *M* Mor | *ἐργασάμενος MaB* 5 *τοῖς* om Mor | *καθ' αὐτὸν Ma* 6 *ἀπὸ Ma* | *τούτου MaB* | *διαπεμπομένοις* scripsi e *MaB* *πεμπομένοις M* Mor 7 *οὖν* om *Ma* | *τοιοῦτος καὶ τοιοῦτος Ma* 8 *δίκαιον* scripsi *δικαιότατον* libri Mor 10 *μετὰ* om *Ma* 11 *τοῦτ'* scripsi *ταῦτ'* libri Mor | *οἶδ' Ma* 12 *ἂν* inserui e *Ma* ut coni Mor om *MB* Mor 13 *περὶ* om *MMa* 16 *κἂν M* Mor 17 *οὔτε* scripsi e *MaB* *οὐ M* Mor 18 *σωτηρίαν* om *B*

δρὸς εἰς τὸ δεσμωτήριον ὡς εἰς Λύκειον, ὡς εἰς Ἀκα- Mor p. 200 *δημίαν, | ὡς ἐπὶ τὸν Ἰλισσόν, ὡς ἐπὶ τὰς ἄλλας αὑτοῦ διατριβάς, ἔμελλε δὲ κἀκεῖ φθέγξεσθαι καὶ λαλήσειν. πῶς δὲ οὐκ ἄν τις ἄνθρωπος ὢν καὶ ζῶν ἔτι; ὁ δὲ καὶ προθύμως τοῖς ἑταίροις συμφιλοσοφεῖ, Σωκράτης γάρ ἐστι καὶ δεδεμένος οὐδὲ κατέπληξεν αὐτὸν ἡ τοῦ σώματος συμφορά, καὶ τοιούτους διεξέρχεται λόγους οὕτω θείους καὶ καλούς, ὥστε εἰ πάντες ὑμεῖς αὐτῶν ἠκούσατε, πάντως ἂν αὐτὸν ἐλύσατε.*

7. *Σωκράτην μὲν οὖν μακαρίζειν ἄξιον, ὅτι γε τοῦ θανάτου παρεστηκότος χαίρει καὶ λέγει καὶ φιλοσοφεῖ τοῖς δὴ ἀκούουσι καὶ παρακερδᾶναί τι δυναμένοις εἰς τὸν ὅλον βίον μὴ φθονῶν· Ἄνυτος δὲ ἄρα καὶ Μέλη-* Mor p. 202 *τος | ἦσαν καὶ τοῦ δεσμοφύλακος χαλεπώτεροι. ὁ μὲν γὰρ συγχωρεῖ παρεῖναι παρὰ Σωκράτην, οἱ δὲ ἀνόνητον ποιοῦσιν ἡμῖν τήν τε σωτηρίαν αὐτοῦ καὶ καινὰ δεσμὰ ταῦτα εὑρίσκουσιν ἐπὶ Σωκράτην, μὴ χεῖρας μόνον καὶ πόδας δεδέσθαι πρὸ τοῦ θανάτου Σωκράτην, ἀλλὰ καὶ τὴν γλῶτταν αὐτοῦ.* 8. *ὢ τοῦ φθόνου καὶ τῆς σκαιότητος, ὢ τῆς ἀπαιδεύτου πονηρίας. μὴ λαλήσῃ Σωκράτης, Ἄπολλον, ἔτι ζῶν ⟨καὶ⟩ ἔχων φωνήν; ἀλλ' ἐπ' ἀνδρὶ γράφει ψήφισμα τοιοῦτον*

11 Il. π 853

1 *λύκιον MaB* cf. p. 24, 11; t. IV 353, 11 3 *αὑτοῦ* scripsi *αὐτοῦ* libri Mor | *φθέγξασθαι MaB* | *λαλῆσαι B* 4 *τις* inserui e *Ma* om *MB* Mor 5 *ἑταίροις Ma* sed *ταίροις* in ras m[2] 8 *οὕτω καὶ θείους M* sed *καὶ* eras | *οἱ Ma* 9 *πάντες Ma* | *ἂν* om *Ma* 10 *μὲν* om *Ma* 12 *δὲ MaB* 13 *φθονῶν* scripsi ut coni Mor *φθονεῖν* libri Mor | *Μέλητος* reposui e libris *Μέλιτος* Mor ut constanter in hac declamatione cui oblocutus est Boissonadius Anecd. V 324 sq. 17 *δεσμὸς M* | *εὑρίσκουσι ταῦτα Ma* | *σωκράτει MaB* 21 *καὶ* inserui om libri Mor 22 *τοιοῦτον* reposui e libris *τοιοῦτο* Mor

ὁ Σόλων ἄντικρύς τε καὶ διαρρήδην ἀπειρημένον ὑπὸ τῶν νόμων μηδὲ γράφειν ἐπ' ἀνδρὶ νόμον ἢ ψήφισμα ὅπερ ἂν μηδὲ κοινὸν ἐφ' ἅπασιν Ἀθηναίοις ᾖ; 9. πονηρός τε καὶ κατεψηφισμένος ὤν. | ἔστω πονη- Mor p. 204 *ρός. μηδὲν ἄπιστον ἔστω τῆς γραφῆς μηδὲ τῆς Ἀνύτου καὶ Μελήτου καταβοῆς. εὖ οἶδα ὡς ἔσται χρόνος ἐν ᾧ ποτε σεμνυνεῖσθε Σωκράτει, ὡς Ἡρακλείτῳ μὲν Ἐφέσιοι, Πυθαγόρᾳ δὲ Σάμιοι καὶ Χείλωνι Λακεδαιμόνιοι καὶ Θάλητι Μιλήσιοι καὶ Πιττακῷ Λέσβιοι καὶ Περιάνδρῳ Κορίνθιοι καὶ ὑμεῖς αὐτοί ποτε Σόλωνι. πᾶσι γὰρ τοῖς σοφοῖς ζῶσι μὲν ὁ παρὰ τῶν πλησίον φθόνος ἀνταγωνίζεται, | ἀποθανόντων δὲ καθα-* Mor p. 206 *ρῶς ἐξ ἀλύπου τῆς αἰσθήσεως ἡ σοφία κρίνεται.*

10. *Νῦν δὲ οὕτω δοκοῦντα ἔστω ταῦτα, ὡς ἔδοξεν. οὐκοῦν ἅπερ ἔδοξεν ἐν τῷ δικαστηρίῳ, ταῦτα κρίνεσθαι προσήκει. ἔδοξε δὲ πιεῖν Σωκράτην κώνειον, ὥσπερ καὶ ἄλλος τις ἤδη τῶν κατεψηφισμένων. τοῦτο μὲν οὖν οὐκ ἀναίνεται Σω|κράτης οὐδ' ἂν ἀπο-* Mor p. 208

---

1 Dem. p. 352, 12; 1075, 10 2 Andoc. myst. § 87 et 89. Dem. Timocr. § 59; Aristocr. § 86; Steph. II § 12. Aen. Theo. p. 24, 8 ed. Boiss. 6 Thuc. I 73, 1 cum nota Kruegeri 11 Thuc. II 45, 1. Dem. p. 330, 3; 441, 29 17 Lys. c. Erat. p. 394, 13

---

1 *ἄντικρύς τε καὶ διαρρήδην*] *ἂν* cum lacuna 8 litt *B* | *καὶ* om *Ma* | *ὑπὸ* scripsi e *MaB* *ἀπὸ* *M* Mor 3 *μὴ δὲ* *B* | *πονηρός τε καὶ κατεψηφισμένος ὤν* om in lac 10 litt *B* 4 *καὶ* om *Ma* | *ὤν*] *ἐστί* coni Mor 6 *καταβοῆς* scripsi e *MaB* *καταβολῆς* *M* Mor 7 *σεμνυνεῖσθαι* *M* | *Σωκράτει* om *Ma* 8 *χίλωνι* *MaB* 9 *καὶ Περιάνδρῳ Κορίνθιοι* om *Ma* 10 *αὐτόν* *Ma* 11 *πᾶσι* — 13 *κρίνεται* omissa *γὰρ* particula citat Macar fol 87ᵛ (Villoison Anecd. II 13; Lib. t. I p. XXVIII R) | *ζῶσι μὲν* om *B* | *πλησίον* scripsi e *MaB* Macar *πλησιόνων* *M* Mor 12 *προσφύεται* Macar 14 *νυνὶ* *Ma* | *ὥσπερ* *Ma* | *ἔδοξαν* *MB* 15 *πράττεσθαι* *Ma* 18 *ἀποδραίη* scripsi *ἀποδρῴη* *M* Mor *ἀποδρώη* *MaB*

δραίη ποτὲ τὴν παρ' ὑμῶν δίκην οὐδ' ἂν ἐξέλθοι, κἂν τῶν ἄλλων οἱ μὲν αὐτὸν εἰς Βοιωτίαν θέλωσιν ἁρπάσαι, οἱ δὲ εἰς Πελοπόννησον, οἱ δὲ εἰς Θετταλίαν, ἅπασαι δ' αὐτὸν αἱ τῶν Ἑλλήνων καλῶσι πόλεις, οὐδ' ⟨ἂν⟩ ἀνάσχοιτο κλοπιμαίαν σωτηρίαν, ἀλλ' οὐκ οἶδ' ὅπως ὑμῶν αὐτὸς μᾶλλον πρὸς τὴν τελευτὴν ἐπείγεται καὶ διψᾷ τοῦ κωνείου. 11. ἃ δὲ μήτ' ἔδοξε τῷ δικα- Mor p. 210 στηρίῳ μήτε | οἱ κείμενοι περὶ τῶν ἑαλωκότων νόμοι κελεύουσι, ταῦτα πῶς οὐ δεινὸν καὶ παράνομον προσεπιτάττειν ἐκ ψηφίσματος; δεῖ γὰρ μήτε πλείω τοῖς δικασθεῖσι προστιθέναι τὴν φιλανθρωπίαν ἕκαστον τῆς τεταγμένης ἀνάγκῃ ὑπὸ τῶν νόμων μήτ' αὖ πικροτέρους εἶναι τῶν νενομισμένων, ἑκάτερον γάρ ἐστι, καὶ τὸ προστιθέναι τι τῷ κατεψηφισμένῳ καὶ τὸ τοῖς οὕτω πράττουσιν ἐπιεικὲς ἀφελεῖν, παρὰ τοὺς νό-

5 Luc. Icar. 20   11 Plat. rep. V p. 558 A

1 ἡμῶν *Ma* | ἐξέλθοι scripsi e *MaB* cum Boissonadio An III 199 ἐξέλθῃ *M* Mor | κἂν — 4 πόλεις om *Ma* κἂν] οὐδ' ἂν *B* 2 τῶν ἄλλων om *B* 3 θετταλούς *B* 4 ἁρπάσαι *B* | καλοῦσι *B* 5 ἂν inserui 7 verba καὶ διψᾷ τοῦ κωνείου citat auctor Coisl. περὶ συντάξεως ed. Bekker Anecd. p. 135, 22 s. v. διψῶ· γενικῇ. Δημοσθένης ὁ μικρὸς ἐν τῇ σιωπῇ Σωκράτους· καὶ διψᾷ τοῦ κωνείου atque hinc auctor metricus περὶ γραμματικῆς v. 198 (Boiss. An. II 350 cf. Add. p. 485) διψῶ κωνείου γενικῇ παρὰ τῷ Δημοσθένει et codex Suidae A in marg s. v. διψῶ· Δημοσθένης· διψῶ τοῦ κωνείου cf. Mus. Rhen. XXXII 87 9 δεῖν *Ma* sed in δεινὸν corr m rec 10 δεῖ — 15 νόμους citat Melissa Augustana (Mon. gr. 429 fol. 16ᵛ) τοῦ μικροῦ δημοσθένους· δεῖ γὰρ — νόμους et omissa γὰρ particula Macar fol 87ᵛ (Villois. Anecd. II 13 Lib. t. I p. XXVIII R) δεῖ — 11 δικασθεῖσι] οὔτε πλείω τοῖς δικασθεῖσι χρὴ Macar | προστεθῆναι Meliss κατατιθέναι *Ma* Macar | τὴν inserui e *M* om reliqui libri Mor | φιλανθρωπία Meliss 12 ἀνάγκῃ scripsi ἀνάγκης libri Mor | ὑπὸ scripsi e *MaB* Meliss Macar παρὰ *M* Mor 13 πικροτέρας *Ma* 14 ἐστι] ἐστιν ἄτοπον Meliss | τὸ om Meliss | προσθεῖναί *Ma* Macar πρὸς τὸ τιθέναι Meliss | τὸ] τῶ Meliss 15 ἐπιεικείας Meliss ἐπιεικίας Macar

μους. οὐ τοίνυν οὐδ' ὁ τοῦ δικαστηρίου κῆρυξ ἀνεῖπε τὴν τῶν ἕνδεκα ἀρχὴν παραλαμβάνειν Σωκράτην καὶ προστάττειν αὐτῷ μέχρι τοῦ θανάτου σιωπᾶν μηδὲ λαλεῖν Σωκράτην, ἀλλ' ἀποθνήσκειν | μόνον. Mor p. 212
12. *καὶ ὑμεῖς δέ, Σωκράτους κατήγοροι, τιμώμενοί ποτε αὐτῷ θανάτου* [*καὶ*] *σιωπῆς οὐ προσετιμήσατε. δύο γὰρ ἂν ἦν οὕτω τὰ τιμήματα. ὃ τοίνυν οὐδ' ὑπ' αὐτὴν τὴν τῆς ὀργῆς ἢ τῆς ἐξαπάτης τῶν δικαστῶν ἀκμὴν οὐ προσεθήκατε, τοῦτο νῦν προσεξευρίσκετε τῶν ἐψηφισμένων πλεῖον.* 13. *εἰ μὲν γὰρ ἄλλο τι καινότερον ἀδικεῖ Σωκράτης, καὶ προστίθετε τὰς αἰτίας μετὰ τὴν ψῆφον τῶν δικαστῶν παρὰ τὰ γεγραμμένα πρότερον ἐν τῇ γραφῇ, εἴπατε, διδάξατε· εἰ δ' ὅτι φθέγγεται καὶ λαλεῖ, τίς τούτου πώποτε ἀνθρώπων ἔδωκε δίκην; τῷ δὲ ἀπηγόρευτο καταδικασθέντι σιωπᾶν; τίς δ' ἐπὶ τὸν δῆμον ἤχθη λαλῶν; πότε δὲ Ἀθήνησι τῶν τεθνηξομένων τις γλῶτταν ἀπεκόπη; Θρᾷκας ἡμᾶς ἀντ' Ἀθηναίων ποιεῖς καὶ ἀντὶ Ἑλλήνων βαρβάρους.*

---

6 Dem. p. 790, 20 8 Dem. p. 487, 10; 1116, 2 9 Isocr. p. 75 e. [Luc.] salt. § 61. Arist. Eq. 1283

---

1 *ὅδ'* *B* | *κήρυξ* *MB* Mor cf ad t. IV 316, 7 | *ἂν εἶπε* *MaB* 2 *σωκράτη* *Ma* 3 *μὴ δὲ* *B* 5 *γε* *MaB* 6 *καὶ* cancellavi | *σιωπῆς* scripsi e *M* coll Dem l. l. *σιωπῇ* *MaB* Mor 7 ὃ] *οὐ* *M* 9 *ἀκμὴν* scripsi e *MaB* *ἀκοὴν* *M* Mor | *οὐ* om *Ma* | *νῦν* scripsi e *Ma* ut coni Mor *τοίνυν* *MB* Mor | *προσεξευρίσκετε* scripsi e *B* *προσευρίσκετε* *Ma* *εὑρίσκετε* *M* *ἐξευρίσκετε* Mor 10 *γὰρ* om *Ma* 13 *φθέγγεται* scripsi coll p. 130, 3 et 137, 19 *φθείρεται* *MMa* Mor in lac 5—6 litt om *B* 14 *δέδωκε* *Ma* 15 *ἀπηγορεύετο* *B* | *καταδικασθέν τι* *B* *καταδικασθέν τα* *Ma* | *τίς* *Ma* sed ς add m rec 16 *δ'* inserui e *Ma* om *MB* Mor | *ἤχθη* scripsi e *MaB* *ἤχοη* *M* *ἦκοι* Mor 17 *τίς* *B* om *Ma* | *γλῶττα* *Ma* | *ἀπεκόπη* scripsi e *Ma* *ἀπέκοπτε* *MB* Mor | *ἡμᾶς* *Ma* sed *ἡ* in ras m²

14. *ἐδέθη ποτὲ καὶ Μιλτιάδης παρ' ὑμῖν, οὐκ ἐσιώπα*
Mor p. 214 *δὲ δεδεμένος. κατεψηφίσασθέ ποτε* | *τῶν ἐννέα*
στρατηγῶν ἀθώων ἄκοντος καὶ μὴ κοινωνοῦντος τῆς
παρανομίας ἐκείνης Σωκράτους, ἀλλὰ τὸν νόμον τῆς
Mor p. 216 *ὀργῆς περὶ πλείονος ποιουμένου,* | *καταψηφισά-*
μενοι δ' οὖν οὐδ' ἐκείνοις σιωπᾶν ἐπετάξατε. 15. *δει-*
νὸν δέ, ὅταν τῶν ἀνδροφόνων καὶ ἱεροσύλων καὶ
προδοτῶν καὶ τῶν τὰ μέγιστα κακὰ τετολμηκότων δί-
κην μὲν διδόντων, σιωπᾶν δὲ καὶ μὴ διαλέγεσθαι
κελευομένων ὑπὸ μηδενός, ἀλλὰ τῶν μὲν ἐπισκηπτόν-
των τοῖς φιλτάτοις, τῶν δὲ τοῖς οἰκείοις διαλεγομένων,
τῶν δὲ τοῖς φίλοις καὶ τοῖς ἀναγκαίοις, ἄλλων δὲ τοὺς
θεοὺς ἀνακαλούντων, ἑτέρων δὲ τὴν ἑαυτῶν μοῖραν
ὀδυρομένων ἐνὶ μόνῳ τούτῳ τῶν ἐκ παντὸς τοῦ χρό-
νου προσταχθήσεται τεθνηξομένῳ μὴ λαλεῖν τῷ μάλι-
στα λαλεῖν ἀξίῳ.

---

1 cf p. 104, 4   2 cf. p. 120, 13. Xen. comm. I 1, 18

---

1 *ἐδέθη* — 16 *ἀξίῳ* citat Ioann. Doxap. comm. ad Hermog. de inv. IV 1 (Rhet. gr. t. III p. 145, 16 Walz; t. II p. 234, 20 Speng.) cod. Barocc. 175 fol 175; Par. 2922 fol 231 (Cramer Anecd. Ox. IV 164, 7 sq. cf Mélanges Graux p. 629 sq.) *καὶ τὸν Λιβάνιον εὗρον τούτῳ (τῷ ἁπλοῦντι σχήματι) χρησάμενον ἐν τῷ τοῦ Σωκράτους ζητήματι τοῦ κωλυομένου ἐν τῷ δεσμωτηρίῳ φιλοσοφεῖν· καὶ γὰρ ἐκεῖ ἔστι μὲν ἐπιχείρημα ὅτι οὐ δεῖ τοὺς τελευτῶντας δίκην διδόναι, ὅτι τελευτῶντες φθέγγονται, εἶτα ἐργασία ἐκ παραδείγματος ὅτι ἐδέθη κτλ — 2 δεδεμένος καὶ πάλιν ἑτέρα ἐργασία· κατεψηφίσασθε κτλ. — 6 ἐπετάξατε, εἶτα τὸ ἐνθύμημα ἡπλωμένως ἐξενεχθὲν· δεινὸν δὲ ὅταν κτλ.* | *ἡμῖν* Dox | *οὐκ ἐσιώπα δὲ* scripsi e *Ma* Dox *καὶ οὐκ ἐσιώπα MB* Mor 2 *ποτε* inserui e Dox om libri Mor 3 *ἀθώων* — 5 *ποιουμένου* om Dox *ἀθέων M* | *ἄκοντος* scripsi *εἴκοντος Ma ἑκόντες MB* Mor | *κοινωνοῦντες B* 5 *ποιούμενοι Ma* 8 *τὰ μέγιστα*] *ἄλλα* Dox | *κακὰ* inser *Ma*[2] 10 *κωλυομένων ὑπ' οὐδενός* Dox | *ἐπισκεπτόντων MaB* 12 *ἄλλων Ma* sed *ν* add m rec 14 *ἐπὶ* Dox | *ἐκ τοῦ παντὸς τοῦ B* 15 *τεθνηξομένῳ*

16. *Τοῦτό ποτε ⟨τὸ⟩ πρόσταγμα μόνος προσέταξε Κριτίας Σωκράτει μὴ διαλέγεσθαι τυραννῶν, Κριτίας ὃς ἀνεπιτήδειος μαθητὴς φανεὶς κατεψηφίσατο Σωκράτους. μιμητὴς οὖν ὁ δῆμος τοῦ τυράννου γεγένηται καὶ ψηφισαμένοις |Ἀθηναίοις γράφεται ταῦτα* Mor p. 218 *τοῖς τῶν τυράννων ἴσα προστάγμασι.* 17. *καίτοι Κριτίας μὲν μόνοις ἀπηγόρευσε Σωκράτην τοῖς νέοις διαλέγεσθαι, οὗτοι δὲ παντάπασι μὴ λέγειν, ἀλλ' ἀπέχεσθαι τῶν εἰκόνων [καὶ] τῶν νομέων καὶ τῶν βουκόλων χαλεπαίνων τῆς Σωκράτους εἰκόνος, τὸ κακῶν εἶναι νομέων τὴν ποίμνην ἐλαττοῦν, ὃν δὴ κατὰ τῶν τυράννων ἐτύγχανε Σωκράτης εἰρηκὼς λόγον· σὺ δὲ καθόλου μηδὲν διαλέγεσθαι Σωκράτην, μηδὲ τῷ δεσμοφύλακι μηδὲ τῇ Ξανθίππῃ μηδὲ τοῖς παιδίοις, | ἀλλ' ἂν ἔρηταί* Mor p. 220 *τι Λαμπροκλῆς ἢ Σωφρονίσκος τὸν πατέρα, μηδὲν ἀποκρινεῖται Σωκράτης, ἀλλὰ περιμενεῖ τὸ κώνειον ἐγκεχαλινωμένος καὶ τῆς κοινῆς ἅπασιν ἀνθρώποις καὶ*

---

1 Plat. rep. IV p. 423 C 2 cf 47, 2; 99, 7 8 Xen. comm. I 2, 37 9 Plat. Tim. p. 22 D 10 Xen. comm. I 2, 32 15 cf. p. 100, 18. Diog. L. II 5, 10 17 Her. III 14, 2

---

scripsi e *Ma* Dox *τεθνηξομένων MB* Mor | *τούτῳ ποτὲ* ante *μὴ MB* Mor, quod delevi ut anticipatum e p. 135, 1, *ποτε Ma*
1 *τοῦτό ποτε τὸ* scripsi *τούτῳ ποτὲ* libri Mor qui *τοῦτο* scribendum coni 3 *μαθητὴς* scripsi *μαθητῶν* libri Mor 5 *γράφεται* scripsi e *MaB* *γράφετε M* Mor 6 *ἴσα MaB* 7 *ἀπηγόρευσε Ma* sed *σε* in ras m² | *τοῖς νέοις διαλέγεσθαι σωκράτην Ma* 8 *οὗτοι — λέγειν* om *B* | *οὗτοι MMa* | *πᾶσι Ma* | *μὴ λέγειν* om *Ma* | *ἐπέχεσθαι Ma* | *τῶν — 9 βουκόλων* in lac 25 litt fere om *B* 9 *τεκτόνων* olim conieci Mus. Rhen. XXXII 93 coll. Xen. l. l. | *καὶ* cancellavi | *τῶν* (2) om *Ma* 10 *τὸ* delendum vel in *τοῦ* mutandum videtur cf t. IV 79, 6 R
11 *ὃν δὴ*] *ᾧτινι MaB* | *καὶ B* 12 *μηδὲ M* *μὴ δὲ Ma* 14 *ἂν ἔρηταί*] *ἂν ἄρηταί Ma* *ἀνήρηταί B* 15 *Λαμπροκλῆς — 16 Σωκράτης* in lac 24 litt om *B* 16 *ἀποκρίνηται Ma*
17 *τοῖς κοινοῖς Ma* sed in *τῆς κοινῆς* corr m rec, *B*

δυστυχέσι καὶ πονηροῖς ἀδείας στερούμενος; 18. φύσει μὲν γὰρ ἄνθρωπος λάλον, τὸ δὲ Ἀθηναίων γένος φιλόλογόν τε καὶ πολύλογον, ὅταν δὲ ὑπόγυιος θάνατος (Mor p. 222) | ᾖ, καὶ φιλολαλία τις λαμβάνει καὶ φιλοτιμία τοῦ πολλὰ μὲν ἀκοῦσαι, πολλὰ δὲ εἰπεῖν ὡς ἂν αὐτίκα παυομένης ταύτης τῆς ἐξουσίας. ἀνεπίφθονον γὰρ εἰπεῖν ὅσα βούλεται μέλλοντά γε εὐθὺς σιωπήσεσθαι σιωπὴν μακράν.

19. Ὁ δὲ περιμενέτω, φησί, τὸ κώνειον, καὶ γὰρ Θηραμένης ἀπέθανε σιγῶν. ἀλλὰ κἀκεῖνος ἐπὶ τῆς βουλευτικῆς ἑστίας πολλὰ πρότερον εἰπών. οὐδὲ ἐπὶ τῆς ὀλιγαρχίας πιόντων κώνειον πεντακοσίων σχεδὸν ἐπὶ χιλίοις, ὧν ἕνεκα Σωκράτους (Mor p. 224) | οὐδὲ εἷς ἀπέθανεν, ἐπὶ Λέοντα γὰρ πεμφθεὶς τὸν Σαλαμίνιον ἀπελθεῖν οὐκ ἠθέλησεν οὐδὲ ἦγε τοῖς τυράννοις ἄνθρωπον ἀποθανούμενον ὁ νῦν τεθνηξόμενος οὗτος, τοσούτων οὖν γενομένων τῶν τότε ἀπολωλότων σιωπῇ τὸ φάρμακόν φασι πιεῖν μηδένα. μήτε γὰρ φθέγξασθαι μήτε μαρτύρασθαι πρὸ τῆς τελευτῆς μηδὲ ἓν μηδένα οὐ Δρακοντίδης ἐκέλευσεν, οὐ Πείσων, οὐ Χαρικλῆς, οὐκ ἄλλος αὐτῶν. 20. Σωκράτει δὲ τούτῳ πολὺ σχετλιώτερον ἐπιτάττετε τῶν ἐν τῇ πικροτάτῃ τυραν-

---

2 Plat. leg. I p. 641 A 3 Isocr. p. 310 d; 418 b 6 cf t. III 443, 10. Dem. p. 331, 23 11 Xen. Hell. II 3, 52. Aesch. fals. leg. § 45 p. 34, 9 12 Aesch. Ctes. p. 87, 21 14 cf. p. 120, 10 20 cf. p. 47, 9; t. II 134, 15

---

1 *καὶ* inser *Ma* m rec 2 *γὰρ* om *Ma* | *φιλολόγον B* Mor 3 *πολυλόγον* Mor | *ὑπόγυος Ma ὑπόγυος B* 4 *φιλολαλιά MaB* 9 *καὶ γὰρ*] *οὐδὲ Ma* 13 *χιλίων MaB* | *ἕνεκα* scripsi secundum usum Libanii *εἵνεκα* libri Mor | *σωκράτης Ma* 15 *ἦγε μὲν Ma* 16 *αὐτός Ma* 17 *δ' οὖν Ma* 18 *μηθένα Ma* 19 *μὴ δὲ MaB* 20 *οὐ* (3) om *M* 22 *ἐπιτάττεται M*

νίδι γενομένων. καὶ τοῖς μὲν τεμνομένοις ἀνάγκη στένειν, καὶ κεκλεισμένος τις ᾤμωξεν, ὁ δὲ αὐτὴν αὐτίκα ἀφήσων τὴν ψυχὴν μηδὲν ἐπὶ μηδενὶ | Mor p. 226 *ἀντηχῶν ἐν λόγοις ἀποθάνῃ, ἀλλ' ἤδη καὶ πρὸ τῆς τελευτῆς νεκρὸς ἄφωνος; πολλοὺς τοῦ Σωκράτους θανάτους ποιεῖς.*

21. *Καὶ τοῖς μὲν εἰδώλοις οἱ φιλοσοφοῦντές φασιν εἶναι φωνὴν καὶ λείπεσθαι τοῦτο καὶ ταῖς σκιαῖς καὶ τοῦτο ἔοικε καὶ Ὅμηρος ἐνδείκνυσθαι. ποιῶν γὰρ τὴν Πατρόκλου ψυχὴν πάντα ἐλθεῖν ὁμοίαν ἐκείνῳ λέγει καὶ τὸ σῶμα καὶ τὴν φωνήν· σὺ δὲ ἔτι ζῶντος Σωκράτους* | *ἐκκόπτεις τὴν φωνήν. καὶ οἱ μὲν ἄλλοι* Mor p. 228 *πάντες ἄνθρωποι ἀτυχοῦντές εἰσι λαλίστεροι καὶ τόν γε Κροίσου τοῦ Λυδοῦ φασι παῖδα κωφὸν ὄντα πρότερον ῥῆξαι φωνὴν ἐν τῇ τοῦ πατρὸς συμφορᾷ· Σωκράτης δὲ μόνος μηδὲ ὀδύρηται μηδὲ ἀνακαλέσῃ θεοὺς ἐν τῇ παρούσῃ τύχῃ;* 22. *οὐ Σωκρατικὰ μέν ἐστι ταῦτα, κοινὰ δὲ καὶ τούτῳ φυλακτέα. ἀλλὰ τῶν μὲν ἄλλων ἕκαστος τῶν ἐν τῷ δεσμωτηρίῳ φθέγγεται καὶ λαλεῖ, κἂν ἰδιώτης κἂν ἀπαίδευτος ᾖ, πλησίον γενόμενος τοῦ τέλους καὶ ὑπὲρ αὐτοῦ τοῦ θανάτου φιλο-*

---

2 cf. p. 143, 8 11 Il. ψ 65 sq. 14 Her. I 85, 2

---

Denique etiam hoc loco propter commentarium[1]) nominandus est codex

65. Athous *Παντελεήμονος* 683 chartaceus formae 214
octavae saeculi XVIII quem pag. 777 usque ad 821 *ἐξήγησιν εἰς τὸν* β^{ov} *τοῦ λιβανίου περὶ πρεσβείας λόγον* continere dicit Spyr. Lambros, Catalogue of the Greek Manuscripts on the Mount Athos II p. 413 n. 6190.

---

1) Cf. supra p. 163 n. 28—36 et p. 192 n. 91—94.

Quos ex his in censum vocandos duxi codices fere iidem sunt atque in Menelai declamatione *HVCBPaMViMaCl*.

Etiam de ratione quae inter hos intercedit ad ea te delego quae supra p. 195 exposui. Stemma idem valet, nisi quod *CrLaVa* in hac declamatione desunt.

Maximus Planudes[1]) unum, Macarius Chrysocephalus[2]) decem locos e declamatione excerpsit.

Ad antilogiam scribendam ea allexit Manuelem Palaeologum imperatorem, qui Antenorem non quidem ad Menelai, verum ad Ulixis orationem respondentem induxit. Utrum perfecerit necne ambigas: utut est, prooemium tantum servatum est codice Parisino gr. 3041 chartaceo saeculi XIV fol 46ᵛ inscriptum: *προοίμιον ἀντήνορος πρὸς ὀδυσσέα* (sic) *πρεσβεύοντα μετὰ μενελάου ὑπὲρ τῆς ἑλένης*. Verba quae Boissonadius Anecd. gr. II 308 et 309 ex hoc codice edidit haec sunt:

Ἀντήνωρ.

1. *Τὸ μὲν πρὸς Μενέλεων ἀπολογεῖσθαι πειρᾶσθαι καὶ λόγων ἅπτεσθαι δίκης καὶ ἀποδείξεσι χρῆσθαι, ὡς Ἀλεξάνδρῳ μόνῳ δέον ἐγκαλεῖν, ὁ δὲ καὶ ἡμῖν ἐγκαλῶν ὡς καὶ παρ' ἡμῶν ἠδικημένος ἀδικεῖ, περίεργόν μοι παντάπασι φαίνεται. ἅτε γὰρ ἐζημιωμένος ἧς διαφερόντως ἤρα τοῦ κάλλους ὑπερθαυμάζων τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς τεταραγμένους ἔχει. καὶ αὔξει τούτῳ τὸ πάθος ὁ τῆς ἀφαιρέσεως, ὡς ἴστε, τρόπος. οὐ γὰρ δεῖ πρὸς εἰδότας τηνάλλως διατρίβειν. ὥσπερ οὖν ἐν σκότῳ ἢ νυκτὶ διάγων ὑπὸ ζηλοτυπίας οὐ τὸν πολέμιον βάλλει, ἀλλὰ τοὺς προστυχόντας ἡμᾶς. ἀπὸ τῆς αὐτῆς γοῦν ταύτης αἰτίας ἧς προήχθη τουτὶ ποιῆσαι δῆλός ἐστιν ὡς οὐδέποτ' ἂν πεισθείη εὖ καὶ δίκαια λέγουσιν. ὥσπερ τοίνυν ἔφθην εἰπών, τῷ μὲν αὐτὸν πείθειν ἐθέλειν μηδὲ ἐγχειρητέον, πρὸς σὲ δ', ὦ φίλε Ὀδυσσεῦ, ἐπιτρέποντος τοῦ δήμου καὶ τῆς βουλῆς πειράσομαι ὑπὲρ αὐτῶν, ὡς οἷός τέ εἰμι, συντόμως δοῦναι λόγον περὶ ὧν ἠξίωσας τὴν πόλιν ἡμῖν διαβαλεῖν.*

1) Cf. supra p. 196 t. I p. 73. t. IV p. 344.
2) Cf. t. I p. 351 sq.

2. *Ἔφησθα*[1]) *τοίνυν ἀνάγκην ἔχειν ἡμᾶς ἢ τὸν Ἀλέξανδρον θαυμάζειν τῆς ἁρπαγῆς ἢ ταύτην ἀποδοῦναι τὴν πρᾶξιν κακίζοντας ἢ ὧν Ἀλεξάνδρῳ μεμφόμεθα ταῦτα μὴ διορθούμενοι* (*διορθουμένους?*) *παρὸν τούτοις ἐξ ἀνάγκης* (*ἐξανάγκης* Par) *ἐνέχεσθαι*[2]).

Ulixis declamationem primus typis vulgavit anno 1606 Fed. Morellus Lib. opp. t. I p. 200—227 usus ille quidem codicibus Parisino gr. 3014 et 2988.

Hunc textum admodum mendosum Reiskius cum e Wolfenbuttelano ab uxore collato et Augustano secundo id est Monacensi 490 codice parum integro tum ex ipsius ingenio correxit, uxor vero magis quam par erat eius emendationes in notas ablegare quam in textu reponere maluit (t. IV p. 15—47).

Nonnullos locos correxerunt Fr. Iacobsius in 'Lectionibus' aliisque libris[3]), Boissonadius e Parisino gr. 3017, Gasda[4]) qui eodem codice usus est, Cobetus; paucos tentavit Maur. Schmidtius.[5])

---

1) Cf. p. 238, 7 sq.
2) Signo finis posito sequitur in folio 47 *συμβουλευτικὸς πρὸς τοὺς θεσσαλονικεῖς, ἡνίκα ἐπολιορκοῦντο.*
3) Cf. t. I p. 76 sq.
4) Cf. p. 198.
5) Philol. X 626.

IV.

ΠΡΕΣΒΕΥΤΙΚΟΣ ΠΡΟΣ ΤΟΥΣ ΤΡΩΑΣ ΥΠΕΡ ΤΗΣ ΕΛΕΝΗΣ. ΟΔΥΣΣΕΥΣ.

R IV 15 *Προθεωρία.*

Ἐν τούτῳ τῷ λόγῳ μάλιστα παρατηρεῖν ἄξιον τῆς τε εὑρέσεως τὸ πλῆθος καὶ τῆς δεινότητος τὴν ὑπερβολὴν καὶ τῶν περιόδων τοὺς κύκλους, οὐ μέντοι γε οὐδὲ ἀκμῆς ἀμοιρεῖ.

Ἡ μελέτη.

1. *Ὤιμην μέν, ὦ Τρῶες, μηδενὸς ὑμᾶς ἔτι προσδεήσεσθαι λόγου πρὸς τὸ πάνθ' ἃ προσῆκεν ἐθελῆσαι*

H = Codex Hierosolymitanus S. Sepulcri 107
V = Vaticanus gr. 940
C = Chisianus R VI 43
B = Barberinus II 41
Pa = Parisinus gr. 3014
M = Marcianus gr. 439
Vi = Vindobonensis philos. et philol. IV 82
Ma = Matritensis (N - 49) 4679
Cl = Berolinensis gr. 195 olim Claromontanus

---

1 *Λόγος δεύτερος·* ante *πρεσβευτικὸς Pa δεύτερος* post *πρεσβευτικὸς B*, *Ὀδυσσέως* edd 2 *τῆς* om *ViMaCl* | *Ὀδυσσεύς* inserui e libris om edd | *β* rubr in marg *HB*, *κθ' M ιξ Ma*[2] 3 *Προθεωρία* om *HVCViMaCl* 4 *παρατηρεῖν ἄξιον μάλιστα BMVi* 5 *τε* om *PaMVi* | *τὴν* om *HV* 6 *τῶν* om *Vi* | *οὐ* om *MVi* 7 *οὐδὲ* reposui e libris *οὐδ'* edd 8 *ἡ μελέτη* om *PaViMaCl* *ὀδυσσεύς* post *ἡ μελέτη. B* edd, *Ὁ ὀδυσσεύς M* 9 *μέν* om *HVCMa* | *ὑμᾶς* om *Pa* et *γρ* in marg Mor inser *Cl*[2] 10 *πάντα PaMaCl* | *προσῆκον PaMa*

ποιεῖν, ἀλλὰ τὴν τελευτὴν τῆς Μενέλεω δημηγορίας ἀρχὴν τῶν εἰς ἡμᾶς δικαίων ἔσεσθαι· ἐπειδὴ δὲ ὁρῶ τοὺς μὲν ὅλως τὴν ἡσυχίαν ἄγοντας ὡς ἂν οὔτε ἡμῶν κατεγνωκότας οὔτε Ἀλεξάνδρῳ προσκρούειν ἐθέλοντας, τοὺς δὲ θορύβου πολλοῦ τὴν ἐκκλησίαν πληρώσαντας, τοὺς | δὲ καὶ διαρρήδην εἰπόντας ὅτι προσῆκεν R IV 16 *ἡμᾶς ἀποκτεῖναι λαβόντας, ἀνέστην τῷ βασιλεῖ τῶν Ἀχαιῶν συνερῶν ὅ τι ἂν δύνωμαι. καὶ γὰρ ἄτοπον ἔργῳ μὲν ὑπὲρ αὐτοῦ τοσοῦτον ὑπομεῖναι πόνον ὥστε μήτε πλοῦν μακρὸν μήτε τῶν οἰκείων ἀπόλειψιν μήτ' ἄλλο μηδὲν ὑπολογίσασθαι πρὸς τὸ μὴ πάνθ' ὑπουργεῖν, τῆς δὲ βοηθείας εἰς λόγους ἡκούσης ἢ μηδὲν εἰπεῖν τὴν ἀρχὴν ἢ ῥᾳθυμότερον τῇ δημηγορίᾳ χρήσασθαι.*

2. *Ἓν μὲν οὖν ἐκεῖνο χρὴ πρῶτον ὑμᾶς εἰδότας ὑπάρχειν, ὅτι κἂν αἰκίσασθαι κἂν διαφθεῖραι κἂν ἄλλο τι τῶν ἀπειρημένων εἰς τοὺς πρέσβεις ὑμῖν ἐπέλθῃ τολμῆσαι, οὐ τοὺς παθόντας ἔσεσθε μᾶλλον ἢ ὑμᾶς αὐτοὺς ἐξημιωκότες. ὁ μὲν γὰρ ἀδίκως ἀποθανὼν ὑπ'*

---

6 Antimachum cf. p. 305, 1. Il. λ 139   10 Thuc. VII 75, 1

---

2 *ἐπεὶ HVBVi*   3 *τὴν* om *Pa* | *ὡσὰν H* *καὶ Pa* et *γρ* in marg Mor | *ἂν* om *MaCl* | *οὔθ' PaMaCl* et *γρ* in marg Mor   5 *ἐμπλήσαντας BPaMaCl* et *γρ* in marg Mor   6 *καὶ* om *HC* inser V^2 8 *συναιρῶν C* *συναίρων Pa* et *γρ* in marg Mor *συναινῶν ViMaCl* | *ὅτι Vi* *ὃ MaCl*   9 *ἔργῳ μὲν*] *ἡγοῦμαι MaCl*   10 *ἐνεγκεῖν* post *μακρὸν MaCl* Re delevi | *ἀπόληψιν PaM* sed in hoc *η* in *ει* corr *y*, Re | *μήτε Vi*   11 *ὑπολογήσασθαι HVM* sed in hoc *η* in *ι* corr *y* | *πάντα PaMaCl* 12 *ἢ* om Mor   13 *τηναρχήν B* om *MaCl*   15 *Ἓν* — 16 *αἰκίσασθαι* om *H* inser in marg V^2C^2 | *οὖν* om *Pa* 17 *ἡμᾶς MMaCl* „*an ὑμῖν vulg. an ἡμᾶς ex Aug. praeferam ambigo*" Re | *ἐπέλθοι CVi*   18 *παρόντας Vi* | *ἔσεσθε Cl* sed *ἔ* in ras m² *ἔσεσθαι H*   19 *ἐξημιωκότες Cl* sed *ες* ex *ι* corr m² | *ἀποθανὼν* scripsi ex *HVCBPaMVi* *παθὼν MaCl* edd

οὐδενὸς ἂν πονηρὸς νομισθείη καὶ τοῦτ' ἂν εἴη πεπονθὼς ὃ μικρὸν ὕστερον αὐτόματον ἔπεισι, τοῖς δὲ ἀδίκως ἀπεκτονόσι καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ὁ λόγος γίγνεται καὶ τὰ τῆς ἀδικίας εἰς ἅπαν τὸ γένος. 3. ὑπὲρ μὲν οὖν τούτου ταύτην ἔχειν τὴν γνώμην ἄξιον, δεῖ δὲ ὑμᾶς μηδὲ τοὺς ὑπὲρ τοῦ πράγματος λόγους ἡγεῖσθαι φορτικούς, ὅπως ἂν γίγνωνται. καὶ γὰρ εἰ μὲν ἀναγκαῖον ἦν τὴν ψῆφον εὐθὺς ἕπεσθαι τοῖς εἰρημένοις, καλῶς ἄν τις ἐδυσχέραινε τὴν ἀκρόασιν ὡς ἂν ὑπ' αὐτῆς ἀφαιρούμενος ἃ ἂν προαιρῆται κυρῶσαι· ἐπεὶ δὲ τὸ μὲν εἰπεῖν τῶν πρέσβεων, ἡ δὲ ὑπὲρ τοῦ παντὸς γνῶσις ἐν ὑμῖν, οὐδὲν ἂν δήπου βλάβος εἴη διὰ τέλους ἀκούσασι πρᾶξαι τὸ παριστάμενον.

R IV 17 4. *Τοῖς μὲν οὖν ἄλλοις ἅπασιν ὅσοι* | παρ' οὕς τινας ἦλθον πρεσβεύοντες τὸ μὴ τυχεῖν ὑπὲρ ὧν ἀφί-

---

3 sq. Antiph. tetral. γ, α p. 125, 26

---

1 τοῦτο *MaCl* 2 αὐτομάτως *B* | ἐπῇ *H* ἐπῆν *C* ἐπίῃ *Pa* et γρ in marg Mor | δ' *Pa* 4 γίνεται *BM* om *MaCl* delendum censet Gasda | καὶ τὰ] κατὰ *Pa* et γρ in marg Mor *„corrupta haec sunt. fortasse desunt nonnulla“* Re 5 ὑπορρεῖ post γένος excidisse coni Iacobs Lect 91 | τούτων *MaCl* | ἔχει *Vi* 6 μὴ δὲ *HBMViMaCl* | τοὺς inser *Pa*[2] 7 γίγνωνται reposui e libris cum Boissonadio Anecd. II 315 γίγνονται edd 10 ὑφ' αὐτῆς *Pa* | ἂν om *MViMaCl* ὧ *C* | προαιρῆται scripsi προεἰρηται *H* προείρηται (η supra) *VC* Mor sed in hoc γρ ἂν προήρητο in marg, Re qui προήρηται vel potius προήρητο coni προήρηται *B* προήρητο *Pa* ἦν βουλόμενος *MViMaCl* et γρ in marg Mor προέληται Cobet Coll 279 12 ὑπὲρ om *MaCl* | δήπου om *MaCl* 15 ἅπασι καὶ *HVC* ἅπασι πράγμασιν *Pa* sed πρέσβεσι supra πράγμασιν m[2] ἅπασι πρέσβεσι e Par 3017 Gasda γρ πράγμασιν ὅσοι πρέσβεσιν ὅσοι in marg Mor | οὕς τινας *M* sed in οὕς τιναςοῦν corr *y* οὕς τινας οὖν *Pa* et e Par 3017 Gasda 16 πρεσβεύσοντες *B*

κοντο τῶν ἐσχάτων ἀτυχημάτων εἶναι δοκεῖ, ἡμῖν δέ, ὡς ἔοικε, τό τε διαπράξασθαι περὶ ὧν ἀπεστάλμεθα τῶν ἡδίστων ἐστὶ καὶ τὸ διακενῆς ἀπελθεῖν οὐδὲν λυπηρόν. τὸ μὲν γὰρ πρότερον πραγμάτων ἡμᾶς ἀπαλλάττειν φαίνεται καὶ διατριβῆς, ἐν δὲ τῷ δευτέρῳ μειζόνων ἔργων ἐλπὶς ὕπεστιν. ὡς οὖν ὑπὲρ ὑμῶν ὄντος μᾶλλον ἢ ἡμῶν τοῦ συλλόγου καὶ προσέχοντες ἀκούσατε καὶ τὴν ἐξέτασιν μὴ πρὸς τὸ ἥδιστον μᾶλλον ἢ τἀληθὲς ποιήσασθε.

5. *Πάλαι μὲν οὖν, ὦ Τρῶες, πρὸς τὴν Ἀλεξάνδρου γνώμην τὸ κοινὸν τῆς πόλεως ἦθος ἐξετάζοντες κακίστους ἁπάντων ἀνθρώπων, δότε γὰρ εἰπεῖν μετ' ἐξουσίας, καὶ δυσσεβεστάτους ἐνομίζομεν καὶ πάντων ὠμοτάτους βαρβάρων· νῦν δέ γε πεῖραν ὑμῶν καὶ τῶν ὑμετέρων νομίμων λαμβάνοντες καὶ συνηθείας καὶ τάξεως καὶ τῶν ἄλλων οἷς γνωρίζεται πόλεως τρόπος τὴν μὲν κοινὴν ὑμῶν προαίρεσιν ἀγάμεθα, ἕνα δὲ γενέσθαι φαῦλον ἐν πόλει δεξιῶς ἐχούσῃ θαυμαστὸν οὐδὲν ἡγούμεθα, ἐπεὶ κἀν τοῖς Ἕλλησιν αὐτοῖς ἐν ταῖς*

---

1 *ἀδικημάτων HVC* | *δ' MaCl* 3 *ἐστὶ* om *HVC* | *τὸ* om *BPaMaCl* et *γρ* in marg Mor | *ἀπελθοῦσιν BPaMaCl* et *γρ* in marg Mor et e Par 3017 Gasda | *οὐδὲ ἓν BPaHVViCl* Mor *οὐδὲ καθ' ἓν* coni Re 4 *καὶ* ante *πραγμάτων BPaMaCl* | *ἀπαλλάξον* coni Re 5 *τριβῆς HVCBPa* et *γρ* in marg Mor 6 *λόγων B* | *ἐλπίς ἐστιν Vi* 7 *μᾶλλον* om *MaCl* | *ὑπὲρ* ante *ἡμῶν MaCl* Re | *καὶ* om *CB* 9 *ποιήσασθε M* sed *θε* in ras *y* *ποιήσατε B* sed *σθε* suprascr, *ViMaCl* 10 *οὖν* om *HVC* 12 *μετεξουσίας Ma* 13 *καὶ* (2) inser *Cl*[2] 14 *βαρβάρων ὠμοτάτους MaCl* | *γε* om *MaCl* 15 *νομίμων* om *Cl* | *λαβόντες MaCl* Re | *καὶ τάξεως* om *Pa* 16 *τρόπος γνωρίζεται πόλεως MVi* 17 *ἀγόμεθα Pa* sed *α* suprascr m[2] | *ἕνα* — 19 *ἡγούμεθα* praemissis verbis *Τοῦ πρεσβευτικοῦ πρὸς τρῶας ὀδυσσέως: μελέτ.κᾶ* citat Macar fol 83 | *δὲ*] *τινα* Macar 18 *τῇ* ante *πόλει* e Par 3017 inser coni Gasda 19 *οὐδὲ* Macar | *καὶ B* | *ἐν* — 232, 1 *πόλεων* in marg *C*[2]

εὐνομουμέναις τῶν πόλεων εὕροις ἄν τινα τὸν αὑτοῦ βίον ἐναντίως τῷ κοινῷ καταστησάμενον σχήματι, διόπερ καὶ κολάζεται νόμῳ. ἀλλ' οὐ τῶν πόλεων, οἶμαι, ταῦτα κατηγορήματα, τοῦ δὲ πεποιηκότος ἀδικήματα. 6. ἃ τοίνυν θαυμάσαντες ὑμῶν ἔχομεν, ἐκεῖνά ἐστι. πρῶτον μέν, ὅτι τὸ χρῆμα τῶν πρέσβεων ἐπίστασθε καὶ τοὺς ἥκοντας προσήκασθε καὶ οὐκ ἀπεστράφητε,
R IV 18 ὡς ἠκούσατε, ἀλλ' ἀνοίξαντες τὰς πύλας | τοῦτο μὲν ἐδέχεσθε ἐν τῇ πόλει πρᾴως, τοῦτο δὲ ἐξενίζετε λαμπρῶς, λέγω γὰρ νῦν ὑμετέραν πρᾶξιν τὴν φιλανθρωπίαν Ἀντήνορος. 7. ἐπὶ τούτοις βωμοὶ πανταχοῦ τῆς πόλεως ὁρώμενοι καὶ κάλλη νεῶν καὶ πλῆθος ἀναθημάτων καὶ συνεχεῖς θυσίαι καὶ πανηγύρεις συχναὶ καὶ τεταγμένος ἑκάστου χρόνος, ταῦτα γὰρ ἀκούειν ἐνῆν, καὶ μαντικὴ τίμιος οὐκ ἐῶσα τὸ μέλλον ἐν ἀδήλῳ κεῖσθαι καὶ ὅλως τὰ πλείω πρὸς Ἑλληνικὸν ἁμιλλώμενα κόσμον, ἐκκλησίαι, ῥήτορες, τὸ βουλῇ χώραν εἶναι, τὸ λέγειν εἰς μέσον ἐξεῖναι, τὸ μὴ τῷ θυμῷ πλέον ἢ τῷ δικαίῳ δεδόσθαι. τοὺς μὲν γὰρ ἄλλους

11 Il. γ 207 | Il. δ 48; ω 69 12 Dem. p. 35, 15 13 Il. ζ 88 et 269 sq. 15 Il. μ 200 sq. 17 Il. γ 209; η 345

1 τινα om *HV* sed in hoc suprascr m², *CMVi* | τὸν bis *M* | αὑτοῦ scripsi αὐτὸν *Pa* sed αὐτοῦ suprascr m² αὐτοῦ reliqui libri edd 2 ἐναντίως inser *Ma*² | κοινὸν *Pa* sed κοινῷ suprascr m² 3 μὲν post πόλεων e Par 3017 inser coni Gasda 5 ὑμᾶς *Pa*² 6 πρεσβειῶν *M* Re 7 προσεδέξασθε *Pa* sed προσήκασθε suprascr m² 9 ἐδέξασθε *HVCBMVi* | πρᾴως *HViMaCl* Mor | δὴ *Vi* | ξενίζετε *HVCMVi* Mor 10 [γὰρ] δὲ *Ma* | νῦν om *BMaCl* οὖν *Pa* et γρ in marg Mor | ἡμετέραν *H* | comma post πρᾶξιν edd delevi 11 βαβαὶ *MaCl* 12 ὁρώμενα *Cl* om *Ma* | καὶ om *MaCl* | ναῶν *MaCl* | κάλλος *MaCl* 14 ἐνῆν ἀκούειν *Pa* Mor 17 ἁμιλλᾶται *Vi* et supra ἁμιλλώμενα *C*² | ἐκκλησίαι scripsi ἐκκλησία libri edd | τῇ ante βουλῇ *Pa* 19 δίδοσθαι *BMViMaCl* Re

βαρβάρους ἀκούομεν ὀργῇ μᾶλλον ἢ λογισμοῖς τὰ καθ' ἑαυτοὺς ἐπιτρέψαντας ἐγγύτατα τῶν θηρίων διάγειν καὶ τοσοῦτον ἐπ' ὠμότητι καὶ πονηρίᾳ φρονεῖν ὅσον εἰκὸς ἦν ἐπὶ τοῖς ἀμείνοσι. τὰ δ' ὑμέτερα πρὸς τὸ βέλτιον δρῶμεν πάντα συνηρμοσμένα καὶ συγχαίρομέν γε ὑμῖν τῶν τε ἐθῶν καὶ τῆς καθεστώσης τάξεως. 8. *ἔστι δ' ὑμῖν ἀπ' αὐτῶν ὧν εὐδοκιμεῖτε τὸ τὰ δίκαια πανταχοῦ φυλάττειν ἀναγκαῖον. καὶ δι' ἀρετῶν ὧν ὑμᾶς ἐπαινεῖν ἔχομεν θαρρεῖν ἡμῖν ὑπὲρ ὧν ἥκομεν ἔπεισι. τοῖς μὲν γὰρ ἐξ ἀρχῆς παρὰ φαῦλον τὸ καλῶς ἀκούειν θεμένοις ἴσως ἂν ἐνέγκαι τινὰ συγγνώμην τὸ* | *ῥᾳδίως ἐπὶ τὰ χείρω καταφέρεσθαι, οὐδὲν γὰρ ὑπεναντίον οἷς ἔγνωσαν ἄνωθεν δοκοῦσι διαπράττεσθαι καὶ τῇ συμφωνίᾳ τῶν ἔργων ἀφαιροῦσι τῆς μέμψεως τὸ πλέον· ὅσοι δὲ ἀρχὴν ἐνστησάμενοι καλὴν* | *καὶ γενναίαν εἶθ' ἑκόντες ἁμαρτάνουσιν, αὐτῶν* R IV 19 *κατήγοροι γεγόνασιν οἷς ἔκριναν εὖ ἔχειν ὑπεναντία*

1 *λογισμοῖς Cl* sed *ογισ* in ras m[2] *λογισμῷ Ma* Re *λόγοις HVC* 2 *αὐτοὺς PaMaCl* | *ἐγγυτάτω Ma* 3 *πονηρίᾳ* om *Vi* 4 *ἦν εἰκὸς MVi* | *δὲ BPaMaCl* Re 6 *γε* om *MVi MaCl* | *ἡμῖν BPa* Re | *τε* om *MaCl* | *ἐθνῶν Vi* sed *ν* eras *θεῶν MaCl* *γρ ἠθῶν* in marg Mor 7 *δὲ BPaMaCl* | *εὐδοκιμεῖται H* 8 *δι' ἀρετῶν ὧν* scripsi e *B* *ἀρετῶν δι' ὧν H VCVi* edd *δι' ὧν PaMMaCl* et *γρ* in marg Mor *δι' ὧν ἀρετῶν* coni Iacobs Lect 91 „*videtur leg. ἀπὸ τῶν ἀρετῶν δι' ἃς*“ Re
9 *ἂν* ante *ὑμᾶς MaCl* | *ἡμεῖς Cl* | *ὑμῖν B* | *ὧν τε Vi*
10 *τοῖς — 234, 1 τολμῶντες* citant Plan fol 38 et Macar fol 83 | *γὰρ* om *Vi* Macar *οὖν* Plan | *ἐξαρχῆς CM* Plan Macar | *τὸ καλῶς ἀκούειν παραφαῦλον MaCl* Plan 11 *καλῶς* scripsi ex *HBViMaCl* Plan Macar et *γρ* in marg Mor *κακῶς VCPaM* edd | *μὲν MaCl* 12 *χείριστα HVCB* Mor sed in hoc *γρ χείρω* in marg 13 *ἂν* post *οἷς Vi* | *ἔγνωσαν ἄνωθεν* scripsi ex *HVC MVi* *ἄνωθεν ἔγνωσαν BPaMaCl* Plan Macar edd 15 *πλεῖον MVi* | *γὰρ H* 16 *εἶτα BPaMaCl* Plan Macar | *αὑτῶν HVi Ma* sed in hoc ' in ' corr m[2], *Cl* 17 *εὖ ἔχειν ἔκριναν* (*ἔκλιναν Vi*) *MVi* | *ὑπ' ἐναντία MaCl*

τολμῶντες. 9. ποῦ τοίνυν ἂν εἴη τῶν αὐτῶν φοβεῖσθαι μὲν τοὺς θεούς, πάλιν δὲ αὐτῶν καταφρονεῖν, καὶ θύειν μὲν ὑπ' εὐσεβείας, δυσσεβεῖν δὲ διὰ τῶν χειρίστων, καὶ τὸν μὲν Δία τιμᾶν καὶ διὰ πολλῆς τῆς ἐπιμελείας θεραπεύειν νῦν μὲν ἐν ταῖς κορυφαῖς τῆς Ἴδης, αὖθις δὲ ἐπὶ τῆς ἀκροπόλεως, πάλιν δὲ αὐτοῦ τοῦ Διὸς οὕτως ὀλιγωροῦντας φαίνεσθαι, ὥστε τὴν μεγίστην αὐτοῦ τῶν τιμῶν εἰκῇ διαφθείρειν; τίς γὰρ οὐκ οἶδεν ὡς ὁ ξένιος Ζεύς, ὅπερ κεφάλαιόν ἐστι τῶν ἐπωνυμιῶν αὐτοῦ, καὶ ὅτι παντὸς μὲν ἀναθήματος ἥδιον ἐκείνῳ τὸ τὰ περὶ τοὺς ξένους εὖ ἔχειν, πάσης δὲ δεινότερον ἱεροσυλίας, εἴ τι συμβαίνει δυσχερὲς ἢ τῷ ξένῳ παρὰ τοῦ δεξαμένου ἢ τῷ δεξαμένῳ παρὰ τοῦ τυχόντος εὐνοίας; 10. οὐ τοίνυν ἐστὶ τῶν αὐτῶν ὑβρίζειν τε ὁμοῦ καὶ θεραπεύειν τὸν θεόν. εἰ μὲν γὰρ οὐκ ὀργίζεται παροινούμενος, τί περὶ τὴν θεραπείαν ἐσπουδάκαμεν; εἰ δὲ τοῦ τιμᾶσθαι ποιεῖται λόγον, εἰκὸς δήπου καὶ τοῖς ὑβρίζουσιν ἄχθεσθαι. 11. εἰ

---

6 Il. ϑ 48; χ 171 sq.

1 *τὸν αὐτὸν HV* sed in hoc in *τῶν αὐτῶν* corr m², *C* sed *τῶν αὐτῶν* suprascr m² 2 *τοὺς* om *BPaViMaCl* *τὸν HVC* sed in hoc *τοὺς* suprascr m² | *θεὸν HVC* sed in hoc *θεοὺς* suprascr m² | *δ' MaCl* | *αὐτοῦ HC* sed in hoc *αὐτῶν* suprascr m² 3 *ὑπ'* scripsi *ὑπὲρ* libri edd 4 *Δία* scripsi e *V* sed in ras m², *BPaM ViMaCl* *θεὸν HC* edd sed *γρ Δία* in marg Mor 7 *τοῦ Διὸς* delendum censet Iacobs App Pors 324 Anth. Pal III 354 | *θεοῦ HV CMVi* Mor sed in hoc *γρ Διὸς* in marg 8 *διαφθείρει H* 9 *ὡς*] *ὅσος* coni Iacobs | *θεὸς HV* sed in hoc *γρ. ζεὺς* suprascr, *C* | *ὅπερ* scripsi e *Pa* et *γρ* in marg Mor om *M* *ὅτιπερ Vi* *ὅτιπρο H* *ὅτι περ* reliqui libri edd 10 *ἐπωνυμιῶν Ma* sed *ἐπων* in ras m² *ἐπιθυμιῶν Cl* | *τοῦ θεοῦ PaMaCl* et *γρ* in marg Mor

11 *τὸ τὰ* scripsi auctore Re *τὸ BPaMViMaCl* et *γρ* in marg Mor *τὰ HVC* edd 12 *ἢ* — 13 *ἢ* om *MaCl* 15 *δία B PaMaCl* et *γρ* in marg Mor Re 16 *παροιούμενος Ma* sed *ν* inser m², *Cl* 17 *ἐσπούδακεν VC* 18 *ὑβρισμένοις M* sed *γρ ὑβρίζουσιν* in marg | *ἄχθεσθαι V* sed *εσθαι* in ras m² *ἄχθαι H*

μὲν τοίνυν οὐ παραπλησίων ἔνεστι τῶν θεῶν τυχεῖν οὐδὲ τοιούτων ὁποίους ἂν ἡμᾶς αὐτοὺς παρέχωμεν, ἀλλ' ἔστι μὲν ἀδικοῦντας τῆς ἐκείνων προνοίας ἀπολαύειν, ἔστι δὲ τὰ δίκαια προῃρημένους μηδὲν ἄμεινον τῶν | πονηρῶν πράττειν, καθαιρετέον μὲν βωμούς, R IV 206 *ἀμελητέον δὲ θυσιῶν, παροπτέον δὲ πανηγύρεις, ἐν οὐδενὸς δὲ μέρει τὸ θεῖον ἑκτέον ἁπλῶς τε νομιστέον καὶ εἰκῇ φέρεσθαι τὰ ἀνθρώπινα καὶ τὸ προστυχὸν ἰσχύειν, τῆς δὲ τοῦ βελτίονος τάξεως μηδὲν εἶναι τὸ κέρδος τοῖς οὕτω ζῆν ἐθέλουσι. καὶ τί δεῖ δικαιοσύνην ἀσκεῖν, πρᾶγμα ἐπιζήμιον, ἐξὸν προτιμήσαντας πονηρίαν ἡδονὴν ἀκίνδυνον καρποῦσθαι; εἰ δὲ ταῦτα μὲν οὐδὲ λέγειν καλόν, ᾗ που γε τὸ πράττειν οὐκ ἄξιον. ἀλλ' εἰ τοῖς μὲν ὁσίοις αἱ βελτίους ἐλπίδες ἀπόκεινται, τοῖς δὲ ἑτέρως ζῆν ᾐρημένοις καὶ τὰ παρόντα δυσχερῆ*

---

1 *παραπλήσιον Ma* sed *ησίων* suprascr m[3], *Cl* | *τῶν θεῶν* scripsi e *BPaMVi* et *γρ* in marg Mor *τοῦ θεοῦ HVC* Mor *τὸ θεῶν Ma* sed *ῶν* supra *ὁ* m[3], *Cl* *θεῶν* Re 2 *τοιούτου* Mor sed *γρ τοιούτων* in marg | *αὐτῷ* Mor sed *γρ αὐτοὺς* in marg | *παρέχωμεν* scripsi ex *HCMMaCl* *παράσχωμεν BVi* *παρέχομεν VPa* edd 3 *ἀδυναμοῦντας Ma* sed in *ἀδικοῦντας* corr m[3] | *ἐκείνου HVCVi* Mor sed in hoc *γρ ἐκείνων* in marg 5 *τῷ πονηρῷ Vi* 6 *πανηγύρεις Ma* sed *εις* in ras m[2] 7 *οὐδενὶ HV* Mor sed in hoc *γρ οὐδενὸς* in marg | *δὲ* om *Pa* | *ἑκτέον CMa* sed *ά* suprascr *C*[2]*M*[3] *ἀκτέον M* *ἐκτέον HPa* | *ἄλλως δὲ* coni Iacobs Anth. Pal. III 122 8 *καὶ* (1) om *BMMaCl* cancellavit Boissonadius Anecd. II 319 | *τὸ* inser *Ma*[3] om *Cl* 9 *μοίρας καὶ* ante *τάξεως M* Mor | *τὸ κέρδος μηδὲν εἶναι MaCl* *τὸ* om *Pa* 10 *ἐθέλουσι* — 15 *ἑτέρως* in marg *Pa*[2] 11 *προτιμήσαντας* Mor sed *γρ παρατιμήσαντας* in marg | *πονηρίαν* scripsi e *VC* sed in hoc *αν* ex *ας* corr m[2], *Pa*[2]*MViMa* sed in hoc in marg m[2] *πονηρίας HBCl* edd 13 *ᾗ που* scripsi e *MViMaCl* *ἤπου Pa*[2] et *γρ* in marg Mor et Re *ὅπου HVC* sed in hoc *ἤπου* suprascr m[2], *B* Mor *γε* om *PaMaCl* et *γρ* in marg Mor | *τὸ* om *MVi* | *οὐδὲ HVC* sed in hoc del *n*, Mor sed *γρ τὸ* in marg 14 *ἀλλ' εἰ* scripsi *ἀλλὰ* libri edd 15 *ὡς* ante *ἑτέρως HVCBPaMVi* edd delevi

καὶ τὰ μέλλοντα φόβου μεστά, πολὺ δήπου κάλλιον, ὦ Τρῶες, ἐκείνης εἶναι τῆς μερίδος ἣ τὰ χρηστὰ προξενεῖ. 12. καὶ οὐκ ἐπιτιμῶμεν ὑμῖν ὡς οὐχ οὕτω φρονοῦσιν, ἀρχὴν δὲ οὐδ' ἂν συνεβουλεύομεν ὑμῖν, εἰ μὴ τοῦτον διέκεισθε τὸν τρόπον, ἀλλ' ἐπειδὴ ταῦθ' ὑμᾶς δικαίως δρῶμεν ἐπιτηδεύοντας, οὐκ ἂν βουλοίμεθα τὴν πόλιν ὑμῖν ἐξ ἡμισείας εἶναι δικαίαν οὐδὲ τὰ ἄλλα ἀνεγκλήτους ὄντας ἐν τοῖς περὶ τὴν Ἑλένην δοκεῖν ἁμαρτάνειν. πάντων γὰρ ἀτοπώτατον τῆς μὲν ἐγχειρήσεως καὶ τῶν ἔργων ἀφεστηκέναι, ἐν δὲ τῇ περὶ τῶν πεπραγμένων βουλῇ τῆς αἰτίας τοῖς πεποιηκόσι κοινωνῆσαι.

13. *Εἰ μὲν οὖν κοινῷ δόγματι τῆς πόλεως τὸ ἀδίκημα τετόλμηται καὶ τὸν Ἀλέξανδρον ὑμεῖς ἐπὶ καλὴν οὕτω πρᾶξιν ἐξεπέμψατε, σαφῶς εἴπατε μηδὲν
R IV 21 ὀκνήσαντες καὶ | οὐδὲν ἔτι φθεγξόμεθα, τίς γὰρ ἂν νοῦν ἔχων αὐτοῖς τοῖς εἰργασμένοις δικασταῖς ὧν ἠδίκησαν χρήσαιτο; εἰ δέ, ὅπερ ἀληθές ἐστιν, ὁ μὲν ἐφ' ἑαυτοῦ βαλόμενος ἔπραττε τὸ τερπνόν, ὑμῶν δὲ

18 Her. III 71, 3; 155, 2; IV 160, 1; V 73

1 δὲ ante *δήπου MVi* et inser C^2 2 *δήπου* ante *τῆς Cl* ἣ ex ἡ corr *Ma*² | *τῷ χρηστὰ προεξενέγκαι* post *προξενεῖ Pa* Mor sed in hoc del *γρ* del Re 4 *δὲ*] *δ' ἂν HV* | *οὐδ' ἂν*] *ἂν οὐδὲ Vi* | *συνεβουλεύομεν* scripsi auctore Re *ἐβούλευον Ma Cl* *συνεβούλευον* reliqui libri edd 5 *διέκεισθε Ma* sed ε(1) in α corr m² | *ταῦτα MaCl* | *ὑμᾶς* om *MaCl* 6 *δικαίως* inserui e *MViMaCl* om *HVCBPa* edd 7 *ὑμῖν* scripsi ex *HVCPaMVi* *ὑμῶν BMaCl* edd | *ἐξημισείας H* | *τἄλλα B MaCl* 8 *ὑπὲρ τῆς ἑλένης MViMaCl* 9 *πάντων* scripsi ex *HVCBPaMVi* *ἁπάντων MaCl* edd | *ἐγχειρήσεως* (ι suprascr.) *M* 10 *περὶ* om *BMaCl* *παρὰ Vi* 11 *ἐναντίας τοῖς πεπραχόσι Pa* sed *αἰτίας* in marg, et *γρ* in marg Mor 13 *τῆς* om Mor | *τῆς πόλεως* om *MaCl* 14 *ὑμεῖς* om *B* 16 *γὰρ* om *M* 18 *δ' BPa* 19 *ἐφ'* scripsi e *PaViMaCl* et *γρ* in marg Mor *ἀφ'* reliqui libri edd | *βαλόμενος* scripsi auctore Re („*malim βαλόμενος*“)

τὸ κοινὸν οὐ μετεῖχε τῶν γιγνομένων, δείξατε τοὺς δεδρακότας ἐν τῇ ψήφῳ καὶ τῇ χειροτονίᾳ τῆς αἰτίας ἐξέλεσθε τὴν πόλιν.

14. *Καὶ μὴν ἔγωγε πολλοὺς ὑμῶν οἶδα τῷ μὲν Ἀλεξάνδρῳ δυσκόλως ἔχοντας, ἡμῖν δὲ τοῖς πεπονθόσι συναλγοῦντας, δεῖ δὲ τόν γε ἀληθῶς ἁπλοῦν καὶ γενναῖον οὐ πλάττεσθαι τὴν καλοκἀγαθίαν, ἀλλ' ἐπὶ τῶν ἔργων τοῖς ἠδικημένοις ἀμύνειν καὶ τοῦ νόμου τῆς ἐκκλησίας διδόντος παρρησίαν ἀποδοῦναι κελεύειν τὴν Ἑλένην, ἀλλ' οὐκ ἰδίᾳ σεμνολογεῖσθαι τὴν πρᾶξιν δημοσίᾳ μὴ αἰτιώμενον.*

15. *Καὶ μὴν εἴ τις ὑμᾶς ἔροιτο, τί μαθόντες οὔτε πρότερον οὐδὲν τοιοῦτον εἴργασθε οὔτ' ἐπειδήπερ Ἀλέξανδρος ὧν ἐπεθύμει κύριος ἦν ἐξηλώσατε τὴν ἁρπαγήν, εὖ οἶδ' ὅτι φήσαιτ' ἂν ἅπαντες ὅτι καὶ πρότερον καὶ μετὰ τὴν Ἀλεξάνδρου παροινίαν πονηρᾶς εἶναι φύσεως τὸ ἅρπαγμα κατεγνώκαμεν καὶ οὐ διὰ τοῦτο χρηστόν, ὅτι τῷ δεῖνι τῶν*

---

coll Her. l. l. *λαβόμενος Pa* et coni Iacobs Lect 92 *γρ λαβόμενος ἐ.βουλόμενος* in marg Mor *βαλλόμενος* reliqui libri sed *βουλευόμενος* suprascr *Ma*², edd *σαυλούμενος* M Schmidt Philol. X 626

1 *τῶν κοινῶν Pa* sed *τὸ κοινὸν* suprascr m² 2 *τῇ* om *MaCl* 4 *καὶ μὴν* Mor sed *γρ οὐ μὲν* in marg 5 *ὑμῖν Pa* 6 *ξυναλγοῦντας Vi* | *δεῖ* — 8 *ἀμύνειν* citat Macar fol 83 | *δὲ* om Macar | *γε* om Macar *τε H* 7 *μὴ BVi* | *πράττεσθαι Pa* sed *πλάττεσθαι* suprascr m² 8 *τοῖς* om Mor 11 *δημοσίᾳ μὴ* om *HVPa* in marg inser *C*² *δημοσίᾳ* om *γρ* in marg Mor 12 *μὴ H* | *παθόντες MaCl* | *οὐδὲν τοιοῦτον οὔτε πρότερον* Mor 13 *οὔτε MaCl* 14 *ἐπιθυμεῖ MaCl* | *ὧν MaCl* 15 *οὐκ Ma* sed *γρ εὖ δ' ὅτι* in marg m², *Cl* | *φήσαιτ' ἂν* scripsi e *Pa* *φήσαιτε ἂν Ma* et *γρ* in marg Mor *φήσετε ἂν Cl* *φήσετε MVi* *φήσαιτε* Re *φήσειαν HVCB* Mor | *ὅτι* om *PaMaCl* 16 *τοῦ* ante *Ἀλεξάνδρου HVCB* edd delevi | *ἢ ὅτι* ante *πονηρᾶς ViMaCl* 17 *κατέγνωμεν PaMaCl* et *γρ* in marg Mor 18 *οὐ* inser *V*²*Cf* om *H* *οὐδὲ Pa* et *γρ* in marg Mor | *διατοῦτο HViMaCl* *γρ διότι* in marg Mor | *τοῦτό τι* coni Iacobs Lect 92 | *διότι BPaMaCl* et *γρ* in marg Mor

Τρώων ἤρεσε. 16. *τούτοις μέντοι τοῖς λόγοις οὐ συμβαίνει τὸ συμπράττειν Ἀλεξάνδρῳ καὶ συναγωνίζεσθαι πρὸς τὸ μηδὲ παύσασθαι τῶν ἀδικημάτων ποτέ. εἰ μὲν γὰρ ἐπαινεῖτε τὸν ἄνθρωπον, τί οὐ μιμεῖσθε; εἰ δὲ καταμέμφεσθε, τί οὐ κωλύετε; οὐ γὰρ δήπου λόγον ἔχον ἐστὶ ταῦτα διαφυλάττειν εἰς τέλος ἃ μηδὲ* R IV 22 *γενέσθαι τὴν ἀρχὴν | βέλτιον ἦν. ἢ τὴν μὲν ἁρπαγὴν αἰτιασόμεθα, τὸ δὲ μηδ' ἀποδοῦναι βούλεσθαι τοῦτο θαυμασόμεθα;*

17. *Ὅλως δέ, εἴ τις ἀκριβῶς λογίζεσθαι βούλοιτο, οὐ Μενέλεως ἠδίκηται μόνος ἐν τοῖς τετολμημένοις, ἀλλὰ καὶ τὰ κράτιστα τῶν ἀνθρωπίνων συγκέχυται καὶ κεκίνηται. εἰ γὰρ Ἀντήνωρ ὁ βέλτιστος ἐνεθυμήθη πρὸς ἑαυτόν, ὅτι νῦν ἐγὼ Μενέλεων καὶ Ὀδυσσέα παρ' ἐμαυτῷ καταλύειν ἀνέξομαι τὸν μὲν εἰς τὰ τιμιώτατα βεβλαμμένον, τὸν δὲ συνωργισμένον τῷ πεπονθότι; ἂν*

7 Manuel. Palaeol. antil. supra p. 227,1 sq. 12 cf. p. 232,11

2 *συμβαίνειν H* | *πράττειν Vi* 3 *μὴ δὲ HBViMa* sed in hoc *δὲ* eras, *Cl* *μὴ M* *μηδὲν Pa* Mor 6 *τοῦ λόγου HV* sed in hoc *λόγον* corr m², *C* sed in *τὸν λόγον* corr m², Mor sed *γρ λόγον* in marg | *ἔχοι Ma* sed *ἔχον ἐστὶ* suprascr m² *ἔχον* om *HV* sed in hoc inser m², *C* Mor sed in hoc *γρ ἔχον* in marg | *ἐστὶ* inser *Cj* om Re | *διαπράττειν ViMa* sed in hoc *διαφυλάττειν* suprascr m², *Cl* | *μὴ δὲ HMViMaCl* 7 *τὴν ἀρχὴν γενέσθαι Ma* sed ` et ' eras, *Cl* | *εἶναι HVC* sed in *ἦν* corr *V²Cf* | *καὶ Pa* et *γρ* in marg Mor 8 *αἰτησόμεθα HV* sed in hoc *ια* supra *η*, *C* sed *η* in *ια* corr *n* | *τὸ — 9 θαυμασόμεθα* in marg *Pa²* | *μὴ BMViMaCl* 9 signum interrogationis posui 11 *μενέλεως M* sed *ε*(3) inser *y* *μενέλαος PaMa* sed *εως* suprascr m², *Cl* 12 *καὶ* om *Pa* | *ἀνθρωπίων VM* *ἀνθρωπείων Vi* *ἀνθρώπων BPaMa* sed in hoc *γρ' ἀνθρωπείων* in marg m², *Cl* *γρ ἀνθρώπων ἢ ἀνθρωπείων* in marg Mor 13 *γρ εἰ καὶ γὰρ* in marg Mor 14 *αὑτόν PaMa* *αὑτὸν Cl* | *ἐγὼ* om *HVC* | *μενέλαον Cl* 15 *τὸν* ante *Ὀδυσσέα BPaMaCl* edd delevi 16 *βεβλημμένον H* *βεβλημένον V* 17 signum interrogationis posui, comma *ViMa*, colon reliqui libri punctum edd | *ἆρ'* Iacobs Anth. Pal. III 696

οὖν ἀποχρήσωνται πρός τι τῶν δυσχερῶν τῇ παρ' ἐμοὶ διατριβῇ, παρ' ἡμῶν δὲ αὐτῶν ἔχουσι τῶν τοιούτων τὸ παράδειγμα, καλῶν γ' ἂν εἴην ἀπολαύων ξενίων· εἰ ταῦτα διαλογισάμενος προσιόντας ἀπήλαυνε καὶ μηδαμῇ προσίετο, ἆρ' οὐκ ἂν ἦν θέαμα δεινὸν καὶ πάντων ἐλεεινότατον ἄνδρας ξένους ἠδικηκότας οὐδὲν ἐπ' ἀγορᾶς κυλινδεῖσθαι; οἶμαι γὰρ ἂν καὶ τοὺς ἄλλους τοῦτον μιμήσασθαι τῷ φόβῳ τῶν πεπραγμένων πρὸς ἀπιστίαν ἀγομένους. ταῦτα τοίνυν τὸ μὲν Ἀλεξάνδρου μέρος ἂν συμβεβήκει, ἡ δὲ Ἀντήνορος καλοκἀγαθία κρείττων ἐφάνη τῆς ὑποψίας.

18. Μάλιστα μὲν οὖν, ὦ Τρῶες, καὶ τὸ περὶ ὁτιοῦν εἰς τὸν ὑποδεξάμενον ἁμαρτεῖν τῶν δεινοτάτων ἐστί, τῆς γὰρ αὐτῆς παροινίας ἀπόδειξιν ἔχει τὸ πραττόμενον ἅπαν, ἕως ἂν ἐκβαίνῃ τὸ προσῆκον, Ἀλέξανδρος

10 cf. t. IV 56, 20 R 15 cf t. IV p. 114, 19 R

1 ἀποχρήσωνται reposui e libris cum Boissonadio Anecd. II 331 ἀποχρήσονται edd 3 τὸ om *MaCl* | καλὸν *HVPa Ma* sed in hoc καλῶν suprascr rubr, *Cl* et γρ in marg Mor | γ' om *MaCl* δ' *HVC* γὰρ *Vi* | ἂν om *Vi* | εἴη *B ViMa* sed in hoc ν add rubr et γρ in marg m², *Cl* 4 ἀπολαύων scripsi ex *H VCM* sed in hoc ἀπολαύειν in marg, et γρ in marg Mor ἀπολαύειν reliqui libri sed ειν in ων corr *Ma* rubr, edd ἀπολαύσων Iacobs Add 124 | ξενίων scripsi auctoribus Re („*mihi videtur leg. aut* καλῶν γ' ἂν εἴην ἀπολελαυκὼς ξενίων *aut* καλόν γ' ἂν εἴη ἀπολαύειν τῷ ξένῳ") et Iacobsio ξένον *Pa* ξένων reliqui libri edd | ἐπ' αὐτὰ *HVC* sed in εἰ ταῦτα corr V^2C^n 5 μηδαμοῦ *Vi* 6 ἐλεεινότερον *MaCl* 7 ἠδικηκότας οὐδὲν om *MaCl* 8 τοῦτον om *HVC* sed in hoc τοῦτο post μιμήσασθαι inser *j* τοῦτο *MVi* οὕτω *BMa* sed in hoc γρ τοῦτον suprascr m², *Cl* 9 εἰς *Ma* sed γρ' πρὸς suprascr m², *Cl* 10 τῷ et μέρει *V* | ἂν συμβεβήκει scripsi συμβέβηκεν (ξυμβέβηκεν *Vi*) libri edd | εἰ *Pa* sed ἡ suprascr m² 11 κρεῖττον *H* 12 οὖν om *MaCl* | ὦ om *HV* | τιοῦν *Ma* sed ὁ antepos m², *Cl* 13 ἁμαρτεῖν scripsi ex *HVCMVi* et γρ in marg Mor ἐξαμαρτεῖν *BPaMaCl* ἐξαμαρτάνειν edd 15 ἕως inser γρ' *Ma²* ὡσὰν *Cl* „*unde confici possit* ὅταν. *aut possit* ἕως *plane*

δὲ παρανομεῖν ἐπιχειρήσας ἐν τῷ μεγίστῳ τὴν παρανομίαν ἔδειξεν. R IV 23 | *οὐκ ἤρκει θεραπαίνας καὶ χρυσία καὶ ὅσα εἰς ἐσθῆτα φέρει λαβόντα οἴχεσθαι καὶ τούτοις ὁρίσαι τὰ ἀδικήματα, ἀλλ' ἐπὶ τὸ γύναιον ἐπιθυμίαν ἀκόλαστον ἐκίνησε καὶ τοῖς αὐτοῖς ὀφθαλμοῖς τοῦτον μὲν δεξιούμενος, τὴν δὲ Ἑλένην εἶδεν ἐφ' ὕβρει.* 19. *καὶ οὐκ ἔστησεν ἐπὶ τῆς ἐννοίας τὸ ἐγχείρημα, ἀλλὰ προσέθηκε τὴν πρᾶξιν, ὑπὲρ ἧς καὶ τὸ βουλεύσασθαι τῶν ἐσχάτων ἂν ἦν. καὶ εἰ μὲν οὐχ ἑώρα παιδίον αὐτοῖς γεγονός, ὃ μάλιστα δὴ πάντων εἰς οἰκειότητα τοὺς γονέας συνάγει, ἦν μὲν ἂν οὐδὲ οὕτω μικρόν, τοῦ δὲ νῦν εἰργασμένου μετριώτερον· νῦν δὲ οὔσης αὐτοῖς Ἑρμιόνης τοσαύτης ἀφορμῆς εἰς κοινωνίαν Ἀλέξανδρος διέσπασεν ἃ συνῆπτο θεσμῷ καλλίονι.*

20. *Οἶδα τοίνυν ὡς ἐρεῖ τις ὅτι δικαίως ἂν στέρ-*

---

6 cf. t. IV 114, 20 R 10 cf. p. 206, 2. Chor. Patr. t. IV 97, 1 R

---

omitti et ἂν pro ἐὰν accipi" Re | *τὸ προσῆκον* reposui e libris sed *γρ τοῦ προσήκοντος* suprascr *Pa*² *τὸ τοῦ προσήκοντος* edd sed *γρ τὸ προσῆκον* in marg Mor

2 *χρυσία V* sed *ὸν* suprascr m² *χρυσὸν BPaMaCl* 4 *ἐπεὶ HVi* Mor sed in hoc *γρ ἐπὶ* in marg | *γύναιον V* sed *γύν* in ras m² *δίκαιον HC* sed in hoc del et *γύναιον* suprascr *f* | *εἰς* ante *ἐπιθυμίαν* Mor del Re 6 *τὸν γρ* in marg *Pa*² et coni Iacobs Ach. Tat. 944 | *μὲν* om *Cl* inser *Ma*² | *δεξιούμενος Ma* sed *ς* in *ν* corr m², Mor sed *γρ δεξιούμενον* in marg, et tuetur Iacobs Phil 672 *δεξιούμενον V* sed *ν* m², *CBPaM* et *γρ* in marg Mor et Re | *εὐλαβῶς* post *δεξιούμενον γρ* in marg *Pa*² et Mor et inseruit Re delevi cum Iacobsio | *δὲ* om *Ma* sed *δ'* inser m², *Cl* | *εἶλεν Pa* sed *γρ εἶδεν* suprascr m² 7 *τὰς Vi* *ταῖς MaCl* (*αῖς* suprascr.) *τῆς M* *ἐννοίαις MaCl* *εὐνοίας Pa* sed *γρ ἐννοίας* suprascr m² *γρ ἀνοίας* in marg Mor 8 *καὶ* ante *τὴν MaCl* Re delevi 9 *ἂν ἦν* om *HVC* *γἂν MaCl* *γάρ*; *Pa* | *ἦν* om *PaCl* inser *Ma*² 10 *δὴ μάλιστα Vi* 11 *εἰσάγει MVi* et *γρ* in marg Mor | *οὐδ' BPaMaCl* 15 *καλλίστῳ* coni Gasda 16 *ὡς ἐρεῖ τις* om *Pa* sed in marg add m², *Ma* sed *φαίη τις ἂν ὡς* inser m², *Cl* | *ὅτι* om

γοιμεν ταὐτὰ πάσχοντες ἅ ποτε πεποιήκαμεν. οἷον ὑμεῖς, φησίν, ἐκ μὲν Φοινίκης Εὐρώπην, ἐκ δὲ Κόλχων ἡρπάσατε Μήδειαν. τί τοίνυν ἀσχάλλετε ταὐτὰ ὑπομένοντες ὧν ὑπήρξατε; 21. *ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο τεθαύμακα εἰ ὧν ὡς ἐγκλημάτων μέμνησθε, ταῦθ' ὁμολογεῖτε μιμήσασθαι. εἰ μὲν γὰρ μηδὲν ἡμάρτανον οἱ τότ' ἐκεῖνα πράττοντες, πῶς εἰς ἔγκλημα προφέρετε; εἰ δὲ οὐκ ἦν ἔξω τοῦ ψέγεσθαι, πῶς ἃ ψέγειν οἴεσθε δεῖν ἐζηλώσατε;* 22. *καὶ μὴν καὶ κατ' αὐτὸν τοῦτον τὸν λόγον εἰς τοὺς βαρβάρους ἔρχεται τὸ ἔγκλημα. εἰ γὰρ τὸ μὲν τῶν ἀδικημάτων ἄρχειν παρὰ τὸν νόμον ἐστί, τὸ δὲ ἀμύνασθαι τοὺς ὑπάρξαντας εἰς τὸ δίκαιον τελεῖ, εἰπάτω μοί τις, πότερον | Κρῆτες πρότερον τὴν Εὐρώπην ἐκ* R IV 24

14 Her. I 2

Vi | *στέργωμεν Ma* *στέργομεν* Mor sed *γρ φέροιμεν* in marg 1 *ταὐτὰ* scripsi auctore Re „*malim ταὐτὰ πάσχοντες ἃ πρίν ποτε*“ *ταῦτα* libri edd | *ποτε* om *HV* sed in hoc suprascr m², *CBVi* | *πεποιήκαμεν Ma* sed *αμεν* in ras m² *γρ προπεποιήκαμεν* in marg *Pa*² et Mor | *οἷον*] *ὡς ἐμὸν· οἷον ViMa* sed in hoc *ὡς* et *οἷον* inser m² et *ἐμὸν* del m² *ὡς ἐμὸν. Cl* 3 *μήδειαν ἡρπάσατε MaCl* 4 *ταῦτα ὑπομένοντες ὧν ὑπήρξατε ἀσχάλλετε MaCl* *ταὐτὰ* scripsi ex *HVCB* auctore Re *ταῦτα* reliqui libri edd | *προήρξατε PaMaCl* et *γρ* in marg Mor 5 *δὲ* om *Pa* | *πρῶτον* om *Cl* inser in marg *Ma*² et suprascr *Pa*² | *τοῦτο αὐτὸ M* | *οἵων Pa* sed *γρ´ ὧν* suprascr m² 6 *ταῦθ' ὁμολογεῖτε μιμήσασθαι* om *Pa* sed in marg add m² | *ταῦτα MaCl* 7 *μὲν* om *V* | *οὐδὲν BPaMa* sed in hoc *γρ μηδὲν* suprascr m², *Cl* | *τότε BPaMaCl* | *ἐκεῖνο Pa* sed *γρ ἐκεῖνα* in marg m², *MaCl* 8 *τι τοῦτο BPa Ma* sed in hoc *γρ πῶς* in marg m², *Cl* et *γρ* in marg Mor | *οὐ Ma* sed in *εἰ* corr m² | *δ' BMaCl* | *ἦ H* *εἶ Vi* *εἰσὶν M* 9 *ψεύδεσθαι C* sed *υδ* in *γ* corr *j*, et *γρ* in marg Mor 10 *καὶ* om *Pa* 11 *τὸ ἔγκλημα ἔρχεται MVi* | *μὲν γὰρ τὸ MaCl* et coni Gasda 13 *μοι τίς HViMaCl* 14 *πρότερον κρῆτες πότερον Ma* sed *γρ πότερον ἐρεῖ τις κρῆτες* in marg m² | *κρῆτες πρότερον* om *Vi* inser *My* | *πότερον Cl* | *ἐρεῖ τίς* ante *τὴν Vi*

Φοινίκης ἥρπασαν ἢ Φοίνικες ἐξ Ἄργους Ἰὼ τὴν Ἰνάχου; ἐγὼ μὲν γὰρ οἶμαι τῶν Φοινίκων γεγενῆσθαι τὴν ἀρχήν. 23. καὶ οὐκ ἐπαινοῦμεν οὐδὲ τοὺς Κρῆτας πρὸς τοῦτο ἐλθόντας. πάντων γὰρ ἀλογώτατον τῶν ἠδικημένων ἀντεπιβουλεύειν οὐ προῃρημένων ἐκείνους περιεργάζεσθαι. ἔπειτα εἰ καὶ πλέον τῶν πεπονθότων ἤχθοντο, δῶμεν γὰρ ὅτι καὶ μᾶλλον ἤλγουν Ἰνάχου, οὐχ ἁρπαγῇ τὴν ἁρπαγὴν μετιέναι ἐχρῆν, ἀλλὰ ταὐτὰ ποιεῖν ἅπερ ἡμεῖς νῦν, πρεσβείαν ἀποστέλλειν, στρατόπεδον συγκροτεῖν, πόλεμον ἀπειλεῖν. τοῦτο μὲν γὰρ ἦν μηδὲν τοιοῦτον μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ βουλομένων τολμᾶσθαι, ἐκεῖνο δὲ πολλὰ παρασκευαζόντων παραπλήσια γίνεσθαι. ἐπαινεῖν μὲν οὖν ἐκείνους οὐκ ἔχομεν, εἰ δὲ ἰσχυρόν τις εἶναι νομίζει τὸ χρῆναι τοῖς

---

1 Her. I 1. Lyc. 1291 sq. cum scholiis 5 Thuc. I 33, 3

---

1 *ἥρπασαν ἐκ φοινίκης Vi* 2 *μὲν* om *VCl* inser *Ma*^{2}
3 *οὐκ ἐπαινῶ μὲν BPaMa* sed in hoc *γρ οὐκ ἐπαινοῦμεν* in marg m^{2}, *Cl* et *γρ* in marg Mor 4 *εἰς PaMa* sed in hoc *γρ πρὸς* su-
εἰς
prascr m^{2}, *Cl* et *γρ* in marg Mor *πρὸς B* | *ἦν* post *ἀλογώτατον* inserendum coni Gasda | *τῶν ἠδικημένων* in *τὸν ἠδικημένον* mutan-
πεπονθότων
dum coni Re et Iacobs Lect 92, tuetur Gasda 5 *ἠδικημένων*
V | comma post *ἀντεπιβουλεύειν* edd delevi | *προειρημένων Pa* *προῃρημένον* coni Iacobs | *ἐκείνων οὓς BMViMaCl γρ ἐκείνους οὓς* in marg Mor 6 *περιεργάζεσθε Pa* sed *αι* suprascr m^{2}, *γρ* in marg Mor *περιεργάζονται BMViMaCl* | *εἰ* om *Cl* inser *Ma*^{2} 7 *ὅτι* inserui e *BPaMVi* et *γρ* marg Mor cum Gasda om reliqui libri sed inser *Ma*^{2} et in marg *V*^{2}, Re *εἰ* Mor quod del Re 9 *ποιεῖν* om *Cl* inser *Ma* | *πρέσβεις B Ma* sed *γρ' πρεσβείαν* suprascr m^{2}, *Cl* *πρέσβιν Pa* et *γρ* in marg Mor 11 *μήτε* (1 et 2) *BPaMaCl* | *μήτε ἐν γῇ* inser *Pa*^{2} | *τῇ* ante *γῇ* et *θαλάττῃ Vi* 12 *ἐκεῖνο* scripsi e *C* sed *ο* ex *α* ras corr, *ViMaCl* *ἐκεῖνα* reliqui libri edd 13 *γενέσθαι Ma* sed *γρ γίνεσθαι* suprascr m^{2}, *Cl* | *οὖν* om *PaCl* inser *Ma*^{2} 14 *δ' PaMaCl* | *νομίζοι B*

ἴσοις ἀμύνασθαι, λόγος τίς ἂν αὐτοῖς λείποιτο; πλὴν ἕν γε ἐκεῖνο ἴσμεν, ὅτι Φοινίκων τὸ ἔγκλημα γίνεται τῶν καταβεβληκότων τὸ σπέρμα τῆς ἁρπαγῆς. 24. τί οὖν Μήδειαν Ἰάσων ἐλάμβανεν; ἄλλος μὲν ἄν τις ἔφησεν, ὅτι πρὸς τὰ τῶν Φοινίκων παρωξυμμένος καὶ προσδεῖν ἡγούμενος τῇ τιμωρίᾳ, ἐγὼ δὲ οὐ τὸν Ἰάσονα τῆς Μηδείας ἐπιθυμήσαντα σκοπῶν εὑρίσκω, τὴν δὲ Μήδειαν ἁλοῦσαν Ἰάσονος. 25. ὡς μὲν οὖν συνέπραξεν αὐτῷ πρὸς τοὺς ἄθλους αὐτόματος ὁρμήσασα εἰς τὴν ἐπικουρίαν καὶ ὡς ἀπέκτεινε τὸν ἀδελφὸν ἀποσπᾶν | ἐπιχειροῦντα καὶ ὡς ἀβίωτον R IV 25 ἡγεῖτο τὸν βίον, εἰ μὴ ἐκεῖνον ὄψεται, καὶ ὅσα τῶν ἐρώντων ἐστὶ παραλείψω, τί γὰρ ἄν τις μακρηγοροίη;

---

4 sq. Her. I 2 et 3 5 Her. I 2 6 Dem. p. 1299, 17. Aesch. Tim. p. 68, 11 R 8 Eur. Med. 8 10 cf. t. IV p. 1010, 6 sq. R 11 [Apollod.] bibl. I 9, 24

---

1 *ἴσο* cum ras 1—2 litt *Ma* | *ἀμύνεσθαι HVCB* | *λόγος C* sed *ος* in ras *j* *λόγοις H* et *γρ* in marg Mor | *τί HC* sed in hoc *ς* add *j*, et *γρ* in marg Mor | *ἂν* inserui e *B* et *γρ* in marg Mor, ut coni Re | *λίποιτο Vi* 2 *γίγνεται Ma* sed *γίγν* in ras 5—6 litt m[2] *γέγονε B* 4 signum interrogationis post *οὖν* delevi et post *ἐλάμβανεν* posui | *οὖν* post *μὲν* edd delevi 5 *παρωξυμμένος* scripsi e *BPaMaCl* et *γρ* in marg Mor coll. Dem. et Aesch. l. l. *παροξυνόμενος* reliqui libri edd 6 *καὶ προσδεῖν ἡγούμενος* praemisso *ἐλλείπει* in marg *Ma*[2] om *BPa* sed in hoc suprascr m[2], *Cl* 7 *Ἰάσονα* reposui e *MaCl* *ἰάσον' MVi* *ἰάσωνα* reliqui libri edd cf l. 8 et p. 248, 4 | *ἐπιθυμήσαντα τῆς μηδείας M* | *τῆς* scripsi e *BPaM* et *γρ* in marg Mor cum Iacobsio Phil. 619 *αὐτῆς* reliqui libri sed *αὐτ* in ras *Ma*[2], edd | *σκοπὸν HC* sed in hoc *ῶν* in *ὸν* corr *j*, *Vi* | *εὑρήσω HC* sed in hoc *ησ* in *ισκ* corr *j*, et *γρ* in marg Mor 8 *Ἰάσονος* reposui e *MaCl* *ἰασονι Pa* sed *ωνος* suprascr m[2] *ἰάσωνος* reliqui libri edd 9 *ἐνέπραξεν* Mor sed *γρ συνέπραξεν* in marg 11 *ἀβίοτον M Vi* 13 *ἐρώντων* scripsi auctoribus Iacobsio Add 268, Lect 92 et Cobeto Coll 279 *πρώτων* libri edd *ποιητῶν* Gasda 13 *μακραγοροίη Pa* sed *α* (2) in *η* corr m[2]

ἀλλ' ἐπειδὴ τῆς Ἑλλάδος ἦσαν ἐν Κορίνθῳ, ὁ μὲν ἄλλην ἐμνήστευεν, ἡ δὲ ἐδάκρυεν, καὶ ὁ μὲν ἣν ἐβούλετο ἤγετο, ἡ δὲ οὐκ εἶχεν ἥτις γένηται. οὕτω σφόδρα αὐτὴν Ἰάσων ἠγάπα καὶ τὰς Συμπληγάδας ὑπὲρ ἐκείνης διέπλευσεν, ὥσπερ Ἀλέξανδρος ὑπὲρ τῆς Ἑλένης τὸν Αἰγαῖον. πότερον οὖν Ἰάσων Μηδείας ἑαλώκει ἢ Μήδεια τὸν οὐδὲν δεόμενον αὐτῆς ἠνώχλει; τὰ μὲν γὰρ πράγματα τὸ δεύτερον βεβαιοῖ. 26. εἰ δὲ ἐκεῖνό τις φήσειεν, ὅτι καὶ τὴν Ἑλένην παραπλήσιος λογισμὸς ἀκολουθεῖν Ἀλεξάνδρῳ συνέπεισεν, οὐ χαλεπὸν εὑρεῖν τὴν ἀλήθειαν. εἰπάτω πρὸς αὐτὴν ἀπαλλαγῆναι τῆς οἰκίας, ἕτερον ἐγγυάσθω γύναιον, κἂν προσκαθημένη δακρύῃ, χαίρειν ἐᾶν. καὶ τότε εἰσόμεθα οἷς ἐγκαλεῖν ἄξιον. καὶ ὥσπερ ἄν, εἰ τότε Αἰήτης ἀπῄτει τὴν

1 Eur. Med. 19 sq. 4 Eur. Med. 2. Chor. Patr. t. IV p. 103, 9 R. cf. t. II 20, 9 7 cf. p. 276, 7 13 Dem. p. 1311, 20

1 ἐπεὶ *BPaMa* sed in hoc in ἐπειδὴ corr m² ἐπὶ *Cl* 2 ἐμνήστευεν scripsi e *VCPaMViMaCl* ἐμνήστευσεν *HB* edd | ἐβούλετο scripsi e *VViMa* ἠβούλετο reliqui libri edd 3 εἴ τις *HVMa* sed in hoc ἥτις suprascr m² | γένηται *B* sed οιτο suprascr m² γίνηται *HV* γρ γένοιτο in marg Mor | οὕτω — 6 Αἰγαῖον in suspicionem vocavit Gasda | οὕτω scripsi e *B* οὔτε *Vi* οὕτως reliqui libri sed ς eras *Ma*, edd 4 συμπληγάδας *Pa* et πέτρας suprascr m² 5 ὡς καὶ *Ma* sed γρ ὥσπερ suprascr m², *Cl* | ὁ ante ἀλέξανδρος *PaMViCl* et γρ suprascr *Ma*² | ἐπὶ *MVi* 6 τὸ *HVC* cf. t. I 89, 5 | πρότερον *HC* | οὖν om *Cl* inser *Ma*² | τῆς ante μηδείας *MaCl* | ἡ *H* 8 οὖν *Pa* et γρ in marg Mor | δ' *PaMaCl* | ἐκεῖνο τίς *HMViCl* 9 λογισμὸς παραπλήσιος *Vi* 11 εἰπάτω — 12 κἂν in marg *Vi* | ἀπαλλαγῆναι *Pa* sed ἀποστῆναι suprascr m² 12 οἰκείας Mor sed γρ οἰκίας in marg | ἐγγυάσας *Vi* | προκαθημένη *HVC* 13 δακρύειν *Vi* | ἐᾷ *Vi* | καί ποτε *Pa* sed γρ καὶ τότε suprascr m² 14 καὶ om *B* | ἀπῄτει scripsi auctore Gasda coll Her. I 2 et 3 ᾔτει *B* ἂν ᾔτει reliqui libri sed ἂν del *Pa*², edd

Μήδειαν πόλεμον ἀπειλῶν, εἰ μὴ λάβοι, ῥᾷστα ἂν Ἰάσων ἀπέδωκε πρὸς τῷ χάριν εἰδέναι τοῖς ἥκουσιν, οὕτω νῦν Ἀλέξανδρος δειξάτω μηδὲν τῆς γυναικὸς δεόμενος. ἀλλ' οὐ ποιήσει τοῦτο ἑκὼν εἶναι. πόθεν; οὔκουν Ἰάσων ἠδίκει τότε, ἀλλ' ἡ παῖς ἠδίκει τοὺς γονεῖς ἑκοῦσα παρ' αὐτὸν ἀπελθοῦσα. 27. τί οὖν ἄν τις παραδείγμασι χρῷτο τούτοις ὧν πολὺ τὸ παρὸν ἀποστατεῖ; τὸ δὲ μέγιστον καὶ ᾧ σαφῶς εἴσεσθε ποίῳ τινὶ κεχώρισται τὰ πράγματα, οὔτε γὰρ ἦν οἱ Φοίνικες οὔτε ἦν οἱ Κρῆτες | ἔλαβον, ἀλλ' οὐδὲ ἡ Μήδεια R IV 26 συνοικοῦσαί τισιν ἤδη τοῦτο ἔπασχον οὐδὲ διεσπᾶτο γάμος οὐδὲ εὐνὴ κατῃσχύνετο οὐδὲ παίδων διαδοχὴ διεκόπτετο οὐδὲ ἐφ' ἃ θεοὶ γαμήλιοι παρεκλήθησαν, ταῦτα κατὰ πολλὴν ὕβριν ἀνῃρεῖτο, ἀλλ' ἦν κἀκεῖνα

4 Dem. p. 241, 18; 242, 25 12 Thuc. II 36, 1

4 ἰστέον ὅτι τὸ *εἶναι* ἔνθα εὑρεθείη μετὰ τοῦ *ἑκὼν* ἢ ἄλλης πτώσεως τῶν τριῶν γενῶν τῆς μετοχῆς ἀργόν ἐστιν $M^m Ma^2$

1 λάβῃ *Ma* | Ἰάσων ἀπέδωκε scripsi e *BM* ἰάσων ἀπέδοτο *MaCl* ἔδωκεν ἰάσων *Pa* ἀπέδωκε om *HV* sed in hoc post ἰάσων inser, *CVi* ἀπέδωκεν Ἰάσων edd 2 τὸ *HVCPaVi* | καὶ ante χάριν *M* edd delevi 3 γρ ὡς ante μηδὲν in marg Mor 4 ἑκὼν οἶμαι *V* sed οἶμαι in ras m² ἐκεῖνος *Ma* sed γρ' ἑκὼν εἶναι in marg m², *Cl* ἐκεῖνος ἑκὼν *B* ἐκεῖνον εἶναι *Pa* sed ἑκὼν suprascr et εἶναι del m² γρ ἐκεῖνος εἰπών in marg Mor 5 Ἰάσων om *Pa* | τό γε *H* 6 πρὸς *B* | παράδειγμα *C* 7 χρῆτο *MaCl* | τοιούτοις *MVi* 8 ᾧ scripsi auctore Re ὡς *Cl* ὃ reliqui libri sed in ras 2 litt *Ma*² et in ὢ corr *V*², edd sed γρ γὰρ in marg Mor | τοίνυν *HVC* sed in his duobus in τινὶ ras corr, et γρ in marg Mor 9 et 10 οἱ om *MVi* 10 οὐδὲ scripsi e *M* auctore Re οὔτε reliqui libri sed γρ' οὐδὲ suprascr *Ma*², edd 11 συνοικοῦσαι scripsi συνοικοῦσα libri sed α in αι corr *V*², edd | τοῦτ' *Vi* | ἔπασχεν *MViMaCl* | διεσπᾶτο *Ma* sed εσπᾶ in ras m² διέσπαστο *Pa* et γρ in marg Mor 13 οὐδ' *PaMa* Re 14 ἀνήρητο *BPaMViMaCl* | ἐκεῖνα *B*

δεινὰ μέν, οὐ μὴν εἰς τοσοῦτον ἀσεβείας ἥκοντα. εἰ δὲ δὴ κἀκεῖνα πολλῆς ἦν ἄξια τῆς ἀγανακτήσεως, πόσης γε εἶναι τὸ παρὸν ὀργῆς θήσομεν; 28. *ἔτι τοίνυν, οὐδὲ γὰρ τοῦτο μικρόν, τὴν μὲν Ἰνάχου παῖδα ναυκλήρου τινός φασι κλέμμα γενέσθαι οὔτε διαλεχθέντος οὔτε καταλύσαντος παρὰ τῷ πατρὶ τῆς κόρης, περὶ δὲ τῆς Εὐρώπης οὐδὲν οὐδέπω καὶ νῦν σαφὲς ἀκούομεν· Ἰάσων δέ γε δυσμενεστάτου πάντων ἐτύγχανεν Αἰήτου καὶ τοιαῦτα προβάλλοντος ἃ πρόδηλον εἶχε τῷ μετιόντι συμφοράν, ὥσθ', οὗτός γε εἴ τι καὶ δυσχερὲς ὕστερον εἰργάζετο τὸν Αἰήτην, τὸ προπεπονθέναι κακῶς δικαίαν ἐποίει τὴν πρᾶξιν αὐτῷ.* 29. *τούτων ἕκαστος, Ἀλέξανδρε, τοῖς γε σεσυλημένοις οὐχ ἁλῶν, οὐ σπονδῶν, οὐ τραπέζης ἐκοινώνησε, μᾶλλον δὲ οἱ μὲν οὐδενὸς*

---

4 Her. I 1, 2 7 Her. I 2 13 Dem. fals. leg. § 189 p. 400, 16 cf. supra theor. p. 210, 7

---

13 *τὸ ἅλας οἱ παλαιοὶ ἐτίθουν ἐν ταῖς τραπέζαις, ἵνα ὡς τοῦτο συνεκτικόν ἐστιν, οὕτω καὶ οὗτοι συνάφειαν πρὸς ἀλλήλους καὶ ὁμόνοιαν ἔχωσιν Ma*[2]

---

1 *μὲν δεινὰ MaCl* | *δ'* ante *εἰς MVi* 2 *δὴ* om *Cl* inser *Ma*[2] | *τῆς* om *V* | *πάσης Pa* sed *πόσης ὀργῆς* suprascr m[2] 3 *γε* om *BMaCl* *γ' MVi* 4 *γὰρ* om *HVCPaMVi* Mor sed in hoc *γρ* in marg 5 *φησι MVi* 7 *σαφὲς καὶ νῦν B* | *καὶ νῦν* om *Cl* inser *Ma*[2] | *σαφὲς* Mor sed *γρ σαφῶς* in marg 8 *γε* om *B* | *δυσμενεστάτου Ma* sed in *δυσμενέστατος* corr m[2] *δυσμενέστατος* (ου suprascr) *M* *δυσμενέστατος HCBVi* *γρ δυσμενέστατος (καὶ) δυστυχεστάτου* in marg Mor 10 *ὥσθ'* scripsi cum Gasda e *V* sed *ὥς* in ras m[2], *BPaMViMaCl* *εἶθ' HC* sed in hoc *ὥσθ'* suprascr *j*, Mor sed *γρ ὥσθ'* in marg, Re | *οὕτως Ma Cl* | *εἴ γέ τι B* | *ὕστερον* om *B* 11 *τῷ Pa* | *πεπονθέναι PaViMa* sed in hoc *προ* antepos m[2], *Cl* 12 *αὐτοῦ Vi* | *τούτω Ma* sed *ν* add m[2], *Cl* 13 *γε* om *Cl* 14 *ἐκοινώνησε* scripsi ex *HVCBPaVi* *ἐκοινώνησεν M* edd *ἐκοινώνησαν Ma* sed *γρ' ε* suprascr m[2], *Cl* | *μηδενὸς Ma*

τοιούτου μετεσχηκότες ἦσαν, ὁ δὲ καὶ διαρρήδην ἐπεπόνθει κακῶς, καὶ εἰ τὰ ἄλλα πάντα ἦσαν πονηροί, τοῦ τι περὶ τὸν ξένιον Δία πλημμελεῖν ἦσαν ἐλεύθεροι, καὶ τὸ μὲν ἐκείνων ἦν πλεονεξία, τὸ δὲ ⟨τούτου⟩ ἀσέβεια. πλεῖστον δὲ δήπου διαφέρει τῆς τοῦ πλείονος ἐπιθυμίας ἡττᾶσθαι ἢ τοῦ παρὰ τῶν θεῶν φόβου μείζονας εἶναι βούλεσθαι. 29. *μὴ τοίνυν ἀναισχυντῶμεν εἰς μέσον ἐκείνους φέροντες ὧν ἀτοπώτεροι πεφήναμεν. ἢ λήσομεν ἡμᾶς αὐτοὺς πλέον θέατρον ποιοῦντες. εἰ γὰρ ὧν ὡς δεινοτάτων κατηγοροῦμεν, ταῦτα ὑπερβάλλοντες ἁλισκόμεθα, | καθ' ἡμῶν αὐτῶν ἐκεῖνα* R IV 27 *κινοῦμεν.*

30. *Παρὰ πάντα δὲ ταῦτα ἐκεῖνο εἰπεῖν ἄξιον. πάντων ἐστὶν ἀλογώτατον, ὦ Τρῶες, τὰ μὲν ἐγκλήματα ἑτέρων εἶναι, τὴν δὲ τιμωρίαν ἑτέρους ὑπέχειν, καὶ*

---

1 *μετασχόντες Ma* sed *γρ´ μετεσχηκότες* suprascr m², *Cl* ; *ὁ* — 2 *ἐπεπόνθει κακῶς* in marg *Pa²* 2 *καὶ* om *Cl* inser *Ma²* | *εἰ δὲ καὶ Pa* et *γρ* in marg Mor | *τἄλλα B* 3 *τοῦ τι* scripsi *τουτὶ HCViCl* *τοῦ τὶ* reliqui libri edd | *παρὰ Vi* | *τῶν ξενιων Pa* sed *ον* supra *ων* m² *ξένον Ma* sed *ι* inser m², *Cl* | *Δία* om *Cl* inser *Ma²* | *διαπλημμελεῖν H* *πλημελεῖν PaMViMa* cf. p. 70, 12; t. III 343, 4; 397, 2 | *ἐλεύθερον Cl* 4 *καὶ* — 7 *βούλεσθαι* in marg *Pa²* | *ἐκείνων Ma* sed *ν* (2) add m² *ἐκείνου Cl* *ἐκείνῳ* Mor | *τούτου* inserui cum Gasda om libri edd 5 *πλεῖστόν τε* Gasda 6 *περὶ HCM* sed in hoc in *παρὰ* corr, *Vi* Mor sed in hoc *γρ παρὰ* in marg om in ras 4 litt *V* cf. Lyc. Leocr. § 130 p. 166, 20. Luc. Tim. 9 7 *μείζονος Vi* | *μὴ* — 12 *κινοῦμεν* in suspicionem vocavit Gasda 8 *ἐκεῖνον Ma* sed *είνους* suprascr m², *Cl* 9 *λύσομεν H* | *αὐτοὺς* om *Cl* inser *Ma²* | *θέατρον* scripsi e *ViMa* sed in hoc *γρ´ θάτερον* suprascr m², *Cl* et *γρ* in marg *M* *θάτερον* reliqui libri edd *τὴν ἀδικίαν* supra *θάτερον Mm* cf. Paul. ep. ad Cor. I 4, 9 12 *κινοῦμεν* scripsi cum *γρ* in marg *Mm* *κομιοῦμεν B* sed *κακιοῦμεν* suprascr, *MViMaCl* *κακιοῦμεν HVC* sed in hoc *κομιοῦμεν* suprascr *j*, *Pa* edd 13 *περὶ MVi* | *δὲ πάντα ταῦτα MVi* 14 *πάντων* — 15 *ὑπέχειν* omissis vocibus *ὦ Τρῶες* citat Macar fol 83r | *δὲ* ante *ἀλογώτατον Pa* sed *γὰρ* suprascr m² | *ἐστὶν* om Macar | *ἀλογώτερον Vi* 15 *ἑτέροις ὑπάρχειν VMVi*

τοὺς μὲν ἠδικηκότας ἀθῴους ἀφεῖσθαι, τοσούτοις δὲ ὕστερον χρόνοις ἄλλους ἀντ' ἐκείνων πάσχειν κακῶς. οἷον τί λέγω; Κρῆτες ἠδικήκασι; Κρησὶν ἐγκάλει. Ἰάσων ἥμαρτεν; εἰσπράττου τὴν τιμωρίαν τοὺς Ἰάσονος οἰκείους. νῦν δὲ Κρῆτες μὲν καὶ Θετταλοὶ κατὰ συμμαχίαν στρατεύουσι, Μενέλεως δὲ μηδὲν ἐγκαλούμενος ὑπὲρ τῶν ἑαυτοῦ συμφορῶν ἐκείνους συνήγαγε. καὶ οἱ μὲν τὰς προφάσεις ἐνδεδωκότες ἄλλοις ἐπαμύνουσιν, ὁ δὲ καθαρὸς αἰτίας ἐκείνων εἰς ἐπικουρίαν δεδέηται. 31. καίτοι καὶ Κρησὶ καὶ Θετταλοῖς λόγος ἐστὶν ὑπάρχων ἰσχυρός. οὐ γὰρ ἡμεῖς γε, φήσουσιν, οἱ νῦν ὄντες οὐδὲν τοὺς βαρβάρους ἀφειλόμεθα, ἀλλ' οὐδὲ ἴσμεν τὸ παράπαν, εἴ τις Εὐρώπη γέγονεν. εἰ δὲ μὴ συκοφαντία ταῦτα ἦν, ἐχρῆν τοῖς προγόνοις ἐγκαλεῖν, οὓς καταμέμ-

---

3 Dem. p. 668, 9. Plat. Theaet. p. 206 E; 208 C 8 Dem. p. 280, 19

---

1 *ἀδικοῦντας B* | *ἀθῴους* scripsi *ἀθώους* libri sed inser *Ma*² et om *Cl*, edd cf. p. 31, 15 | *ὑφεῖσθαι Vi* | *τοσούτους* et *χρόνους Pa* sed *οις* bis suprascr m² *γρ τοσούτους* in marg Mor 2 *κακῶς* om *Cl* inser *Ma*² 4 *τὴν* om *MVi* | *γρ δίκην* in marg Mor | *τοῦ HVC* et *γρ* in marg Mor | *Ἰάσονος* reposui e *BPa MMaCl* *ἰάσωνος HVCVi* edd cf p. 243, 7 et 8 5 *οἰκείαν C* et *γρ* in marg Mor 6 *μενέλαος MVi* | *μὲν Vi* | *ἀδικῶν* / *ἐγκαλούμενος* *MaCl* et in ras 10—12 litt *V* *ἀδικῶν B* 7 *συνήγαγεν M* 8 *δεδωκότες C* | *ἄλλοις* scripsi e *V* sed ex *ἀλλήλοις* corr, *BMa* sed in hoc in *ἀλλήλοις* corr m², *Cl* cum Gasda *ἀλλήλοις* reliqui libri edd 9 *ἐκείνους C* 10 *δεδέχθαι HC* sed in hoc *δεδέηται* suprascr *j*, et *γρ* in marg Mor *δεδέητο V* sed *ητο* in ras m² 12 *ἀφειλάμεθα Pa* 13 *οὐδ' ἴσμεν Ma* *οὐδεὶς μὲν Cl* | *το παράπαν ViMa* 14 *οἶδεν* post *γέγονεν MViMa* sed in hoc del m² et in marg *ἐν ἄλλῳ βιβλίῳ λείπει*, *Cl* | *εἴ Pa* sed *ἢ* suprascr m² | *ταῦτ' BMaCl* 15 *καταμέμφεσθε Pa* sed *ἐγκαλεῖτε* suprascr m² *καταμέμφεσθαι V*

φεσθε ταῦτα ἡμαρτηκέναι. εἰ μὲν οὖν οὐ κατεμέμψασθε τὴν ἀρχήν, τί νῦν ἐνοχλεῖτε; τί δὲ μεταφέρετε τὰς αἰτίας ἐπὶ τοὺς ὕστερον γενομένους; εἰ δὲ μεμφομένων κατεγέλων, ἔδει τοῖς ὅπλοις χρήσασθαι.

32. *Ὅτε τοίνυν καὶ τοῖς ἐγγόνοις τῶν δοκούντων ἡμαρτηκέναι πολλῆς εὐηθείας ἐγκαλεῖν, ἦ που πλείστης ἀναιδείας τὸ τοὺς μηδὲν ἐκείνοις προσήκοντας ἀδικεῖν. οὕτω δὲ πανταχόθεν ἀνέστραπται τὸ πρᾶγμα, ὥστε οὐ μόνον ὁ μὲν χρόνος τῆς τιμωρίας πολὺ τῶν ἐγκλημάτων νεώτερος, οἱ δὲ μηδὲν ἠδικηκότες ἀντὶ τῶν ἡμαρτηκότων ἕλκονται, ἀλλὰ καὶ τὸ τρίτον τῆς αὐτῆς ἀλογίας, ἀντὶ Φοινίκων καὶ Σκυθῶν Ἀλέξανδρος ἐπὶ τὴν τιμωρίαν ἧκεν ὥσπερ ἐκείνων ἢ παροξύνεσθαι τοῖς γεγενημένοις οὐκ εἰδότων ἢ | δίκην ὑπὲρ* R IV 28 *αὑτῶν οὐ δυναμένων λαβεῖν. καὶ μὴν εἰ μὲν οὐδὲν ἐφρόντιζον ἐκεῖνοι τῶν πεπραγμένων, πῶς ὑμᾶς ἀγανακτεῖν ἄξιον; εἰ δὲ ἀλγοῦντες ὅμως ἡσύχαζον, τί δεῖ χαρίζεσθαι τοῖς ὑπὲρ αὑτῶν οὐ κινουμένοις;* 33. *θαυμάζω δὲ εἰ μελλούσης μὲν ὑμῖν κινδυνεύειν τῆς πό-*

---

1 *τοιαῦτα B* | *οὐκ ἐμέμψασθε MaCl* 2 *ἐνοχλεῖτε* Mor sed *γρ ἐγκαλεῖτε* in marg | „*δὲ malim abesse*“ Re recte tuetur Iacobsius Lect 92 Anth. Pal. III 355 7 *ἥπου M* *εἴπου H* *ἀδικίας*

8 *ἀναιδείας B* 9 *ἀντέστραπται B* sed *τ* (1) inser m², *MMa* 10 *μὲν ὁ* Re 11 *ἡμαρτηκότες MaCl* 12 *ἀδικημάτων Ma* sed *γρ ἡμαρτηκότων* in marg m², *Cl* | *ἀλλὰ* om *Ma Cl* | *αὐτῆς* om *HVC* sed in hoc suprascr m² 13 *ἀναλογίας HC* sed in hoc *ἀλογίας* suprascr m² 15 *γενομένοις Pa* sed *γεγενημένοις* suprascr m² *γρ γεγινομένοις* (*καὶ*) *ἠδικημένοις* in marg Mor 16 *αὑτῶν* scripsi e *M* *αὐτῶν* reliqui libri edd | *οὐκ εἰδότων Pa* | *μὲν οὐδὲν*] *μὴ δὲ MaCl* 19 *αὑτῶν* scripsi e *MMa* sed in hoc ʽ ex ʼ corr m² *αὐτῶν* reliqui libri edd 20 *μὲν* om *MaCl* | *ὑμῖν Pa* sed *ῶν* supra *ῖν* m² *ἡμῖν MaCl*

λεως οὐδεὶς ἐκείνων ἐπιστρέφεται οὐδ' εἰδέναι βούλεται τὸ παράπαν οὔτ' εἴ τις Ἀλέξανδρος ὑπὲρ αὐτῶν Ἑλένην ἥρπασεν οὔτ' εἴ τινες πολέμιοι προσβάλλουσιν ἀντὶ τούτων Ἰλίῳ, ὑμεῖς δὲ ὑπὲρ τούτων οὕτω διακειμένων παροξύνεσθαι φήσετε. μωρία ταῦτα καὶ οὐδὲν ὑγιές. 34. χωρὶς δὲ τούτων, εἰ μέν ἐστιν ἐφ' ὑμῖν μεχρὶ παντὸς παροινεῖν, δίκαιον μὲν οὐδαμῶς, χρῆσθε δέ, εἰ βούλεσθε, τούτῳ· εἰ δὲ μείζων ὁ φόβος τῆς ἐξουσίας καὶ τὸ προσκαθήμενον στρατόπεδον οὐκ ἐᾷ τρυφᾶν, τί ἄν τις ληροίη περὶ τῆς Εὐρώπης τῶν ὅπλων οὐκ ἐώντων μυθολογεῖν; καὶ γὰρ εἰ μὲν ἤρκει τοῖς Ἕλλησι ταῦτ' ἀκούσασι τὴν ταχίστην ἀποπλεῖν, εἶχεν ἂν ἴσως τι χρηστὸν ἡ περὶ ταῦτα διατριβή· εἰ δὲ δεῖ δυοῖν θάτερον, ἢ διὰ τοῦ ἐκστῆναι τῆς Ἑλένης

3 t. II 569, 8 14 cf. t. II 163, 4

1 οὐδὲ *PaMaCl* 2 το παράπαν *B* | οὔτε *BPaMaCl* 3 οὔτε *BPaMaCl* Re | πολέμιοι reposui e libris cum Gasda πόλεμον edd sed γρ πολέμιοι in marg Mor | προσβαλλοῦσιν *H* προσβαλοῦσιν *CBMVi* παραβάλλουσιν *MaCl* 4 τούτων(2)] τῶν *PaMaCl* et γρ in marg Mor | διακειμένων scripsi e *MViMaCl* cum Gasda ἀδικουμένων *Pa* sed διακειμένων suprascr m² γρ ἀδικουμένων καὶ διακειμένων in marg Mor διακείμενοι *HVCB* edd 5 φάσκετε *Ma* sed γρ φήσετε in marg m², *Cl* Gasda 6 μέν ἐστιν scripsi ex *HVi* μὲν ἔστιν *B PaMMaCl* μὲν ἐστὶν *VC* edd 7 χρῆσθαι *HC* sed in hoc ε supra αι *j*, *Pa* sed ε suprascr m², *MMaCl* 8 δ' *H* | τοῦτο *CMaCl* 10 ληροῖ *Pa* | τὴν εὐρώπην *HVPaVi* et γρ in marg Mor 12 ταῦτα *MaCl* | ἀκούσασιν ἀποπλεῖν *B* ἀκούσασιν ἀπελθεῖν *MaCl* | τὴν ταχίστην om *PaMaCl* την ταχίστην *B* 13 ἂν om *MaCl* | τινὰ λόγον *B* τινὰ λόγον (τί χρηστὸν) *Pa MMaCl* et γρ in marg Mor et defendit Iacobs Add 225 | τὰ τοιαῦτα *MaCl* 14 δεῖ in δυοῖν corr *Pa* om reliqui libri | δυοῖν om *Pa* δυεῖν *CMa* | τοῦ ἐκστῆναι inserui e *MaCl* τὸ ἐκστῆναι *MVi* et γρ in marg Mor om *HVCBPa* edd

ὑμᾶς πρίασθαι τὴν ἀσφάλειαν ἢ τῶν ἀλλοτρίων ἐπιθυμοῦντας ὑπὲρ τῶν οἰκείων κινδυνεύειν, λάβετε λογισμὸν περὶ τῆς πρεσβείας ὀρθόν. 35. *τίς δὲ οὗτός ἐστι; τὸ μὴ μᾶλλον ὑπὲρ ⟨ἡμῶν⟩ τῶν ἀπεσταλκότων ἢ ὑμῶν τῶν δεξαμένων νομίζειν αὐτὴν γεγενῆσθαι μηδὲ ἀπεστερῆσθαί τινος ὑπολαμβάνειν, εἰ τὴν Ἑλένην ἡμεῖς ἀποληψόμεθα, ἀλλὰ τὰ μέγιστα ἡγεῖσθαι κερδαίνειν, εἰ τὴν Ἑλένην λαβόντες ἀρκεῖν ἡγησόμεθα. εἰ μὲν γάρ ἐστί τις ὑμῖν ἐγγυητὴς θεῶν καὶ τοῦτο οἱ μάντεις ὑπισχνοῦνται σαφῶς, ὡς, εἰ τὸ πρᾶγμα εἰς πόλεμον προβαίη καὶ τοῖς ὅπλοις τὴν κρίσιν ἐπιτρέψαιτε, ἧττα μὲν τοῖς ἠδικημένοις ἀπόκειται, τὰ δὲ τῆς Τύχης μεθ' ὑμῶν τῶν ἠδικηκότων στήσεται,* | R IV 29 *οὐκ ἂν παραινέσαιμεν ὑμῖν μὴ χρήσασθαι τοσαύτῃ πλεονεξίᾳ· εἰ δὲ τὸ μέλλον ἀκριβῶς μὲν οὐκ ἔστι προϊδεῖν, τοῖς δὲ λογισμοῖς ἀκολουθῶν τις οὐκ ἂν εὕροι χαλεπῶς ὁπο-*

---

9 Dem. p. 101, 26

---

1 *ἡμᾶς Vi* | *θηρᾶσθαι Ma* sed *γρ πρίασθαι* in marg m², *Cl* *πειρᾶσθαι Pa* sed *θηρᾶσθαι* suprascr m² *γρ πειρᾶσθαι καὶ θηρᾶσθαι* in marg Mor 3 *περὶ τῆς πρεσβείας λογισμὸν MVi* 4 *τὸ* inserui e *MMaCl* cum Boissonadio Anecd. II 285 *τὸ μὴ* inser *Pa²* om reliqui libri edd | ⟨*ἡμῶν*⟩ inserui om *τὸν* libri edd 5 *αὐτὴν B* *αὐτὸν Pa* | *μὴ δὲ HMViMaCl* | *ἀπεστερῆσθαι* scripsi e *MVi* et *γρ* in marg Mor *ἀποστερῆσθαι HVC* *ἀποστερεῖσθαι BPaMaCl* edd 7 *ἡγεῖσθαι* scripsi ex *HVPaMViMaCl* cum Boissonadio *ἡγεῖσθε CB* edd 9 *πάρεστι MaCl* | *τίς HCMa* | *πάντες Ma* sed *γρ μάντεις* suprascr m², *Cl* 11 *ἐπιτρέψαιτε* scripsi *ἐπιτρέψητε MViMaCl* *ἐπιτρέψαιμεν HVC* sed *τε* suprascr *V²C²*, *B* *ἐπιτρέψομεν Pa* sed *αι* suprascr m² | *εἴ τε ἡμῖν HC* sed in hoc del et *ἧττα* suprascr m² 13 *ἡμῶν Pa* | *παραινέσομεν Pa* sed *αι* supra *ο* m² 14 *μὴ* om *Cl* inser *Ma²* | *χρῆσθαι Ma* sed in *χρήσασθαι* corr m², *Cl* 16 *εὕροι Ma* sed *εὕρ* in ras m² *ἔροι Cl* | *ἀμφοτέροις Ma* sed *γρ' ὁποτέροις* suprascr m², *Cl* *ὁπότερα Vi*

τέροις μένει τὸ τοῦ πολέμου κράτος, ἐξετάσατε παρ' ὑμῖν αὐτοῖς, ποτέρως ἂν ὑμῖν ἔχοι καλῶς, πότερον εἰ μετὰ τοῦ τῆς Ἑλένης ὕστερον στέρεσθαι καὶ τὴν πόλιν προσαποβάλοιτε ἢ εἰ τὴν Ἑλένην ὑπὲρ τῶν ὅλων ἀποδοίητε.

36. *Εἶτά μέ τις ἐρωτᾷ· τί οὖν ἐξὸν ὑμῖν τῶν ἡμετέρων κρατῆσαι φείδεσθε τῶν δυσμενῶν; ὅτι νῦν οὐ κακὸν ποιήσοντες ἑτέρους ἥκομεν, ἀλλ' ἅ τε ἀφῃρέθημεν κομιούμενοι ὧν τε ἠδικήμεθα δίκας ἄνευ ὅπλων προσληψόμενοι. οὔκουν ἀξιοῦμεν πρὶν εἰ χωρὶς πραγμάτων τευξόμεθα τῶν δικαίων εἰδέναι πόλεμον ἐπιφέρειν τοῖς χωρὶς ἀνάγκης ἴσως ἄν τι βουλευσαμένοις μέτριον.*

37. *Ἵν' οὖν μὴ δῶμεν ἀφορμὴν τοῖς ἐπιθυμοῦσι βλασφημεῖν, ὡς οὐχ ἡ τῆς ὕβρεως ὀργὴ τὴν στρατείαν*

---

1 cf. p. 219, 14 | cf. ad p. 215, 7. Chor. Patr. t. IV p. 103, 2 R

---

1 *ἐξετάσετε Pa* sed *α* suprascr m², et *γρ* in marg Mor 3 *τοῦ* om *BMaCl* 4 *προσαπολάβοιτε HC* sed in hoc in marg *γρ προσαπόλοιτε f*, Mor *γρ προσαποβαίητε* in marg Mor 6 *τίς HMCl* | *ἡμῖν ἐξὸν B* | *ὑμῖν* inser *Pa²* *ἡμῖν HVCBViMaCl* 7 *φείδεσθε* scripsi e *MMaCl*, ut Mor, Boissonadius Anecd. II 321, Gasda coni *φείδεσθαι* reliqui libri edd | *δεσμῶν Ma* sed in *δυσμενῶν* corr m², *Cl* | signum interrogationis post *δυσμενῶν* posui ex *HC*, punctum reliqui libri edd 8 *κακῶς* (*κακὸν Pa*) *ἑτέρους* (sed *ους* in ras *Ma²*, *ἑτέροις BPa* sed in hoc *ους* suprascr m²) *ποιήσοντες BPaMaCl* | *ἀλλ' ἅ τε* scripsi *ἀλλάγε Vi* *ἀλλάγε ἃ BPaCl* et *γρ* in marg Mor *ἀλλ' ἅ γε HVCMMa* edd 10 *τῶν* ante *ὅπλων B* *ὅπλων V* sed *πλων* in ras m² *γρ ὅλων* in marg Mor | *προσληψόμενοι V* sed *σ* del *προληψόμενοι HVi* | *οὐκοῦν HC* sed in hoc in *οὔκουν* corr *f* *γρ οὐκ οὖν* in marg Mor | *πρὶν εἰ* scripsi *πρὶν ἢ εἰ HV* sed in hoc *εἰ* rubr, *Pa* et *γρ* in marg Mor et Iacobs Lect 92 *πρὶν ἢ καὶ B* edd *πρὶν ἢ* reliqui libri *πρὶν εἰ καὶ* Iacobs Not 49 12 *καὶ* ante *χωρὶς BPaMaCl* edd delevi | *ἴσως Ma* sed *ισω* in ras m² | *ἀντιβουλευσαμένοις HCMCl* | *βουλευσαμένοις Pa* sed *ο* supra *α* m² 15 *ὀργὴ* om *Pa* *αἰτία MaCl* *γρ αἰτίον* in marg Mor | *στρατιὰν MaCl*

παρεσκεύασεν, ἀλλ' ὁ πλοῦτος τῆς Πριάμου πόλεως, πᾶσι βουλόμεθα καταστῆσαι σαφὲς καὶ θεοῖς καὶ ἀνθρώποις, ὅτι καὶ Μενέλεῳ καὶ πᾶσιν ἡμῖν ἀπόχρη κατὰ πολλὴν ἡσυχίαν τῶν δικαίων τυχεῖν. ὑπὲρ μὲν οὖν τούτων πλείω λέγειν οὐκ οἴομαι δεῖν, οὐδὲν γὰρ ἐνδεῶς εἰρῆσθαι δοκεῖ, ἐπάνειμι δὲ ὅθεν ἐξέβην.

38. Ἅπασι μὲν ἀνθρώποις, ὦ Τρῶες, εἰρήνη μὲν καλόν, πόλεμος δὲ δυστυχές, καὶ τῆς μὲν ἀνθεκτέον, τὸν δὲ φευκτέον, ὡς ἐκείνης μὲν ὀρθούσης τὰς πόλεις, τούτου δὲ καταφέρειν εἰωθότος, καὶ τὴν μὲν ἄξιον καὶ παροῦσαν φυλάττειν καὶ ἀποῦσαν ὅπως ἔσται ζητεῖν, τὸν δὲ καὶ ἐπικείμενον λύειν καὶ προσδοκώμενον ὅπως μὴ γενήσεται προνοεῖν· | ἁπάντων δὲ ἀν- R IV 30
θρώπων εἰκότως ἂν ταύτην περὶ αὐτῶν ἐχόντων τὴν κρίσιν ὑμῖν πολὺ πλέον τῶν ἄλλων φροντιστέον καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῖς πᾶσιν ἀγαθοῖς ἀνθοῦσαν

6 cf. t. IV 122, 6. Dem. p. 298, 12   16 Luc. Scyth. 9 (Bergk Poet. lyr. fr. adesp. t. III p. 693, 18[4])

2 *βούλεται Vi* | *σαφὲς* reposui e libris, ut coni Re *σαφῶς* edd | *θεοῖς* scripsi e *BPaMaCl* *θεῷ* reliqui libri edd   3 *Μενέλεῳ* scripsi *μενέλαος Vi* *μενέλεω* reliqui libri sed e *μενελέω* corr *Cf*, edd | *ὑμῖν ἀποχρήσει Vi*   4 *ὑπὲρ Ma* sed *ὑ* in ras m[2]   5 *τούτου Pa* | *οἶμαι Ma* sed in *οἴομαι* corr m[2], *Cl* | *οὐδὲν* scripsi e *Vi* *οὐδὲ* reliqui libri *οὐ* edd   6 *μοι* ante *δοκεῖ B* et (suprascr) *Pa*[2] edd delevi | *δοκεῖ* scripsi ex *HVPa* sed in hoc *δοκῶ* suprascr m[2], *Vi* *δοκῶ* reliqui libri sed *εῖ* supra *ῶ Ma*[2], edd   7 *γὰρ C* sed e *μὲν* corr *j*, *Pa* sed in hoc *μὲν* suprascr m[2], *MVi MaCl*   8 *δυστυχής HViCl* | *τῇ PaMa* sed in hoc *ς* add m[2], *Cl* et *γρ* in marg Mor | *προσεκτέον PaMa* sed in hoc *γρ' ἀνθεκτέον* suprascr m[2], *Cl* et *γρ* in marg Mor   10 *καταφέρειν* scripsi e *PaM ViMaCl* et *γρ* in marg Mor cf. t. I 147, 25; II 27, 2 *καταστρέφειν H VCB* edd   11 *καὶ ἀποῦσαν*] *ἀποῦσαν δὲ Pa* *ἀποῦσαν*] *μὴ παροῦσαν MaCl*   12 *δὲ* in *μὲν* corr *Ma*[2]   13 *μὴ* om *M* | *γένηται MVi* *γένοιτο MaCl* | *πονεῖν HV* *πράττειν B* sed *προνοεῖν* suprascr, *PaMViMaCl* et *γρ* in marg Mor   14 *καὶ περὶ αὐτὴν Pa* sed *περὶ αὐτῶν* suprascr m[2] | *τούτων B*   15 *μᾶλλον MaCl*   16 *τοῖς πᾶσιν*] *τοσούτοις MaCl* | *ἀνθεῦσαν* M. Schmidt Philol. X 626

οἰκεῖτε πόλιν καὶ λόγος πανταχοῦ πεφοίτηκεν εὐδαιμονέστατον ἀνθρώπων εἶναι Πρίαμον, καὶ αὐτὸν καὶ τοὺς ἀρχομένους. ὅσοις μὲν γὰρ τῶν ἀνθρώπων οὐκ εὖ τὰ πράγματα ἕστηκε, τούτους μὲν οὐδὲν ἀπεικὸς ἑτοίμους ἐπὶ τὸ πολεμεῖν χωρεῖν, ἢ γὰρ κρατήσαντες ἀλλοτρίων ἀγαθῶν ἐγένοντο δεσπόται ἢ σφαλέντες οὐκ ἐν μεγίστοις ἐζημιώθησαν· ὑμῖν δὲ καὶ τοῖς ἐγγύτατα ὑμῖν εὐδαιμονίας ἥκουσι πολλῆς δεῖ τῆς βουλῆς, εἰ πόλεμον πρὸ εἰρήνης αἱρετέον, μᾶλλον δὲ οὐδὲ βουλεύσασθαι τοῖς οὕτως ἔχουσιν ἄξιον, εἰ μή, νὴ Δία, βουλῆς δεῖσθαι φήσουσιν εἰς τὸ μαθεῖν, πότερον ἡ τῶν ὑπαρχόντων ἀπόλαυσις ἄμεινον ἢ τούτων ἐστερῆσθαι.

39. *Ἐξετάσωμεν, ὦ Τρῶες, τὰ παρόντα ὑμῖν ἀγαθὰ τοῖς χαλεποῖς ἐκείνοις παραβάλλοντες. δεῖ δὲ οὐδὲν εὐλαβεῖσθαι τὸ βλάσφημον τοῦ λόγου. ἃ γὰρ ἐφ' ὑμῖν ἐστι μὴ παθεῖν, τί ἂν τὴν τούτων ἀκοὴν δυσχεραίνοιτε; ἆρ' οὖν ἴσον ἢ παραπλήσιον ἔξω κινδύνων ἐν εὐπαθείᾳ διάγειν ἢ μεθ' ὅπλων ἐν αἵματι, καὶ χρηστὰς*

---

1 *πόλιν οἰκεῖτε V* | *λόγοις HVi* | *πανταχῇ V* *γρ πάντων* in marg Mor | *πέφυκεν Pa* sed *γρ πεφοίτηκεν* in marg m^2 2 *ἀνθρώπων* om *B* 3 *τοὺς Ma* sed *ὺς* in ras m^2 4 *τούτοις MaCl* 5 *ἑτοίμους* inser *Ma*^{2} *ἑτοίμως*^{ους} *M* *ἑτοίμως PaCl* 7 *ὑμῖν* — 13 *παρόντα* in marg *Pa*^{2} 8 *ὑμῶν BVi* *τῆς ὑμῶν Pa*^{2}*MMaCl* et *γρ* in marg Mor | ⟨*εἰς λόγον*⟩ *εὐδαιμονίας* coni Re | *δεῖται MaCl* | *εἰς Ma* sed *ς* eras, *Cl* 9 *οὐδὲ* om *Cl* inser *Ma*^{2} | *οὐδὲ βουλεύσασθαι* om *Pa*^{2} sed *βουλεύσασθαι* inser m^3 10 *νὴ Δία* om *HVCB* 11 *φήσουσι V* | *εἰς* om *V* 12 *ἀμείνων Pa*^{2} | *τούτων*] *τὸ τῶν ὄντων BPa*^{2}*MaCl* et Boissonad. Anecd. II 482 | *ἐστερῆσθαι* reposui e libris *στερῆσθαι* edd 13 *οὖν* post *ἐξετάσωμεν M* 14 *παραβαλόντες M* | *δὲ* om *Cl* inser *Ma*^{2} 15 *ἐν Vi* 16 *ἔνεστιν ἢ παθεῖν ἢ μή C* sed ex *ἐστι μὴ παθεῖν* corr *f*, *BPaMViMaCl* et *γρ* in marg Mor cf. p. 250, 6 17 *ἆρ'* scripsi ex *HCViMaCl* *ἄρ' VBPaM* edd | *ἴσον M* *ἶσον* reliqui libri edd 18 *αἵματι*^{σι} *Pa*

ἔχειν ἐλπίδας περὶ τῶν συγγενῶν ἢ τὴν παροῦσαν ἡμέραν ἀεὶ τελευταίαν ἡγεῖσθαι καὶ καλεῖν συμμάχους, ὧν οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἥξουσιν, οἱ δὲ ἄκοντες ἐλθόντες ἐθελοκακήσουσιν ἐπὶ τῆς χρείας; ἐκεῖνο δὲ ἴσον ἢ προσόμοιον εὐφημίας ἢ μίσους παρὰ τῶν περιοίκων τυγχάνειν; 40. *οὐκ ἴστε ὅτι νῦν μὲν ἅπαντες ὑμῖν καὶ τοῖς ὑμετέροις πράγμασι συνεύχονται τὰ βελτίω, εἰ δὲ ὁ πόλεμος ἐμπέσοι, πρῶτοι τῶν ἀνιαρῶν αἰσθήσονται περιπλεόντων ἡμῶν καὶ ληιζομένων τὸ προστυχὸν καὶ τὰς μὲν τῶν πόλεων περικοπτόντων,* | R IV 31 *τὰς δὲ ἄρδην ἐξαιρούντων καὶ μήτε θάλατταν μήτε ἤπειρον τὴν ὑμῖν ὅμορον ἔξω τῶν κακῶν ἀφιέντων;* 41. *οἱ δὲ τοιαῦτα δι᾽ ὑμᾶς ὑπομένοντες, ὦ πρὸς θεῶν, ἔσθ᾽ ὅπως ἂν ὑμῖν ἔχοιεν εὐμενῶς; τί δ᾽ ἔστιν ὅπερ οὐκ ἂν ὑμῶν κατεύξαιντο τῶν σωμάτων αὐτοῖς εἰς θάνατον καὶ δουλείαν δι᾽ ὑμᾶς μεριζομένων; οὐκοῦν*

---

4 cf ad t. IV 254, 9

---

1 *ἔχειν* om *HVCBVi* | *καὶ* ante *περὶ Ma* sed eras, *ἔχειν καὶ Cl* | *γενῶν BPaMa* sed in hoc *συγ* antepos m², *Cl* et *γρ* in marg Mor | *ἢ* om Mor 3 *τὴν ἀρχὴν M* sed ' et ' eras *τηναρχὴν B* 4 *ἶσον HVCBMaCl* 5 *πρὸς ὅμοιον HMVi* | *περὶ M Vi* 6 *μὲν* om *MaCl* 8 *πέσοι MaCl* | *ἀνιαρῶν C* sed *νιαρῶν* in ras *f* (*ή* suprascr) *ἀριμασπῶν HV* et *γρ* in marg Mor | *αἰσθήσονται H* *ησθήσονται V* *αἰσθάνθονται Vi* *αἴσθονται Pa* sed *γρ αἰσθήσονται* (*αἰσθήσονται* suprascr) suprascr m², *MaCl* *αἴσθονται B* 11 *μήτε* (2) scripsi ex *HPaMViMaCl* *μήτ᾽* reliqui libri edd 13 *τὰ τοιαῦτα* e Par 3017 Boissonade Anecd. II 482 | *ὑμῖν Pa* sed *γρ δι᾽ ὑμᾶς* suprascr m² | *ὦ πρὸς θεῶν* om *Cl* in marg inser *Ma*² | *θεοὺς Vi* 14 *ἔσθ᾽ Ma* sed *ἔσ* in ras m² *εἶθ᾽ Cl* | *ὅπως Ma* sed *π* in ras m² *οὕτως Pa* sed *ὅπως* in marg m², *Cl* | *ἡμῖν* Re | *δ᾽* scripsi ex *HCMVi* *δέ BCl* *δὲ* reliqui libri edd | *ἔστιν* scripsi ex *HCVi* *ἔσθ᾽ M* *ἐστὶν* reliqui libri edd | *ὅπως VPa MVi* et *γρ* in marg Mor 16 *δι᾽ ὑμᾶς* om *MaCl* | *οὐκοῦν* scripsi ex *HCPaMViMa* *οὐκ οὖν* reliqui libri edd

πρὶν ἡμᾶς ἀπώσασθαι τοῖς ἀστυγείτοσι πολεμίοις χρήσεσθε; καί τοι τί τῶν ἐν ἀνθρώποις ἀντάξιον τῆς τοσαύτης δυσμενείας;

42. Τὰ κελευόμενα ἡμᾶς ἄρα δεῖ ποιεῖν, ἐρεῖ τις, ὥσπερ οὐκ εἰδότας ὅτι μηδαμῶς εἴκειν τοῖς πολεμίοις ἀνδρῶν ἐστιν. ἡμεῖς δὲ τὸ μὲν ἀφίστασθαι τῶν οἰκείων τοῖς πλεονεκτεῖν ἐπιχειροῦσι φόβῳ τῶν κινδύνων αἰσχρὸν ἡγούμεθα καὶ τοῦτο ἔργῳ δῆλον πεποιήκαμεν. ὅπως γὰρ μηδεὶς Ἑλλήνων τῶν ὑπαρχόντων στεροῖτο μηδὲ καταγελάσειαν τῶν πεπονθότων οἱ δεδρακότες, πελάγη μὲν οὕτω μακρὰ διεβάλομεν, τιμιωτέραν δὲ τὴν τῶν λελυπηκότων τιμωρίαν τῆς μετὰ τῶν φιλτάτων διατριβῆς πεποιήμεθα, γνώμη δὲ αὕτη νενίκηκεν ἢ λαβεῖν ταῦθ' ὑπὲρ ὧν ἥκομεν ἢ μαχομένους πεσεῖν. 43. τοῖς μὲν οὖν ὑπὲρ τῶν τοιούτων ἀγωνιεῖσθαι μέλλουσι τὸ μὴ τολμᾶν πολεμεῖν δειλίας αἰτίαν ἔχει, εἰ δέ τινες ἃ μὴ καλῶς ἔλαβον ἀποδοῦναι δέον πολεμεῖν μᾶλλον αἱροῖντο, οὐκ ἀνδρίας

---

1 *ὑμᾶς ἀποσπᾶσθαι Vi ἀποσπᾶσθαι ὑμᾶς HC* sed in hoc *οσπᾶ* in *ώσα* corr *f*, et *γρ* in marg Mor *ἀποσ ᾶσθαι ὑμᾶς V* sed *σ α* in ras m², | *χρῆσθε Pa* sed *χρήσεσθε* suprascr m², *MaCl* 2 *τῶν C* sed in *τῷ* corr *f* *τούτων Vi* | *ἀνάξιον Ma* sed *τ* inser m², *Cl* | *τῆς* om *BPaMaCl* 3 *τοιαύτης Cl* 4 *ὑμᾶς Pa* sed *γρ ἡμᾶς* suprascr m² | *ἆρα HVMVi* 5 *τίς HCl* | *ἥκειν HVi* 6 *πολεμίοις* scripsi ex *HVCBPa* sed in hoc *πολεμίοις λόγοις* suprascr m², *MVi* et *γρ* in marg Mor *πολεμίων λόγοις MaCl* edd 8 *δῆλον πεποιήκαμεν* scripsi ex *HV BPaMViMaCl* et *γρ* in marg Mor *δεδηλώκαμεν C* edd 10 *στέροιτο Vi* | *μηδὲ* scripsi cum Gasda *μὴ δὲ BPa μὴ Ma* sed in *μήτε* corr m², *Cl* *μήτε* reliqui libri edd 11 *διεβάλομεν* scripsi e *CB* *διεβάλλομεν HVVi* et *γρ* in marg Mor *διέβημεν PaMMaCl* edd 14 *αὐτὴ Pa* | *ταῦτα PaMaCl* 15 *μὲν* om *MaCl* | *τῶν* om *BPa* 16 *ἀγωνεῖσθαι Pa* sed *ι* ante *ει* eras, *Ma* sed *ι* ante *ει* inser m², *Cl* 18 *ἐροῖντο H* | *ἀνδρίας* scripsi e *BMVi* *ἀνδρείας* reliqui libri edd cf. p. 262, 4; II 326, 2; 474, 16; et ad IV 232, 19

οὗτοί γε δόξαν, ἀλλ' ἐμπληξίας λαμβάνουσι καὶ τοσοῦτον ἀπέχουσι τοῦ δοκεῖν τι βεβουλεῦσθαι λαμπρόν, ὥστε διπλοῦν φέρονται τοὔνειδος, ἐκ μὲν ὧν τὴν ἀρχὴν ἠδίκησαν, πονηρίας, ἐκ δὲ ὧν ἐπὶ πολλῷ κατέχουσιν, ἀναισθησίας. οὐ γὰρ ἐν τῷ πολεμεῖν ἁπλῶς τὸ τῆς εὐκλείας προσγίνεται, ἀλλ' αἱ τῶν πολέμων προφάσεις | R IV 32 *ἢ καλοὺς αὐτοὺς εἶναι δοκεῖν ποιοῦσιν ἢ μὴ τοιούτους. τῆς γὰρ αὐτῆς ἀτοπίας δειλίᾳ τε καταπροδοῦναι τὸ δίκαιον καὶ θρασύτητι τὸν ὑπὲρ τῶν οὐ προσηκόντων ἐπισπάσασθαι κίνδυνον.* 44. *εἰ μὲν οὖν μὴ παθόντες ἡμεῖς κακῶς μηδ' ἐπ' ἐγκλήμασι δικαίοις κεκινημένοι μηδὲ τῶν οἰκείων ἀμφισβητοῦντες, ἀλλὰ τῶν ἀλλοτρίων ἐπιθυμοῦντες οὕτω πολλὴν καὶ μεγάλην στρατιὰν ἀγείραντες ἢ βοῦς ἀπηλαύ-*

---

1 Aeschin. p. 84, 30; 50, 9   4 Dem. p. 13, 22; 103, 2; 372, 1

---

1 *οὔτι M* | *ἐκπληξίας Pa* Mor | *καίτοι τοσοῦτον σχήσουσι Ma* sed *γρ καὶ τοσοῦτον ἀπέχουσι* in marg m², *Cl καίτοι τοῦτον ἴσχουσι Pa* sed *τοσοῦτον ἀπέχουσι* suprascr m²   2 voce *ἀπέχουσι* desinit *V* | *τι* om *B* *τί M* | *λαμπρῶς B*   3 *διπλῆ MaCl* | *φέρονται* reposui ex *HBPaMViMaCl* cum Gasda *φέροντα C* *φέροντας* edd | *τοὔνειδος* scripsi e *MVi* coll t. II 547, 2; IV 446, 18 *τὸ συνειδός Pa* *τὸ ὄνειδος* reliqui libri edd | *τηναρχὴν B* cf p. 255, 3; 264, 3   4 *πολλῶν HMVi* et *γρ* in marg Mor   6 *τὰ PaMaCl*   7 *αὐτοὺς Ma* sed *ου* in ras m² | *δοκεῖν ποιοῦσιν*] *δοκοῦσιν Pa* et *γρ* in marg Mor   8 *τίς γὰρ αὕτη ἀτοπία HC* sed in hoc in *τῆς γὰρ αὐτῆς ἀτοπίας* corr *f* | *δειλίαν τε καὶ Vi*   9 *μὴ* post *καὶ Vi*   11 *μὴ δ' MVi* *μὴ δὲ MaCl*   12 *δικαίως Pa* sed *γρ δικαίοις* suprascr m² | *κεκινημένοι — οἰκείων* om *Pa* sed *γρ* in marg m² | *μὴ δὲ MVi* | *τῶν οἰκείων ἀμφισβητοῦντες* scripsi e *MVi* et *γρ Pa*² et *γρ* in marg Mor *τῶν οἰκείων δικαίων ἀμφισβητοῦντες MaCl* *τῶν οἰκείων ἐπιζητοῦντες H* *τὰ οἰκεῖα ἐπιζητοῦντες CB* edd cf. p. 277, 10
14 *στρατείαν HMVi* | *ἀγείραντες* scripsi e *PaMViMaCl* cum Gasda et Cobeto Misc 156 *ἀνεγείραντες HC* sed in hoc *ἀγείραντες* suprascr *f* *ἐγείραντες B* et *γρ* in marg Mor *συνεγείραντες* coni Re | *ἀπελαύνομεν HC*

νομεν ἢ περιετεμνόμεθα γῆν ἢ τῶν ἐντὸς τείχους χρημάτων ἐζητοῦμέν τι μέρος, εἶθ' ὑμεῖς ὑπεκύπτετε ῥᾳδίως ἀγαπῶντες εἴ τις ἐάσει ζῆν, πάνυ ἂν ὑμῶν ἐμεμψάμεθα τὴν ἄγαν ἀπραγμοσύνην· εἰ δὲ τὰ μὲν ὑμέτερα βουλοίμεθα ἂν ὑμῖν ἀκέραια μένειν, αὐτοὶ δὲ ὑπὲρ ὧν ἀφῃρέθημεν ἥκομεν, οὐχ ὁρῶμεν ἥντινα ὑμῖν ἕξει λαμπρότητα τοῦ πολέμου τὸ σχῆμα. 45. οὐδὲ γὰρ εἰ σφόδρα πρόδηλον ἦν ὡς ἡ Τύχη μεθ' ὑμῶν παρατετάξεται, οὐκ ἂν ἦν ὑγιαινόντων ὑπὲρ τοιούτων κινδυνεύειν ἄθλων, ὧν τὸ μὲν διαμαρτεῖν εὔδαιμον, τὸ δὲ κρατῆσαι δυστυχές. τὰ γὰρ ἀδίκως κτηθέντα βέλτιον ἀποθέσθαι μᾶλλον ἢ διὰ τέλους κατέχειν. καὶ οἵ γε λογίζεσθαι δυνάμενοι μετὰ τοῦ προσθεῖναι χρημάτων πλῆθος ἥδιστα ἂν ἀπαλλαγεῖεν τοσαύτης συμφορᾶς.

---

1 Her. IV 159   2 cf. t. III 9, 10   10 cf. p. 110, 5

---

1 *περιετεμνόμεθα* scripsi auctore Gasda *παρατεμνόμεθα M παρετεμνόμεθα* reliqui libri edd | *χρημάτων* om *Pa* 2 *τι* scripsi auctore Gasda *τὸ* libri edd | *ὑπέκυπτε Ma* sed *τε* post *τε* add m², *Cl* *ὑπεκκύπτετε* Iacobs Phil. 393 3 *ἐάσει* scripsi ex *HCM* cum Iacobsio Add 30 Lect 92 *ἐάσῃ Vi* *ἐάσειε* reliqui libri edd | *ὑμῖν BPaMViMaCl* et *γρ* in marg Mor et Boissonade Anecd. II 356 4 *ἐμεμψάμην B* sed ex *ἐμεμψάμεθα* corr, *PaMaCl* et *γρ* in marg Mor | *τὴν ἄγαν ἀπραγμοσύνην* scripsi ex *HCB* et *γρ* in marg Mor *τῆς ἄγαν ἀπραγμοσύνης* reliqui libri edd | *μὲν* om *MaCl* 5 *βουλοίμεθα ἂν*] *βουλοίμεθ' Pa* *καταλίποιμεν MaCl* *βουλόμεθα* Iacobs Lect 92 | *ἐν* ante *ὑμῖν Ma* | *δ' B* 8 *παρατετάξεται* reposui ex *HCB MVi* et *γρ* in marg Mor cum Iacobsio Add 30 coll t. II 76, 7; IV 443, 11 et t. IV 816, 23 R *παρατάξεται Ma* sed *τε* antepos m², *Cl* et coni Gasda *παρατάξαιτο Pa* edd 10 *μὲν* om *Cl* inser *Ma*² | *διαμαρτάνειν B* *ἁμαρτεῖν HC* et *γρ* in marg Mor *διαμαρτυρεῖν Cl* 11 *δυσχερές B* | *τὰ* — 12 *κατέχειν* omissa *γὰρ* particula citat Macar fol 83ᵛ 12 *κατασχεῖν διὰ τέλους PaMaCl* et Boissonade Anecd. IV 429 | *διατέλους CB* 14 *ἥδιστ' MaCl* *ἥκιστα HC* sed *κ* in *δ* corr *f*, et *γρ* in marg Mor | *ἀπηλλάγησαν Ma* sed *γρ ἀπαλλαγεῖεν* suprascr m², *Cl* | *τοιαύτης Cl*

καίτοι ποῦ καλὸν ὑπὲρ τοιούτων ἀγωνίζεσθαι τοῖς σώμασιν, ἃ καὶ εἰ μηδὲ εἶεν οἱ ἀπαιτοῦντες, εἶχε καλῶς ἐκβαλεῖν; 46. *οὑτωσὶ δὲ σκοπῶμεν ἐν βραχεῖ. Ἑλένην κάλλιστον εἶναι κτῆμα τῶν ἐν Ἰλίῳ κρίνετε; οὐκ οἶμαί γε τοὺς σώφρονας. οὐκοῦν ἂν μὲν ἀποδῶτε τοῦτο, οὐχ ἕξετε ᾧ παρόντι δυσχεραίνετε· ἂν δὲ πολεμεῖν | ἕλησθε, κρατηθέντες μὲν μετὰ τοῦ τὴν* R IV 33 *πόλιν ἀποβαλεῖν οὐδὲ ἐκείνην ἕξετε, νικήσαντες δὲ κεκινδυνευκότες ἂν εἴητε ὑπὲρ ὧν οὐ χρῄζετε.*

47. *Εἰ δὲ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν, τοῦτο μόνον ἁπάντων πραγμάτων πρόδηλον ἔχει τὴν τελευτὴν καὶ ποτέρων ἔσται τὸ κράτος. μαντείας μὲν οὖν καὶ φήμας καὶ διοσημείας καὶ τὰ φαντασθέντα τὴν πρώ-*

1 cf. t. II 387, 14 4 Il. *γ* 156 10 Dem. p. 54, 28 13 Il. *β* 300 sq.

1 *που H* | *ἀγωνίζεσθαι* scripsi ex *HCBMViMaCl* *ἀγωνίσασθαι Pa* edd 2 *καὶ* om *BMaCl* | *εἰ μηδὲ εἶεν οἱ ἀπαιτοῦντες* scripsi ex *HCMVi* *μηδενὸς ἀπαιτοῦντος BPaMa* sed in hoc del et *καὶ εἰ μὴ δὲ εἶεν οἱ* in marg m², *Cl* edd 3 *ἐκβαλεῖν* scripsi e *BPaMViMaCl* *ἐκβάλλειν HC* edd | *δὲ* om *Pa* | *Ἑλένην κάλλιστον εἶναι κτῆμα τῶν ἐν* scripsi *ἑλένην κάλλιστον εἶναι κτημάτων* (*κτῆμα C*) *ἐν C* sed *ἑλένην* inser *f*, *M* *κάλλιστον εἶναι κτήματα* (*κτημάτων Vi*) *ἐν HVi* *κάλλιστον εἶναι τὴν ἑλένην κτῆμα MaCl* *κάλλιστον εἶναι κτῆμα τὴν ἑλένην ἐν B* *κάλλιστον εἶναι κτῆμα τὴν ἑλένην Pa* edd 5 *γε* om *Vi* | *μὲν ἂν Pa* 6 *ὡς HC* sed in hoc in *ᾧ* corr *f* | *δυσχεραίνετε Ma* sed *αι* in *α* corr et *γρ εἴτε* supra *ετε* m² | *καὶ Pa* sed *δὲ* suprascr m² 7 *ἕλοισθε MVi* *ἕλεσθε Ma* 8 *οὐδ' PaMVi* *οὐ σὲ Cl* | *ἕξετε Ma* sed *ε* (3) in *' ἂν* corr m² 9 *καὶ* ante *κεκινδυνευκότες HCBPa* edd delevi cum Sinteni | *οὐ χρῄζετε*] *ἐχρῄζετε ViMa* sed in hoc *οὐ* inser m², *Cl* 10 *μὴ δὲ H* *μηδὲν C* sed *ν* add *f* | *τοῦτο πρόδηλον ἁπάντων ἔχει μόνον Pa* et *γρ* in marg Mor 11 *πραγμάτων* om *Cl* inser *Ma*² 12 *καὶ ποτέρων* reposui ex *HPaMViMaCl* sed in hoc del et *ποτέρων* in marg m², et *γρ* in marg Mor *ὁποτέρων C* sed *ὁ* in *καὶ* corr *f*, *B* sed *ὁ* suprascr, edd | *τὸ* om *Vi* 13 *διοσημίας MaCl* *θεοῦ σημεῖα HCBVi* et *γρ* in marg

την ἐν τῇ συλλογῇ τοῦ στρατοῦ καὶ ὅσα τοιαῦτα, παρίημι, μή τις ἀλαζονείας αἰτιάσηται τὸν λόγον. ἀλλὰ τίς οὐκ οἶδεν ὅτι δύο ταῦτα μάλιστα τοῖς ἀγωνιζομένοις τὴν νίκην φέρει, ἓν μὲν τὸ τῆς στρατιᾶς ὑπερβάλλον, ἕτερον δὲ τῶν κρειττόνων ἡ συμμαχία; 48. πότερον οὖν, ὦ Τρῶες, εἶναι νομίζετε Πρόνοιαν καὶ Δίκην καὶ Νέμεσιν καὶ περινοστεῖν τὰ ἀνθρώπεια καὶ τοὺς μὲν χρηστοὺς ἐπαινεῖν, τοῖς δὲ πονηροῖς ὀργίζεσθαι, καὶ τοῖς μὲν ἀποδιδόναι χάριν, παρὰ δὲ τῶν εἰσπράττεσθαι δίκην; ἔστι ταῦτα, ὦ Τρῶες, ἢ οὔ; ἔστιν, εἴ τε βούλεταί τις εἴτε μή. τί δέ, ὡς ἂν ἐθέλωσι, ταῦτα ἀνάγκη πράττεσθαι; ἀνάγκη. οὐκοῦν ἐκ τούτου δῆλον ὅτι κἂν

---

4 cf t. I 527, 3 6 Orph. hymn. prooem. 30

Mor | φαντασθέντα scripsi e *MVi* φοιβανθέντα *HC* φοιβαθέντα *B* edd sed γρ φανθέντα in marg Mor φαθέντα *Pa* φανέντα *MaCl* | κατὰ ante τὴν inserendum coni Re | τηνπρώτην *B*

1 ἐν τῇ συλλογῇ scripsi e *BPaMViMaCl* et γρ in marg Mor συλλογὴν *HC* edd | καὶ ὅσα τοιαῦτα om *Cl* in marg inser *Ma*² 2 τι *M* | ἀλαζονείας — τὸν λόγον scripsi e *MaCl* ἀλαζονείας et τῶν λόγων *CVi* ἀλαζονείαν et τῶν λόγων reliqui libri edd 3 μάλιστα inser *Pa*² 4 τῆς om *Pa* Mor | στρατιᾶς scripsi e *MaCl* Par 3017 cum Gasda στρατείας reliqui libri edd 5 πρότερον *HC* sed in hoc in πότερον corr *f* 6 Πρόνοιαν scripsi ex *HCMVi* et γρ in marg Mor θεοὺς reliqui libri edd | καὶ Νέμεσιν om *HC* et γρ in marg Mor 7 *„post περινοστεῖν deesse videtur ἐπισκοποῦντας“* Re at cf. Plut. conv. p. 155 C τὰ τεκτόνων καὶ λιθοξόων ἔργα περινοστεῖς | ἀνθρώπινα *B* sed εια suprascr, *Pa* et γρ in marg Mor 8 χρηστοὺς om *MaCl* 9 περὶ *HBVi* περὶ *C* (suprascr. αρὰ) 10 ὦ Τρῶες om *B* | ἢ οὔ; ἔστιν] ἔστιν (ἐστὶν *H*) ἢ οὔ *HCMVi* 11 ἐθέλωσι *C* sed ν οἱ θεοὶ add *f* οἱ θεοι suprascr *Pa*² | ἀνάγκη πράττεσθαι scripsi ex *HPaMViMaCl* πράττεσθαι ἀνάγκη *CB* edd 12 ἀνάγκη om *PaViMaCl* inser *Cf* | ὅτι om *Cl* inser *Ma*²

εἰ κομιδῇ τινας εὐαριθμήτους Μενέλεως ἀγείρας ἐπεστράτευσεν, ἔδει τὰ τῆς νίκης εἶναι τοῦ τὸ δίκαιον ἔχοντος σύμμαχον. 49. τοσαύτης δὲ οὔσης τῆς παρὰ τῶν κρειττόνων ἐπικουρίας τοσοῦτον συνερρύηκε πλῆθος ὥστε μηδένα λόγον τῆς ἀκριβείας ἐφικνεῖσθαι. πολλοῦ γὰρ χρόνου διελθόντος ἀφ' οὗ τὴν γῆν ἄνθρωποι νέμονται καὶ πολλῶν ἤδη συστάντων πολέμων, | τῶν μὲν πρὸς ὁμόρους, τῶν δὲ ἐπὶ τῆς ὑπερ- R IV 34
ορίας, οὐδεὶς οὔθ' ἑώρακεν οὔτ' ἀκήκοεν οὕτω πολλὴν κίνησιν τοῖς Ἕλλησι γεγενημένην. οὔτε γὰρ ναῦς οὔτε ἵππος οὔτε ἀνὴρ ὅπλα φέρειν δυνάμενος, οὐκ ἄρχων, οὐκ ἰδιώτης, οὐ τοξότης, οὐ ψιλὸς ἀπολείπεται τοῦ στόλου, ἀλλὰ πάντες πανταχόθεν ἀνήχθησαν. οὕτω πολὺς ἔρως τοῖς Ἕλλησιν ἐνέπεσεν ὑπὲρ τῶν δικαίων μάχεσθαι. 50. καὶ τίς ἂν ἐξαριθμήσαιτο τοὺς καθ' ἕκαστον, ὅπου γε καὶ τοὺς ἑκάστων βασιλέας οὐκ εὐχερές; ἀλλ' ἐν κεφαλαίῳ λέγω. πᾶσα μὲν ἧκεν ἡ Βοιωτία, πᾶσα δὲ ἡ Πελοπόννησος, Ἄργος Πελασγικόν,

---

1 cf. t. IV 284, 5 8 cf. t. I 522, 19 15 cf. Xen. Hell. VI 1, 19 17 Xen. Cyr. VI 3, 18 18 Il. β 494; 559 sq. 681 sq.

---

1 τινας *Pa* sed ὀλίγους suprascr m², Mor sed γρ ὀλίγους in marg | εὐαρίθμους *MVi* | ἐστράτευσεν *MVi* ἐστράτευεν *H CB* ἐπεστράτευεν *MaCl* 2 τὰ inser *Pa*² 4 ἀπερρύηκε *Ma* sed συν supra ἀπ m² ἐπερρύηκε *Cl* 5 ἀφικνεῖσθαι *HC* 6 δὲ *M* | οἱ ante ἄνθρωποι *Pa* edd delevi 7 πολέμων συστάντων πολλῶν ἤδη *B* Re πολέμων συστάντων πολλῶν *C* | πολέμων συστάντων *MaCl* | πολεμίων *M* 8 ὁμοίους *Pa* sed γρ ὁμόρους in marg | δ' *MaCl* 10 γενομένην *MaCl* | οὔθ' ἵππος οὔτ' *BPaMaCl* 12 οὐ ψιλὸς om *Cl* inser *Ma*² | ἀπολέλειπται? 13 ἀνηνέχθησαν *MaCl* et supra ἀνήχθεισαν *Pa*² | οὕτως *Cl* 15 καθέκαστον *PaMVi* 16 βασιλέας scripsi ex *HCMVi* βασιλεῖς (έας suprascr.) *B* βασιλεῖς *PaMaCl* edd 17 ἧκεν om *MaCl* 18 πελοπόνησος *CPaMMaCl* | πελαγικόν *Ma* sed σ inser m², *Cl*

ἡ τούτων ἐχομένη, ἐπὶ τούτοις Εὔβοια, Κρήτη, Κεφαλληνία, Σαλαμίς, Ἀθῆναι, πολλοὶ μὲν ἠπειρῶται, πολλοὶ δὲ ἀπὸ τῶν νήσων. καὶ τῶν ἀρχόντων οἱ μὲν ἀνδρίᾳ νικῶσιν, οἱ δὲ συνέσει κρατοῦσι, παρὰ δὲ τοῖς ἀμφοτέρων ἡ κτῆσις καὶ τοὺς αὐτοὺς εὕροι τις ἂν καὶ συμβουλεῦσαι δεινοὺς καὶ πολεμῆσαι κρατίστους. οἴεσθε δέ τινα καὶ σοφὸν εἶναι παρ' αὐτοῖς, εἰ δὲ βούλεταί τις, καὶ πανοῦργον, ἱκανὸν τὰ μὲν ἐκ τοῦ φανεροῦ κατεργάσασθαι, τὰ δὲ κλέψαι λανθάνοντα.

51. *Ἀλλὰ καὶ παρ' ἡμῖν, φησί, τινές εἰσιν ἄνδρες ἀγαθοὶ καὶ συμμάχους οὐκ ὀλίγους κεκλήκαμεν μεθ' ὧν διοίσομεν τὸν πόλεμον. ἔστι μὲν οὖν ὁ πρὸς ταῦτα λόγος φορτικώτερος, οὔτε γὰρ ἑαυτὸν ἐπαινεῖν τινα νοῦν ἔχειν ἡγοῦμαι τό τε ἑτέρους κακίζειν προχείρως μικροψυχίας ἄν τινος εἴη, δεῖ δὲ ὅμως χρήσασθαι παρρησίᾳ, τοὺς δὲ λόγους τῆς ἀνάγκης νομιστέον.* 52. *ὡς μὲν οὖν ἰσχὺς κράτιστον*

---

1 Isocr. p. 60 c | Il. β 536; 645; 631 2 Il. β 557; 546

---

1 *ἡ τούτων ἐχομένη Pa* sed *οἱ τούτων ἐχόμενοι* suprascr m² *οἱ τούτων ἐχόμενοι MViMaCl* et *γρ* in marg Mor 2 *ἠπειρῶται* scripsi *Ἠπειρῶται* edd 3 *καὶ* ante *οἱ Vi* 4 *ἀνδρίᾳ* scripsi e *BMVi* *ἀνδρείᾳ HCPa* edd *ἀνδρείως Ma* sed *α* suprascr m², *Cl* cf p. 256,18 5 *αὐτοὺς* om *Pa* sed *γρ* suprascr m² | *τίς HVi*
7 *δή MaCl* | *δὲ* om *Cl* inser *Ma*² 10 *ὑμῖν Ma* sed *υ* in *η* corr m² et *γρ ἡμῖν* in marg m², *Cl* | *φησίν Ma* sed *γρ φησι* in marg m², *Cl* | *τινές εἰσιν* om *Ma* sed *γρ* in marg m², *Cl* | *τινές* om *Pa* 11 *θαυμαστοὶ Vi* 12 *κεκλημένοι Ma* sed *γρ κεκλήκαμεν* in marg m², *Cl* | *ἡμῶν διοισομένους PaMa* sed in hoc *γρ ὧν διοίσομεν* in marg m², *Cl* *γρ ἡμῶν διοίσομεν* in marg Mor | *τὸν πόλεμον* — 17 *κράτιστον* om *Pa* 13 *δὲ ὁ μὲν Ma* sed *γρ μὲν οὖν ὁ* suprascr m², *Cl* | *οὔτε* — 15 *προχείρως* omissa *γὰρ* particula citat Macar fol 83ʳ 14 *ἐπαινεῖν ἑαυτὸν* Macar | *αὐτὸν Ma* sed ᾿ in ῾ corr m², *Cl* | *καὶ τὸ Ma* sed *γρ τό τε* suprascr m², *Cl* *οὔτε* Macar 15 *προχείρως κακίζειν MVi* et supra *κακίζειν προχείρως Ma*²

ἐν πολέμῳ καὶ ὡς εὐβουλία μεῖζον ἰσχύει χειρῶν πολλάκις καὶ ὥς, εἰ καὶ χειρῶν μάλιστα δεῖται πόλεμος, ταῦτα πάντα παρ' ἡμῖν μετὰ πολλοῦ τοῦ κρείττονος, ἐάσω. ἀλλ' ἐκεῖνο ἂν ἐροίμην ἡδέως ὑμᾶς, πότερον νοῦν ἔχοντας κεκλήκατε συμμάχους ἢ οὔ; εἰ μὲν οὖν ἀποπλήκτους καὶ τετυφωμένους, εὐχῆς ἂν εἴη τοῖς τοιούτοις προσπολεμεῖν· εἰ δὲ σώφρονας καὶ λογίζεσθαι δυναμένους, πῶς | ὑπακούσονται καλούντων εἰδότες ὡς ὑπὲρ τῶν ἀδίκων μαχοῦνται; καὶ πῶς κύρια ταῦτα καταστήσουσιν ὧν, εἴπερ φρονοῦσι, κατηγοροῦσι; R IV 35

53. *δύο γὰρ ἅπαντας ἀνθρώπους ἐπὶ τοὺς πολέμους παρακαλεῖν πέφυκεν, ἢ τὸ προειδέναι τὴν ῥοπὴν ἐφ' ἑαυτοὺς ἥξουσαν ἢ τὸ τὴν ὑπόθεσιν εἶναι τῶν κινδύνων θαυμαστήν, καὶ νῦν μὲν τὸ κέρδος διώκοντες, νῦν δὲ τὴν φιλοτιμίαν θηρεύοντες ἀξιόχρεως προφά-*

---

15 Her. I 156

---

1 *μείζων Pa* sed *μεῖζον* suprascr m² 2 *ὡσεὶ HMVi* *εἰ καὶ* om *C* 3 *πάντα* om *PaCl* inser *Ma²* | *κατὰ* in ras *Cf* 5 *κέκλητε H* | *οὖν* om *PaCl* inser *Ma²* 6 *ἀποπλήκτους* scripsi e *PaMViMaCl* et γρ in marg Mor *ἐμπλήκτους HCB* edd 7 *πρὸς πολέμω Ma* sed γρ *προσπολεμεῖν* suprascr, *Cl* 9 *πῶς* scripsi e *PaMaCl* *ὅπως HCBMVi* edd sed γρ *ὅπερ* in marg Mor 10 *καταστήσουσιν* scripsi e *Pa* *καταστήσουσι Ma* sed *ν* in marg add m², *Cl* *καταστήσωσιν HCBMVi* edd | *ὧν — κατηγοροῦσι* om *Cl* in marg inser *Ma²* | *φρονοῦσι* scripsi ex *HCMViMa²* *εὐφρονοῦσι BPa* edd 11 *δύο* — 264, 1 *νομίζουσιν* omissa *γὰρ* particula citat Macar fol 83ʳ | *ἅπαντας ἀνθρώπους ἐπὶ τοὺς πολέμους δύο ταῦτα* Macar 12 *ῥοπὴν C* sed γρ *νίκην* suprascr *f* | *τῆς νίκης* post *ῥοπὴν MMa* sed in hoc add m², et γρ in marg Mor et praeferendum censet Re 13 *ἑαυτοὺς* scripsi e *CBPaMMa* et γρ in marg Mor *ἑαυτοῖς HViCl* Macar edd sed *ἑαυτοὺς* praeferendum censet Re | *ἥξουσιν H* 14 *τοῦτο MVi* et γρ in marg *Ma²* et γρ in marg Mor 15 *ἀξιόχρεως προφάσεις* scripsi *ἀξιοχρέους προφάσεις MViMaCl* *ἀξιόχρεως πρόφασις H* *ἀξιόχρεω προφάσεις C* *ἀξιοχρε.....* (litterae evanuerunt) *φασεις Pa* *ἀξιόχρεω πρόφασιν B* *ἀξιόχρεων πρόφασιν* Macar edd

σεις ὑποκεῖσθαι τῷ πολέμῳ νομίζουσι. τούτων δὲ οὐδέτερον ὁ παρὼν πόλεμος τοῖς γε μεθ' ὑμῶν ἐσομένοις προδείκνυσιν, ὥστε ἢ τὴν ἀρχὴν οὐχ ὑπακούσονται νοῦν ἔχοντες ἢ τῇ παρουσίᾳ τὴν ἄνοιαν ἐπιδείξουσι. 54. χωρὶς δὲ τούτων ἡμεῖς μὲν ἀθρόοι συντεταγμένοι κατήρκαμεν καὶ τοῖς βασιλεῦσι τὰ τῶν συμμάχων οὐκ ἐν ἐλπίσιν ἐστίν, ἀλλὰ τοσούτους ἦλθον ἄγοντες ὥστε, εἰ Τροίας μόνης ἀποπειρᾶσθαι δεήσειε, πολλοὺς ἂν οὐκ ἔχειν εἰς ὅ,τι χρήσαιντο σφίσιν αὐτοῖς μικροτέρου τοῦ ἔργου καθεστῶτος τῆς τῶν ἐπελθόντων χειρός· ὑμῖν δέ, εἴ τινες ἄρα καὶ βοηθοῖεν, οἱ μὲν θᾶττον ἴσως, οἱ δὲ σχολαιότερον ἥξουσιν, ὅσον ἕτερος ἑτέρου κατὰ τὸν τόπον ἀφέστηκε, τοσοῦτον ὑστερίζων κατὰ τὸν χρόνον. 55. ἂν οὖν ὑμεῖς μὲν

---

6 Thuc. VIII 39, 3

---

1 *προκεῖσθαι Ma* sed *γρ ὑπο* suprascr m^2, *Cl* Par 3017 et probat Gasda 2 *οὐδὲν ἕτερον H* | *πόλεμος* om *HC* | *ἡμῶν Pa* 3 *τηναρχὴν B* | *οὐχ* om *M* 4 *παρρησία Ma* sed *γρ παρουσία* suprascr m^2, *Cl* | *ἄγνοιαν Pa* sed *γρ ἄνοιαν* suprascr m^2, et *γρ* in marg Mor 5 *δὲ* om *MaCl* | *ἀθρόοι Pa* sed *ῶς* suprascr m^2 *ἀθρόοι M* *γρ ἀθρόως* in marg Mor 6 *κατήρκαμεν* scripsi ex *HCMViMaCl* *κατήραμεν BPa* sed in hoc *γρ κατήρκαμεν* suprascr m^2, edd | *γρ βασιλεύουσι* in marg Mor 7 *γρ ἐστὶ* inser *Ma*^{2} *ἔτι Cl* et *γρ* in marg Mor 8 *ἀγῶνας Ma* sed *γρ ἄγοντες* suprascr m^2, *Cl* | *ὡς οὐ Ma* sed *γρ ὥστε εἰ* in marg m^2, *Cl* sed *ου* eras *ὥς οὐ Pa* | *μόνον Ma* sed *γρ μόνης* in marg m^2, *Cl* | *εἰ δεήσειεν Ma* sed *γρ δεήσειεν* in marg m^2, *Cl* *δοκήσειε Vi* 9 *δ'* ante *ἂν Pa* Mor del Re | *χρήσονται MaCl* 11 *οἵτινες HCVi* et in marg *Pa*^{2} | *βοηθοῖεν* scripsi ex *HCl* *βοηθεῖεν* reliqui libri edd sed *γρ βοηθεῖν ἐθέλωσιν* in marg *Pa*^{2} et Mor 12 *οἱ μὲν* inser *Cf* om *H* Mor sed in hoc *γρ οἱ μὲν* in marg | *ἴσος* Mor sed *γρ ἴσθι* in marg | *σχολαιότερον Ma* sed *γρ παλαιότερον* suprascr m^2 (*παλαιότερον* Ambr E 92 fol 54^v) 13 *ἀφέστηκε Ma* sed *ἐ* supra *ἀ* m^2 *ἐφέστηκε Cl* 14 *ὑστεριζόντων Ma* sed *γρ ὑστερίζων* in marg m^2, *Cl* cf. t. III 459,8; IV 480, 7

ἀντιτείνητε πρὸς τὴν πρεσβείαν, οἱ δὲ βοηθήσοντες ὑμῖν μελλήσωσι, τοῖς δὲ Ἕλλησι λοιπὸν ᾖ τὰ ὅπλα προσαγαγεῖν, ἆρ᾽ οὐ κατόπιν, εἰ καὶ δυσχερὲς εἰπεῖν, τῶν πραγμάτων παρέσονται καὶ τοῦ καιροῦ τῆς ὠφελείας παρελθόντος ἐπὶ τὴν τῶν συμφορῶν | ἀφί- R IV 36
ξονται θέαν; οὐ γὰρ δὴ ταύτην παρ᾽ ἡμῶν ἐπαγγελεῖτε τὴν χάριν οὐδέ γε πέμψαντες κήρυκας ἐκεῖνα ἐρεῖτε, ὅτι ὦ βέλτιστοι, τί ἐπείγεσθε; ἀναμείνατε Λυκίους ἡμῖν καὶ Παίονας ἐλθεῖν, ὥστε καὶ ἡμᾶς ἔχειν μεθ᾽ ὅσων παραταξόμεθα.

56. *Ἀλλὰ πάντα ἀφίημι ταῦτα καὶ θῶμεν ἢ πάντας ἤδη παρεῖναι τοὺς ἐπικούρους ὑμῖν ἢ καθεδεῖσθαι τοὺς Ἕλληνας ἀργοῦντας, ἕως ἂν εὐπορήσωσιν ἀντιπάλων· ἥξουσι πολλοὶ πολλαχόθεν συνδιασώσοντες Ἴλιον. οὐκοῦν τὸ μὲν πλῆθος ἴσον ἀμφοῖν, εἰ δοκεῖ, λογιζώμεθα, τὰς δ᾽*

---

8 Il. β 876 et 848

---

2 *μελλήσουσι PaMa* sed *ω* supra *ου Pa*^{2}*Ma*^{2} *μελήσουσι HC* | *δὲ Ἕλλησι* scripsi ex *HCBPaMVi* *δ᾽ ἕλλησι MaCl* *Ἕλλησι δὲ* edd 3 *προσαγαγεῖν Pa* sed *γρ προσάγειν* in marg m^2, Mor sed *γρ πρὸς ἁρπαγὴν* in marg *καὶ προσάγειν MMaCl* et *γρ* in marg *Pa*^{2} *πρὸς ἁρπαγὴν HCBVi* | *ἆρ᾽* scripsi ex *HCBPaMVi* *ἆρα MaCl* edd | *δὲ* ante *καὶ H* *καὶ* om *M*

5 *τῇ* et 6 *θέα Vi* 6 *ἐπαγγελεῖτε* scripsi *ἐπαγγέλλετε* (*λεῖ* supra) *M* *ἐπαγγέλλετε HVi* *ἐπαγγέλλεσθε CB* edd *ἀπαγγελεῖτε Pa* et *γρ* in marg Mor *ἀπαιτήσετε Ma* sed *γρ ἐπαγγέλετε* (*εῖ* supra) in marg m^2, *Cl* 7 *γε* om *Vi* 8 *μὴ Ma* sed *γρ τί* suprascr, *Cl* | *γρ ἐπάγεσθε* in marg Mor 9 *ὡς B* 10 *οἵων PaMa* sed in hoc *γρ ὅσων* suprascr m^2, *Cl* 12 *καὶ* ante *τοὺς H* | *καθεδεῖσθαι C* sed *δεῖσθαι* e *λεῖτε* corr *f* *καθελεῖσθαι H* *καθεδεῖσθε Vi*

14 *πολλαχόθεν* om *Cl* inser *Ma*^{2} | *διασώσοντες ViMa* sed in hoc *γρ συνδιασώσοντες* in marg m^2, *Cl* *διασώζοντες Pa* sed *σον* suprascr m^2 15 *ἶσον HMaCl* | *λογιζόμεθα HPa* sed in hoc *ο* (2) in *ω* corr m^2, *MMaCl* *λογισόμεθα Vi* | *τὰ δὲ ἀρετῆς Ma* sed *γρ τῶν δ᾽ ἀρετῶν* suprascr m^2, *Cl* | *δὲ Pa*

ἀρετὰς παραλλήλους θέντες ἐξετάσωμεν. 57. *εἰ δὲ ὑπερβολῇ προσήκει χρῆσθαι, δεδόσθω μήτ' Ἀχιλλέως μήτ' Αἴαντος ἑκατέρου μήτε Διομήδους μήτ' Ἰδομενέως, μὴ Τεύκρου, μὴ Σθενέλου, μὴ Μενεσθέως, ἐμαυτὸν γὰρ καὶ τοὺς βασιλεῖς ἀφήσω καὶ πολλοὺς ἄλλους καλοὺς κἀγαθοὺς στρατηγούς, δεδόσθω νῦν μηδενὸς εἶναι τούτων φαυλοτέρους ἐκείνους οἷς φατε πιστεύειν εἰς τὴν νίκην. ταῦτα κοινὰ θέντες τὴν ἀνάγκην σκεψώμεθα μεθ' ἧς ἑκάτεροι τῶν ἔργων ἀψόμεθα.* 58. *οὐκοῦν ἐκείνους μὲν ἄγει παράκλησις καὶ δέησις καὶ τὸ βούλεσθαι Πριάμῳ χαρίζεσθαι, ἡμῖν δὲ τὸ μὲν βούλεσθαι χαρίζεσθαι τοῖς Ἀτρείδαις κοινὸν πρὸς ἐκείνους ἐστί, πρόσεστι δέ γε καὶ τὸ τῶν ὑπηκόων δίκαιον. ἐκείνοις μὲν γὰρ ἔξεστιν ὅσον βούλονται χαρισαμένοις μηκέτι τοῦ λοιποῦ πρὸς ἀνάγκην ταλαιπωρεῖσθαι, ὥστε καὶ τῆς ἐπικουρίας καὶ τῆς ἀναχωρήσεως ὅρος αὐτοῖς ἡ γνώμη· ἡμῖν δὲ ἡ προαίρεσις οὐχ ἕξει μεταβολήν, βεβαιοῦται γὰρ τῇ*

---

1 *παρ' ἀλλήλους MVi* | *ἐξετάσομεν HPa* sed in hoc *ο* in *ω* corr m[2] 2 *προσῆκε Vi* | *χρῆσθαι* scripsi ex *HPaMViMa Cl* *κεχρῆσθαι C* edd *χρήσασθαι B* | *μήτε MVi* | *μήτε HPaM Vi* 3 *μήτε Vi* | *μὴ* scripsi ex *HBPaMVi* *μήτε CMaCl* edd 4 *μήτε* (2) *PaMaCl* 5 *καὶ* ante *ἄλλους HCVi* 6 *τούτων εἶναι* (*οἷς* supra) *MaCl* 7 *οἷς Ma* sed *γρ οὓς* suprascr m[2] *οὓς M* *οὓς Vi* 8 *τινα Pa* sed *κοινα* suprascr m[2] | *κινηθέντες* Mor sed *γρ κοινὰ θέντες* in marg 9 *ἀψόμεθα* reposui ex *HCPa MViMaCl* Par 3017 cum Boissonadio Anecd. II 316 *ἀψώμεθα B* edd 10 *ἄγει* scripsi ex *HCMVi* *ἐγείρει BPaMa* sed in hoc *γρ ἄγει* suprascr m[2], edd *ἐγείρει* (*ἀ* supra) *Cl* 11 *ἡμῖν* — 12 *χαρίζεσθαι* om *Pa* sed add in marg m[2], *ViMa* sed in hoc praemisso *κείμενον* in marg m[2], *Cl* 12 *δ'* ante *ἀτρείδαις Vi*, *δὲ Pa* | *τοῦτο* ante *κοινὸν ViMa*, *δὲ τοῦτο Cl* | *κοινόν ἐστι πρὸς ἐκείνους M* 13 *γε*] *τι Vi* 14 *ὅσοι Ma* sed *ν* supra *ι* m[2], *Cl* | *χαρισαμένοις Ma* sed *υ* supra *ι* m[2] *χαρισαμένους M* | *τοῦ Ma* sed ˜ eras *τουλοιποῦ BVi*

τῶν βασιλέων ἀνάγκη. 59. τὸ δέ γε ἔτι τούτου μεῖζον, πολὺ γὰρ βελτίοσι τῶν Ἀτρειδῶν βασιλεῦσι καὶ ἰσχυροτέροις ὁμολογίας δεδώκαμεν ἦ | μὴν ἐκπολιορ- R IV 37 κήσειν τοὺς ἀδικοῦντας τὸν Ἑλένῃ συνοικοῦντα, καὶ οὐδ' ἂν εἰ σφόδρα βουλοίμεθα προκαταλῦσαι τὴν προθυμίαν ἡμῖν ἀκίνδυνον. τί δὲ τοῦτο ἔστιν; ἔτι νέας οὔσης Ἑλένης κομιδῇ ἀνεῖπεν ὁ θεὸς ἔσεσθαί τινα περὶ τὸ γύναιον ταραχήν. ὡς οὖν πολλοὶ πολλαχόθεν οἱ κράτιστοι συνῆλθον μνηστεύοντες, ἔδοξεν ἔτι ἀδήλου τοῦ μέλλοντος ὄντος πίστιν ποιήσασθαι καὶ ὅρκους ἰσχυροὺς ἦ μὴν τοὺς ἀποτυγχάνοντας βοηθήσειν τῷ ληψομένῳ κατὰ τῶν ἀδικούντων. ᾤετο γὰρ ἕκαστος ἐν μετεώρῳ τοῦ πράγματος ὄντος αὑτῷ ταύτην ἀποτίθεσθαι τὴν ὠφέλειαν. 60. καὶ νῦν ἡμᾶς ἐπὶ τὴν στρατείαν ἤγειρεν ὁ Ζεύς, ὁ Ἀπόλλων καὶ πάντες οἱ

---

3 cf t. IV 925, 21. Eur. Iph. Aul. 58 sq. et 77 sq. Papyr. Berol. (Klassikertexte V 1) 12 cf t. III 438, 7

---

1 *τούτων Vi* 2 *πολλὴν HC* | *βελτίοσι καὶ ἰσχυροτέροις* (*ἰσχυροτέρας* Mor) *ὁμολογίας* (om Mor) *δεδώκαμεν βασιλεῦσιν ἥμεις ἐκπολιορκήσειν τοὺς ἀδικοῦντας τὰ* (*τὸν* Mor) *ἑλένῃ συνοικοῦντα Pa* et *γρ* in marg Mor 4 *ἀδικοῦντας τὸν Ἑλένῃ συνοικοῦντα* scripsi e *PaMViMaCl* cum Gasda qui *τῇ* ante *Ἑλένῃ* inseri vult *ἀδίκως τῇ ἑλένῃ συνοικοῦντας HC* sed in hoc in *ἀδικοῦντας τὸν ἑλένῃ συνοικοῦντα* corr *f*, *B* edd 5 *προκαταλύσαι HMaCl* *καταλύσαι Vi* 6 *ἀκίνδυνον ἡμῖν Vi* | *ἡμῖν* om *Pa* sed in marg inser m², *Cl* inser *Ma*² *γρ ἡμῶν* in marg Mor | *εἴη* post *ἀκίνδυνον* inserendum? | *ἑστὶ Ma* sed in *ἑστὶν*; *ἔτι* corr m², *Cl* | *ἔτι* om *PaMaCl* 7 *κομιδῇ τῆς ἑλένης Pa MaCl* *τῆς ἑλένης κομιδῇ* edd | *ἂν εἶπεν HVi* *εἶπεν MaCl* 9 *ἔδειξεν Pa* sed *γρ ἔδοξεν* in marg m², et *γρ* in marg Mor | *ἔτι* inserui ex *HC* Par 3017 et *γρ* in marg Mor cum Boissonadio Anecd. V 54 *ἔτ' PaMViMaCl* om *B* edd 11 *ἡμῖν Pa* sed *ἦ μὴν* in marg m² | *ἢ HCl* | *μὴν Ma* sed *η* corr m² | *τοὺς* inserui e libris cum Boissonadio om edd | *ἐπιτυγχάνοντας H* 13 *ἔτι BMa* sed in hoc *γρ ἐν* suprascr m², *Cl* et *γρ* in marg Mor | *μετεώρου BPaMaCl* | *αὐτῷ HCMViMaCl* 15 *ἤγειραν MaCl* | *καὶ* om *BPaCl* inser *Ma*²

θεοί. καὶ λιπεῖν τὴν τάξιν οὐκ ἔνεστιν, εἰ μή τις μέλλει τὰς τῶν βαρβάρων χεῖρας φεύγων περιπεσεῖσθαι ταῖς τῶν θεῶν καὶ τὰ ὅπλα δεδιὼς πολεμήσειν τοῖς κρείττοσιν. ἆρα ὑμῖν δοκεῖ Πρίαμος παραπλησίους στρατιώτας συλλέγειν καὶ τὴν αὐτὴν ἔχοντας τοῦ μέχρι παντὸς κινδυνεύειν ἀνάγκην; οὐ γὰρ εὔδηλον ὅτι, κἂν τὸ τυχὸν ἀντικρούσῃ, ταχέως μεμνήσονται τῆς οἰκείας οὐδενὸς ὄντος ὃ φοβερωτέραν ποιήσει τὴν ἀναχώρησιν τῆς μονῆς; ἀλλ' οὐ τά γε ἡμέτερα τοιαῦτα, ἀλλὰ τὸ μένοντας ἀποθνήσκειν μετριώτερον φαίνεται τοῦ μετ' ἐπιορκίας σώζεσθαι.

61. Φέρε δὴ καὶ τὰ λοιπὰ σκοπήσωμεν καὶ ὅπως εἰς ἄνισον πόλεμον ὑμᾶς αὐτοὺς ἐμβαλεῖν ἐπιθυμεῖτε ὑπ'

---

7 cf ad t. III 437, 10

---

1 ἔστιν *HCMVi* 2 μέλλει scripsi e *PaVi* μέλλοι *HCB MMaCl* edd | φεύγων χεῖρας *PaMaCl* φεύγειν *H* ἐκφεύγων *B* 4 κρείττοσιν reposui e libris κρείττοσι edd | ἆρ' *PaMaCl* ἄρα *M* | δοκεῖτε *Ma* sed γρ δοκεῖ suprascr m², *Cl* | Πρίαμος Mor sed γρ πριάμῳ in marg | παραπλησίως *Cl* et γρ in marg Mor 5 κινδυνεύοντας *Ma* sed γρ ἔχοντας suprascr m², *Cl* 6 γρ καὶ γὰρ in marg Mor | εὔδηλον scripsi e *PaMViMaCl* Par 3017 et γρ in marg Mor cum Boissonadio Anecd. II 483 ἄδηλον *HC* sed in hoc εὔ suprascr *f*, et coni Gasda ἔνδηλον *B* edd | ἐὰν Iacobs Ach. Tat. 800 7 τὸ om *MVi* | ταχέως om *Cl* inser *Ma*² | τῆς οἰκείας (οἰκίας *M*) μεμνήσονται *MVi* | τῆς om *Pa* | οἰκίας *HCPaMMaCl* 9 signum interrogationis posui e *M* punctum reliqui libri edd | γε om *HCMVi* | τοιαῦτα reposui e libris et γρ in marg Mor cum Gasda ταῦτα edd 10 φαίης *Ma* sed φαίνεται suprascr m², *Cl* 12 δὲ *Vi* 13 τὸν πρὸς ante ἡμᾶς in marg *Pa*² et edd, πρὸς *Ma* sed eras et παρ' ἄλλω βιβλίω λείπει ἡ πρὸς in marg m², *Cl* delevi | ὑμᾶς scripsi e *CBVi* et γρ in marg Mor ἡμᾶς *HPaMMaCl* edd | αὐτοὺς scripsi ex *HCBMVi* ἑαυτοὺς *PaMaCl* edd sed γρ αὐτοὺς in marg Mor | ὑπ' ὄψιν ἀγάγωμεν om *HCBMVi* ἐξηγάγομεν *Pa* sed ὑπ' ὄψιν ἀγάγωμεν in marg m², et γρ in marg Mor

ὄψιν ἀγάγωμεν. οὐκοῦν ἡμῖν μὲν παῖδες καὶ γυναῖκες καὶ τὰ ἄλλα ἀγαθὰ πόρρω που τυγχάνει κείμενα ἐπὶ τῆς Ἑλλάδος ἐν σκέπῃ τοῦ πολέμου κἄν, ὃ μὴ γένοιτο, σφαλῆναι | συμβαίη, τῆς χείρονος οὐ μεθέξουσι R IV 38 τύχης, ἀλλ' ἐν τοῖς ἡμετέροις σώμασιν ὁ κίνδυνος ἵσταται· εἰ δὲ ὑμεῖς τι πταίσαιτε, τοῖς ὅλοις ἐπταικότες ἂν εἴητε καὶ δεῖ συναπολεῖσθαι τοῖς ἀποβαίνουσι τὸ τῆς πόλεως ἔδαφος. 62. καίτοι τίς οὕτω σφόδρα μεγαλόψυχος, ὅστις ἂν ὑπὲρ οὕτως ἀνομοίων ἄθλων ἀναρρίψειε τὸν κύβον μέλλων, εἰ μὲν κρατήσειεν, οὐδὲ μικρὸν κερδανεῖν, εἰ δὲ σφαλείη, τοῦ παντὸς στερήσεσθαι; ἔτι τοίνυν τὴν μὲν ἡμετέραν χώραν οὐδείς ἐστιν ὁ ποιήσων κακῶς, ἡ δὲ ὑμετέρα στρατόπεδον ἡμῖν γίνεται, καὶ τὴν τροφὴνποριοῦμεν ἀπὸ τῶν

---

3 Her. VII 172, 1 et 215 . 6 Dem. p. 155, 25. Thuc. II 43, 3; V 16, 4 8 Dem. p. 99, 19; 134, 14; 803, 29

---

1 *ἡμῖν μὲν οὖν M* | *μὲν* om *BPaCl* inser *Ma*^{2} | *οἷς* ante *παῖδες MaCl*, *οὖν οἷς Vi* 2 *τἄλλα M* 3 *γένηται H* 4 *συμβῇ Ma* sed *γρ συμβαίη* suprascr m^2, *Cl* et *γρ* in marg Mor et e Par 3017 Boissonade Anecd. II 322 *συ* . . . . . . (litterae evanuerunt) *Pa* cf. t. IV 49, 18 6 *δ' PaMaCl* | *ἡμεῖς M* | *τι* scripsi e *Ma* cum Iacobsio Anth Pal III 496 om *M Vi* et *γρ* in marg Mor *τί HCBPaCl* edd | *πταίσαιτε* scripsi *πταίσητε HM Vi* et *γρ* in marg Mor *πταίσετε CBPaMaCl* edd „*malim πτήσαιτε*" Re 7 *συναπολεῖσθαι* scripsi e *MaCl* *συνυποκεῖσθαι* reliqui libri sed *γρ συναπολεῖσθαι* in marg *Pa*^{2} et *γρ συναπολέσθαι* suprascr *Pa*^{3}, edd sed *γρ συναπολέσθαι* in marg Mor. De infinitivo futuri cf t. III praef. p. XXIX ad p. 275, 14; t. IV 404, 6 8 *οὕτω* — 9 *ὑπὲρ* om *Pa* | *οὗτος Vi*

9 *ἀναρρίψειε Ma* sed *γρ ἀναστρέψειε* suprascr m^2 et *παροιμία ἐπὶ τῶν ῥιψοκινδυνούντων ἀνθρώπων* in marg m^2 cf ad t. II 520, 5; IV 280, 19 10 *οὐδὲν Vi* 11 *μικρὸν* om *Vi* | *κερδάνεῖν Ma* sed ʹ eras *κερδαίνειν PaCl* et *γρ* in marg Mor | *στερηθήσεσθαι PaMaCl* 12 *μὲν* om *HCPa* sed in hoc inser m^2 | *χώραν τὴν ἡμετέραν Vi* 13 *οὖν* ante *ἐστιν Pa* sed del m^2 | *κακόν Ma* sed *ῶς* suprascr m^2, *Cl* | *εἰ δ' ὑμέτερον Pa* sed *ἡ δὲ ὑμετέρα* suprascr m^2 | *δ' MaCl* 14 *ἡμῖν* om *PaCl* inser *Ma*^{2} | *γίνεται* reposui e libris sed *ε* in ras *Ma*^{2} *γίγνεται* edd

ὑμετέρων καρπῶν καὶ βοσκημάτων, καὶ διχῇ δεήσει δαπανᾶσθαι τὸ Ἴλιον τῶν μὲν συμμάχων αἰτούντων, τῶν δὲ πολεμίων ἁρπαζόντων, καὶ τῶν μὲν οἰκειότητος ὀνόματι λαμβανόντων, τῶν δὲ πολέμου νόμῳ ληιζομένων. 63. καὶ μὴν οὐδὲ ἐκεῖνο παραπλήσιον. εἰ μὲν γὰρ μεθ' ὑμῶν τὸ δαιμόνιον γένοιτο καὶ τὰ πράγματα ἡμῖν εἰς ἔσχατον προβαίνοι κακοῦ, πρόχειρον καθελκύσασι τὰς ναῦς ἔξω γενέσθαι τῶν δεινῶν καὶ πρὸς βραχὺ τῷ καιρῷ παραχωρήσαντας αὖθις ἐπιπλεῖν, ἡνίκα βέλτιον· εἰ δ' ἐφ' ὑμῶν τὸ αὐτὸ συμβαίνει, τίς ὑμῖν ἔσται πόρος; τίς μηχανὴ τῆς ἀκαιρίας ἰσχυροτέρα; οὐ γὰρ δὴ τὴν πόλιν γε μεθορμιεῖτε πρὸς τὸ ἀσφαλές. ἀλλ' ἐγὼ μὲν εἰπεῖν οὐ βούλομαι, τοῦ δὲ πράγματος ἡ τελευτὴ καταφαίνεται.

64. Οἱ μὲν λογισμοὶ ταῦτα καὶ πολλὰ τοιαῦτα παριστῶσιν, ὦ Τρῶες, ἔστι δ' ἐφ' ὑμῖν μὲν ὁποτέραν βούλεσθε τραπέσθαι, βέλτιον δὲ ἐκείνην ἀφ' ἧς ὕστε-

2 cf. t. IV 123, 9 9 Plat. Prot. p. 336 B; leg. XII p. 959 E 11 cf. ad t. IV 380, 8 14 Her. III 69, 1

1 καλῶν *HCM* sed in hoc γρ καρπῶν in marg, et γρ in marg Mor | διχῇ libri edd cf t. IV 359, 13 5 οὐδ' *PaMaCl* | μὲν om *C* 6 ἡμῶν *M* sed η in υ corr *y*, *Vi* 7 γρ εἰς τὸ ἔσχατον in marg *Pa*² et Mor τὸ del Re | προβαίνοι scripsi e *MViMaCl* προβαίνει *Pa* προβαίνῃ *H* προβαίη *CB* edd | κακοῦ om *Pa* 8 τῶν δεινῶν γενέσθαι *MaCl* | προσβραχὺ *BMViMaCl* 10 δὲ *HVi* Mor | ἀφ' *Pa* sed γρ ἐφ' in marg m², et γρ in marg Mor | ἡμῶν *CMa* sed in hoc η ex υ corr m², γρ in marg *Pa*² Mor sed in hoc γρ ὑμῶν in marg | τὸ] τι Mor | συμβαίνοι *BPaMVi* συμβαίνῃ Re 11 ἡμῖν Re | ἔστω *HMVi* 12 γε om *Cl* inser *Ma*² 15 ταῦτα καὶ πολλὰ om *Vi* | πολλὰ om *Cl* inser post τοιαῦτα *Ma*² τὰ *M* 16 παριστᾶσιν *Pa* sed ω suprascr m² | δὲ *PaMaCl* | ἡμῖν Re | μὲν inserui ex *HBPaMMa* sed in hoc inser m², om *CViCl* edd

17 βούλεσθε scripsi e *CBPaViMaCl*, ut coni Re βούλεσθαι (ε suprascr) *M* βούλεσθαι *H* edd | τρέπεσθε *H* | ἐφ' *Ma* ὑφ' *M*

ρον ὑμᾶς αὐτοὺς ἐπαινέσεσθε. καὶ γὰρ εἰ μὲν ἅπαντες, ἐρῶ γάρ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι, συνῳκεῖτε τῇ ἀνθρώπῳ, | τάχ' ἂν εἶχε συγγνώμην κοινὴν ἡδονὴν ὠνήσασθαι κινδύνου· εἰ δὲ τοῦτο οὐκ ἔνεστιν, οὐδ' ἂν γένοιτό ποτε, τίς ἡ πολλὴ πρόνοια τῆς Ἀλεξάνδρου τρυφῆς; ὅτι, νὴ Δία, κρατεῖ; τοῖς δὲ κρατοῦσιν ὑπουργεῖν ἄξιον, κἂν παρανομῶσιν, ὦ Τρῶες; κἂν ἀποσφάττωσι τοὺς ἀρχομένους; κἂν παῖδας καὶ γυναῖκας ἀνδραποδίζωνται, κἂν πυρπολῶσι τὴν πόλιν; R IV 39
65. *ταῦτα τοίνυν Ἀλέξανδρος ἐπενήνοχεν Ἰλίῳ. ὁ γὰρ τὴν ἀνάγκην παρεσχηκὼς τοῦ ταῦτα ποιεῖν ἑτέροις οὗτος ἂν αὐτόχειρ νομίζοιτο τούτων ὧν καθέστηκεν αἴτιος. εἶτα τοῦτον βασιλέα προσερεῖ τις εὖ φρονῶν τὸν οὐ καταλιπόντα ὧν βασιλεύσει; οὐκ οἶσθ' ὅτι τὸ τῆς ἀρχῆς ὄνομα τοῦ κρείττονός ἐστι,*

---

12 Isocr. Phil. p. 112 d

---

15 *τοῦ κρείττονος*] *ἀνθρώπου δηλονότι MMa*

---

1 *ἐπαινέσεσθαι HPaM* | *καὶ γὰρ* — 2 *συνῳκεῖτε* scripsi ex *HCB* *καὶ γὰρ εἰ μὲν ἅπαντες, ἐρῶ γάρ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι, εἰ μὲν ἅπαντες συνῳκεῖτε MVi* *καὶ γὰρ ἐρῶ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι, εἰ μὲν ἅπαντες συνῳκεῖτε PaMaCl* edd 3 *τάχα PaMaCl* 4 *ὠνεῖσθαι PaMa* sed *γρ ὠνήσασθαι* in marg scr et del m², *Cl* et *γρ* in marg Mor | *κοινοῖς κινδύνοις PaMa* sed in hoc *γρ κινδύνου* in marg scr et del m², *Cl* et *γρ* in marg Mor 6 signum interrogationis posui e *MCl* punctum reliqui libri edd 8 *καὶ PaMa* sed in hoc *γρ κἂν*(2) in marg m², *Cl* Mor | *κἂν HC* Re 9 *καὶ BMa* 10 *ταῦτα* — *Ἰλίῳ* in marg add *Pa²* 11 *ἀνθρωπίνην Cl* 12 *ἑτέρους Pa* sed *ους* m², et *γρ* in marg Mor | *αὐτόχειρ ἂν PaMViMaCl* *ἂν* post *αὐτόχειρ* repet Mor del Re 13 *τοῦτον* inserui e *PaMMaCl* *τὸν Vi* om *HCB* edd | *τίς HM* 14 *οὐ* om *Pa* sed *γρ* in marg m² *μὴ Ma* sed *οὐ* suprascr m² | *βασιλεύσει*; scripsi ex *HCBPaMVi* *βασιλεύσειεν. MaCl* *βασιλεύσειε.* edd 15 *οἶσθα MaCl* *ἴστ' M* | *τὸ* — 272, 5 *τάττοιτο* citat Macar fol 83ᵛ *τὸ* om *PaMaCl* | *τοὔνομα MaCl*

καὶ τοῦτ' ἔστι βασιλεύς, εἰ μὴ τὴν προσηγορίαν ἀρνοῖτο τοῖς ἔργοις, εὐδαιμονίας πρύτανις, δικαιοσύνης κανών, τῶν ἀρίστων παράδειγμα; 66. ὁ δὲ χείρω τῶν ὑπηκόων παρέχων ἑαυτὸν εἰκότως ἂν ἀφεὶς τὴν βασιλείαν εἰς τοὺς ἀρχομένους τάττοιτο. οὐ καλῶ κυβερνήτην ἐγὼ τὸν καταδύοντα τὸ σκάφος οὗ τοὺς οἴακας ἐπιστεύθη οὐδὲ τὸν ἐν οἷς ἐπιτηδεύει δεικνύντα τοῖς ναύταις ὡς ἀμελητέον εἴη τοῦ πλοίου οὐδέ γε τὸν ἃ μηδεὶς τῶν ναυτῶν πλημμελεῖ, περὶ ταῦθ' ἑκόντα πονηρὸν ὄντα. Ἀλέξανδρος τοίνυν ἄρχειν ἀξιῶν τῶν ἄλλων Τρώων ἃ μηδεὶς τῶν ἀρχομένων ἐτόλμησε, ταῦτα ἑαυτῷ προσήκειν ἡγήσατο.

67. Ἔοικα δὲ τηνάλλως μακρολογεῖν ἕτοιμον ὂν ἐπιστομίσαι τὸν ταῦτα προφασιζόμενον. νῦν γὰρ οὔτ' Ἀλέξανδρος οὔθ' Ἕλενος οὔτε Δηίφοβος οὔτ' ἄλλος οὐδεὶς τῶν Πριάμου παίδων κρατεῖ τῶν ὑμετέρων πραγμάτων, ἀλλὰ Πρίαμος αὐτός. καὶ τοῦτο οὐκ ἀκοῇ μόνον ἔστιν εἰδέναι, ἀλλὰ καὶ τοῖς ὁρωμένοις δῆλον

---

1 τοῦτ' ἔστι reposui ex *HCMMaCl* τοῦτ' ἐστὶ *BPaVi* τοῦτό ἐστι Macar τοῦτο ἐστὶ edd | μὴ om *Pa* | οὐκ ἀρνοῖτο *Pa* ἀρνεῖται *C* 3 colon post παράδειγμα *H*, comma *B*, punctum Macar | χείρων *M* 5 πράττοιτο *HC* 8 ἤδη *Vi* 9 ναυτῶν — 11 τῶν in marg *Pa*² | αὐτῶν *H* γρ ἀρμένων in marg Mor | πλημελεῖ *MViMa* | ταῦτα *MaCl* 10 ἀρχὴν *H* | τῶν om *Cl* inser *Ma*² 11 ἀλλοτρίων *Vi* | Τρώων om *Vi* 12 ταῦθ' *MVi* 13 ἔοικε *Ma* sed ε in α corr m² | τηνάλως *HCBM* sed in hoc alterum λ inser *y*, *ViMaCl* τη *Pa* sed reliquae litterae evanuerunt γρ μάτην in marg Mor cf t. I 107, 3; III 154, 10; 170, 17; 203, 12; 340, 114; 370, 7; 395, 17; IV 31, 19; 491, 8 | δικαστοῦ ὄντος ad μακρολογεῖν in marg *Ma*² μακρηγορεῖν *Vi* cf. p. 203, 5 | ὂν om *MaCl* inser *Pa*² 14 οὔτε *BPaMaCl* 15 οὔτε *BPaMaCl* οὔτ' *MVi* | ἕλενος *MVi* | οὔτε *H* οὐδὲ *PaMaCl* 16 ἡμετέρων *MViMaCl* 18 μόνον scripsi ex *HCPaMViMaCl* μόνῃ *B* edd sed γρ μόνον in marg Mor | ἔστιν scripsi e *ViMa* ἐστὶν *HCBPaMCl* edd | τοῖς om *HC* | δῆλον om *Cl* inser *Ma*²

καθίσταται καὶ χωρὶς τούτων τοῖς ἁπανταχοῦ | R IV 40 νενομισμένοις. ταῦτα δέ ἐστι τί; τοὺς παῖδας τοῦ βασιλέως περιόντος μὲν αὐτοῖς τοῦ πατρὸς ἰδιωτεύειν, ἀπελθόντος δὲ εἰς τὴν ἐκείνου τάξιν παριέναι τὸν πρεσβύτατον, ἄλλως τε εἰ καὶ δεινὸς εἴη χρήσασθαι πράγμασιν, ἅπερ ἀμφότερα τὸ σκῆπτρον εἰς Ἕκτορα περιάξειν ἔοικε. τοσοῦτον ⟨οὖν⟩ ἀπέχει τοῦ νῦν Ἀλέξανδρος βασιλεύειν, ὥστε οὐδὲ ἐν ἐλπίσιν ἐστὶ τοῦ πράγματος, εἴ γε ζῶντος μὲν καὶ ὄντος Πριάμου οὐδεὶς εἰς τοῦτο τῶν ἐκείνου παίδων κληθήσεται, τελευτήσαντος δὲ Ἕκτωρ γίνεται τῆς ἀρχῆς τοῦ πατρὸς κληρονόμος.

68. οἶδα δὲ ὡς, εἰ καὶ Πρίαμος οἷάπερ Ἀλέξανδρος ἠσέλγαινεν, ἠσέλγαινε δὲ ἐπ' ὀλέθρῳ τῆς πόλεως, οὐκ ἂν ἠνέσχεσθε τῆς ἀκολασίας ἐκείνου τὴν δίκην αὐτοὶ διδόντες, ἀλλ' ἔσχετ' ἂν εἰπεῖν πρὸς αὐτὸν μέτριά τε καὶ δίκαια καὶ αὐτῷ πεισθῆναι συμφέροντα· ὦ βασιλεῦ, ἡμεῖς μὲν ἡμᾶς αὐτοὺς ἐνεδώκαμέν σοι καὶ τῶν ὅλων προὐβαλόμεθά ⟨σε⟩ πραγμάτων οὐκ

---

6 [Apollod.] III 12, 5 17 Plat. rep. p. 605 D; p. 561 B. Dem. p. 128, 6 18 t. III p. 230, 17; IV 229, 16. Dem. p. 325, 27

---

2 τοῦ] τοὺς *Vi* 6 ἃ *Pa* | τὸ σκῆπτρον εἰς] τὸν *MaCl* | εἰς om *Pa* 7 πράξειν *Pa* ἐπιζητεῖν *MaCl* | οὖν inserui | καὶ τοσοῦτον νῦν Ἀλέξανδρος τοῦ Gasda | Ἀλέξανδρος scripsi e *BPaMViMaCl* cum Gasda ἀλέξανδρον *HC* edd 8 βασιλεύειν Mor sed γρ ἄρχειν in marg om *Pa* sed γρ ἄρχειν suprascr m², *MaCl* | εἴτε *H* ὥστε *C* et γρ in marg Mor 9 ὁρῶντος Iacobs Add 21 | εἰς τοῦτο om *HC* 13 ἠσέλγαινε δὲ om *BPaMaCl* 14 ἠνέσχεσθε *Pa* sed litterae έσχε evanuerunt ἀνέσχεσθε *Cl* ἠνέχεσθε Re | ἐκείνης *Pa* et γρ in marg Mor αὐτοῦ *MaCl* | αὐτὴν *HC* 15 διδόντος *C* | ἔσχετ' scripsi ex *HCVi* coll p. 274, 11 sq. εἴχετ' *BPaMMaCl* edd 17 μὲν om *BPaMViMaCl* | ἡμᾶς αὐτοὺς scripsi e *BPaMViMa* sed in hoc ἡμᾶς inser m² αὐτοὺς *Cl* ἑαυτοὺς *HC* edd 18 προὐβαλλόμεθα *HCViMaCl* προβαλλόμεθα *B* | σε inserui post προὐβαλόμεθα, post ὅλων inserendum coni Re om libri edd

ἐπὶ τῷ κακῶς ὑπὸ σοῦ παθεῖν, ἀλλ' ἐπὶ τῷ κἂν εἴ τις ἕτερος τολμήσειε, σὲ διακωλύειν, οὐδ' ἵνα πρὸς ἡδυπάθειαν ἀποχρήσῃ τῇ βασιλείᾳ, ἀλλ' ἵνα τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἐπιτείνῃς τῇ προνοίᾳ· σὺ δὲ οὐκ εἰς καλὸν ἔοικας ἀπολαύειν τῶν δοθέντων σοι οὐδὲ τὰς ἐλπίδας ἡμῖν βεβαιοῦν, ἀλλ' ἃ μηδεὶς ἂν ἤλπισε, τούτοις ἐπιχειρεῖν καὶ δύο τὰ χείριστα ἐργάζεσθαι. σαυτὸν μὲν γὰρ πονηρότατον ἀποφαίνεις, δι' ὧν δὲ αὐτὸς ἀδικεῖς, τούτοις ἡμᾶς ἀπολλύεις. 69. ταῦτα καὶ ὑμᾶς ἂν εἰπεῖν οἶμαι καὶ Πρίαμον αἰσχυνθῆναι καὶ δευτέραν ποιήσασθαι τὴν ἑαυτοῦ ῥᾳστώνην τῆς τῶν ὅλων σωτηρίας. μὴ τοίνυν ἃ τὸν βασιλέα τολμῶντα ποιεῖν ἐκωλύετ' ἄν, ταῦτα τοῖς
R IV 41 οὔπω | τοσοῦτον ἰσχύουσιν ἐπιτρέψητε μηδὲ εἰς τοσοῦτον συγχέητε τὰ πράγματα ὥστε βασιλέα γε νομίζειν τὸν οὐκ ἔχοντα τὴν ἀρχὴν καὶ πλείω τούτῳ παρέχειν ἐξουσίαν ἢ παρ' οἷς ἐστι τὸ κρατεῖν.

70. *Οἶμαι* τοίνυν ἐρεῖν τινας, ὡς ἑκοῦσα συνη-

---

1 τὸ (1 et 2) *HC* 2 τολμήσειε scripsi e *M* sed τολμήσοι in marg τολμήσει *H* τολμήσῃ *CBVi* τολμοίη (σειε suprascr.) *Ma* τολμώῃ *Pa Cl* et γρ in marg Mor | σὲ om *HCBMVi* | διαλύειν *Ma* sed γρ διακωλύειν suprascr m², *Cl* 4 ἀλλ' ἵνα scripsi e *PaMa Cl* ἀλλὰ *HCBMVi* edd 6 σοι om *PaMaCl* 7 μήδ' ἂν εἰς *B* | ἂν inser *Pa²* 10 αὐτὸς om *MaCl* | τούτων ἡμεῖς *B* | ἀπολύεις *MViMaCl* ἀπολεῖς *H* ἀπολαύομεν *B* ἀπολαύειν *Pa* sed ἀπολύεις suprascr m² 11 ἡμᾶς *Vi* | ἂν om *Cl* inser *Ma²* | εἰπεῖν om *HCBPaVi* inser *Ma²* 12 τὴν αὐτοῦ ῥαστώνην ποιήσασθαι *MVi* | αὐτοῦ *C* αὐτοῦ *H* ἑαυτὴν Mor sed γρ ἑαυτοῦ in marg 13 ῥαστώνην *Ma* sed ἡδονὴν suprascr m² | ὅλων scripsi e *BPaMViMaCl* Par 3017 cum Boissonadio Anecd. II 482 ἄλλων *HC* edd 15 ἐπιτρέψατε *Ma* | μὴ δὲ *BMaCl* μὴ δ' *HCVi* 16 ἄλλωστε *Pa* sed ὥστε suprascr m² | γε om *BPaMaCl* | τε post νομίζειν *Pa* 19 ὡς οὐχ ἑκοῦσα *Pa*

κολούθησεν ἡ γυνὴ καὶ οὔτ' Ἀλέξανδρος οὐδὲν ἀδικεῖ Μενέλεώς τε πραγματωδέστερός ἐστι τοῦ προσήκοντος τὴν ἀποφυγοῦσαν ἀγαπῶν. ἔστι δὲ πρόχειρον μὲν εἰπεῖν ὡς Ἀλέξανδρος μὲν ἀδικεῖ τὴν οὐ βουλομένην ἀκολουθεῖν ἁρπάσας, Μενέλεως δὲ τὰ προσήκοντα ποιεῖ τὴν ἄκουσαν ἀπελθοῦσαν ἀξιῶν ἔχειν, ἀλλ' ἵνα μὴ ἀπέραντος ὁ λόγος εἴη, δεδόσθω βεβουλημένην ἀκολουθῆσαι. οὐκοῦν ἐξαπατήσαντος Ἀλεξάνδρου τοῦτ' ἐποίησεν. οὐ γὰρ πρότερόν γε οὐδὲν τοιοῦτον εἰργασμένη φαίνεται. 71. ἔστιν οὖν Ἀλεξάνδρου καὶ τοῦτο ἀδίκημα. καὶ πολύ γε δεινότερον τὸ πεῖσαι γενέσθαι φαύλην τοῦ πρὸς ἀνάγκην καταισχῦναι. ἡ μὲν γὰρ βιασθεῖσα τὸ μὲν σῶμα ὕβρισται, τὴν δὲ γνώμην οὐ διέφθαρται καὶ προσέτι μισεῖ τὸν τὴν ἀνάγκην ἐπενεγκόντα, ἡ δὲ πεισθεῖσα θαυμάζειν

---

2 cf. t. II p. 563, 10   3 Il. γ 174. Eur. Tro. 946   4 Dem. p. 700, 10   5 Dict. I 3   7 Dem. p. 632, 20   12 Lys. Erat. § 32 p. 94, 39. Dem. p. 1125, 12

---

1 *οὔτε PaMaCl*   2 *ἐστι* om *Cl*   *ἔσεσθαι Pa* sed *ἔστι* suprascr m², et *γρ* in marg Mor   3 *ἀποφεύγουσαν B* sed *φυγοῦσαν* supra *φεύγουσαν* m², *Ma* sed *γρ ἀποφυγοῦσαν* suprascr m², *Cl* et *γρ* in marg Mor   4 *ὡς* — 5 *ἁρπάσας* om *Pa* | *γρ οὐδὲν ἀδικεῖ* in marg Mor   5 *μενέλεώς τε M*   7 *ἢ PaMaCl* cf. t. IV 281, 20 sq.   8 *βουλομένην PaMa* sed in hoc *γρ βεβουλημένην* in marg m², *Cl* et *γρ* in marg Mor | *οὐκοῦν* scripsi ex *HCBMViMaCl*   *οὐκ οὖν Pa* edd   9 *τοῦτο PaMa Cl* | *τοῦτο* — 11 *ἀλεξάνδρου* praemisso *κείμενον* in marg *Ma* | *γε* om *MVi*   10 *τοιοῦτον* om *MaCl*   11 *τὸ HC* sed in hoc in *τοῦτο* corr *f* | *δεινὸν* post *ἀδίκημα Pa* edd   delevi post *δεινὸν* e superioribus lin. 4 repetita *ὡς ἀλέξανδρος μὲν ἀδικεῖται οὐ βουλομένην ἀκολουθεῖν ἁρπάσας Pa* sed del m² | *δεινὸν BPa²Ma* sed in hoc *δεινότερον* suprascr m², *Cl*   12 *τὸ πεῖσαι* — 276, 3 *τρόπον* citat Macar fol 83ᵛ | *καταισχύναι HC MaCl* Macar cf t. IV 446, 17   *καταισχύνας Vi* | *δεινότερον* post *καταισχύναι* Macar   13 *μὲν*(2) om *MVi*   15 *εἰ HC* sed in hoc in *η* corr *f*

2 δ' *B* 3 ποῦ *HMLaMaBLaur* 5 ἐναντιώτατον Mor sed γρ ἐναντιώτερον in marg 6 τὴν — προπίνων citat Thom M. p. 293, 7 s. v. πίνω· τὸ δὲ προπίνω ἀεὶ αἰτιατικῇ· Λιβάνιος ἐν τῷ πρεσβευτικῷ· | μὲν inser *Ma*[2] | προτείνων *Can* προτείνων (πι suprascr) *B* | προσεφώνησας Mor sed γρ προσεφώνησα in marg προσέφησας *Can* 7 ἐξ *MLaViMa* et γρ in marg Mor | τὸν ἀκούοντα om *Laur* 9 μὴ om *HVi* | μεμνημένῳ — 10 λυπεῖν citat praemissis verbis ἐν τῇ ἀχιλλέως ἀπολογίᾳ πρὸς τὴν ἀγαμέμνονος πρεσβείαν et in fine addito Λιβάνιος lex. Darmstad. fol. 245 in marg | μεμνημένῳ scripsi e *Ma* sed ος suprascr m[2], Darmst μεμνημένος *HMLa* sed in hoc ω suprascr *y*, *ViBLaur* edd | μεμνημένῳ δὲ τῶν ἔμπροσθεν] τούτων δὲ μεμνημένων *Can* τούτων δὲ μεμνημένος *BLaur* | τὸν (2) Darmst 10 [οὐκ ἔστιν] οὐκ ἔστι Mor καὶ ante τὸν *Vi* edd delevi 11 πρὸς Mor sed γρ παρὰ in marg | τὸ ὄνομα *Vi* 12 ταράσσομαι *Ma* | δὲ *HLaMa* | ἐν om Mor | ἔφης *MMa* sed in hoc ϑ inser m[2], et γρ in marg Mor Re εὐθὺς *B* 13 δ' om *HLaMaB* | ὁρμήθης *B* ὡρμήθης *Laur Can* | ὡς scripsi ex *HMLaMaBLaurCan* εἰς *Vi* edd

μάλιστα ἀνιάσαις. 5. *θαυμάζω δὲ ὅπως οὐ συνίετε τῇ πρεσβείᾳ μείζω ποιοῦντες, οὐ λύοντες τὰ ὑβρισμένα. δείκνυτε γάρ, εἰς οἷον ὄντα ὑβρίζετε, τῷ μόνον ἡγεῖσθαι σωτῆρα καὶ δι' ὧν, εἰ μὴ λάβοιτε βοηθόν, ἀπολεῖσθαι πεπιστεύκατε, τὸ τῇ παροινίᾳ κατὰ τοῦ πρώ-* R IV 49 *του | τῶν Ἑλλήνων κεχρῆσθαι μεμαρτυρήκατε. ὥστε ἐν οἷς ἱκετεύει παροξύνει καὶ ταῖς δεήσεσιν ἐλέγχει τὰ πονηρεύματα καὶ μονονοὺ βοᾷ πρὸς ἅπαντας ὡς ἐμοὶ μόνῳ τῶν ὑβριστῶν οὐκ ἔστι συγγνώμη· καὶ γὰρ ὕβρικα καὶ ὃν ἥκιστα ἐχρῆν.* 6. *ἐγὼ δὲ μάλιστα μὲν ⟨ἂν⟩ ᾤμην δεῖν μηδένα τῶν συμπεπλευκότων προπηλακίζεσθαι μηδ' εἰ τῶν πολλῶν εἴη καὶ τῶν ἔλαττον ἰσχυόντων, αὐτὴ γὰρ ἡ προθυμία, κἂν ἀπῇ τὸ κατορθοῦν, τιμῆς ἀξία· εἰ δ' οὖν ἀνάξιον ἡγεῖτο τῆς αὐτοῦ τύχης τὸ σωφρονεῖν καὶ τοῦτ' εἶναι κέρδος τῆς βασιλείας τὸ κακῶς τὸν πλη-*

5 Il. ι 110 10 Il. ι 116

1 *ἀνιάσαις* reposui e libris sed *ἀνιάσ^{η}αις M ἀνιάσῃς* edd sed *γρ ἀνιάσαις* in marg Mor 2 *ὑβρισμένα* scripsi ex *HLa Ma* sed in hoc *γρ ἐγκλήματα* in marg m², *BLaur ὑβρίσματα MCan ἐγκλήματα Vi* edd 3 *δείκνυται MLa δεικνύεται Vi δεικνύετε B* | *ὄντα* om *M τα La* | *ἡγεῖσθε HLa* 4 *ὧν* scripsi ex *HMLaLaur ὃν* reliqui libri edd | *λάβοιτε* scripsi ex *HMLaViMaBCan λάβητε Laur* edd | *κοινωνόν HMa* sed in hoc *γρ βοηθὸν* suprascr m², *BLaurCan* 5 *τὸ* inser *Ma² τῷ BLaur* Re 7 *ὥστε* scripsi ex *HMLaViMaLaur ὥστ'* reliqui libri edd 8 *μόνον οὐ MLa* sed in hoc in *μονονοῦ* corr *n μονονοῦ H* 9 *ὡς La* sed ex *ὥστ'* corr 10 *ἥκιστ' MLaViMa* 11 *δὲ* om *M* | *ἂν* inserui om libri edd 12 *μὴ δ' HMViMaLaurCan* 13 *αὐτὴ* — 14 *ἀξία* omissa *γὰρ* particula citat Macar fol 95ᵛ *καὶ* ante *αὐτὴ* Macar | *μόνη* ante *ἡ* Macar 14 *ἀπῆν Can* 15 *αὐτοῦ* scripsi, ut *γρ* in marg Mor *ἑαυτοῦ Laur αὐτοῦ* reliqui libri edd | *γνώμης Vi* et *γρ* in marg *Ma²* et Mor 16 *τοῦτο* Mor | *εἶναι* Mor sed *γρ εἶπον* in marg | *κακὸν H*

σίον ποιεῖν, εἰς τοὺς σκευοφόρους καὶ τελοῦντας εἰς δῆμον καὶ φρονήματος ἐστερημένους, εἰς τούτους ἀσελγαίνειν ἐχρῆν, εἴπερ ἄρα καὶ τοῦτο ἐχρῆν, οὐ κατὰ στρατηγοῦ μεθύειν καὶ τούτου φίλου τοῖς θεοῖς καὶ κυρίου τοῦ τὰς ναῦς εἶναί τε καὶ διεφθάρθαι κατὰ τὸν σόν, Ὀδυσσεῦ, λόγον.

7. *Ἐμοὶ μὲν οὖν ⟨ἂν⟩ ἤρκει τὰ πράγματα καὶ τὰ τῶν πολεμίων πάθη καὶ πρὸ τῶν ἄλλων Ἕκτωρ τότε μὲν τρέμων, νῦν δὲ φοβῶν, καὶ οὐδὲν ⟨ἂν⟩ ἐδεόμην λέγειν ἃ τοῖς ἔργοις ἐπεδειξάμην, τοῖς γὰρ εἰκότως μέγα φρονοῦσιν οὐ παρ᾽ αὑτῶν ἐπαίνους, ἀπὸ δὲ τῶν πεπραγμένων εἶναι δεῖ τὴν μαρτυρίαν· ἐπεὶ δὲ βουλόμενον σιωπᾶν οὐκ ἐᾷς, Ὀδυσσεῦ, πολέμου μεμνημένος πρὸς ἄνδρα κιθαρίζειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκασμένον, ἀκούσατε, ὦ παρόντες, ἀνθ᾽ οἵων οἷα κεκόμισμαι, καὶ ταῖς εὐεργεσίαις ἀντίθετε τὰς ἀμοιβάς. εἴσεσθε γὰρ εἴτ᾽ ἔχει λόγον τὸ μὴ συμμαχεῖν εἴτε καὶ ἄλλως ἀγα-*

4 Il. ι 117 6 Il. ι 231. cf. Aristid. t. II p. 605, 17 Dind. 14 Il. ι 186 et 194 cf. p. 332, 12. Aristid. p. 601, 11

1 *ποιεῖν Ma* sed *γρ εἰπεῖν* suprascr m^2 | *εἰς* — 3 *ἐχρῆν*(1) citat Lopadiota lex. Vind. p. 167, 5 s. v. *σκευοφόρος ὁ τὰ σκεύη φέρων. Λιβάνιος* 3 *ἐχρῆν*(2) *Ma* sed *ἔδει* suprascr m^2 | *κατὰ* — 4 *μεθύειν* citat Thom M. p. 231, 11 s. v. *μεθύσῃ· οὐ μόνον δὲ ἐπὶ οἴνου τὸ μεθύω λέγουσιν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς ὑβρίζειν καὶ μὴ ἐθέλειν σωφρονεῖν ὑπό τινος τυχὸν ἐξουσίας ἢ πλούτου ἢ τοιούτου τινὸς ἄλλου, ὡς — καὶ Λιβάνιος ἐν τῇ τοῦ Ἀχιλλέως ἀπολογίᾳ* 4 *μεθύειν* Mor sed *γρ ἐπαίρεσθαι* in marg 5 *τοῦ* inserui e *MaCan* om reliqui libri edd 6 *τὸν* om Mor 7 *ἐκείνοις BCan* | post *μὲν* ras 3 litt *Ma* | *οὖν* om *Can* | 7 et 9 *ἂν* inserui om libri edd 8 *πολέμων* Mor | *ὁ* ante *ἕκτωρ Ma* edd delevi 10 *τοῖς* — 12 *μαρτυρίαν* omissa *γὰρ* particula citat Macar fol. 95^v 11 *αὑτῶν* scripsi e *MBLaur* Macar *αὐτῶν* reliqui libri edd 12 *δεῖ* inser Ma^2 | *μαρτυρίαν Ma* sed *μαρ* in ras m^2 | *δ᾽ ἐβουλόμην* Mor 14 *πολέμου*$^{\text{εῖν}}$ *Can* 17 *εἴτε Laur* | *λόγου Vi*

νακτῶ. 8. *εἰ γὰρ ἐθέλοιτε σκέψασθαι, τί τὸ ποιῆσάν ἐστι τοὺς Ἀχαιοὺς ἐπὶ Τρωάδος ἱδρύσθαι γῆς καὶ μὴ τοῦτ' αὐτὸ πρῶτον ἀγνοεῖν, τὴν χώραν τῶν λελυπηκότων καὶ τίς ἡ Πριάμου πόλις καὶ ποῖ δεῖ προσβα-*
R IV 50 *λεῖν καὶ ποίαν κακοῦν, ἐμὲ τουτονὶ τὸν | ἄτιμον εὑρήσετε καὶ τὸ δόρυ τὸ πατρικόν. ὡς γὰρ ἀνήχθημεν ἀπὸ τῆς Αὐλίδος, ἀγνοίᾳ τῶν τόπων προσπεσόντες τῇ Μυσῶν τὴν ἀρχὴν κατεθέομεν Τηλέφου τὴν Ἀλεξάνδρου νομίζοντες, αἰσθόμενος δὲ ὁ Τήλεφος εὐθὺς ἐν ὅπλοις ἦν καὶ μετὰ τῆς δυνάμεως ἀπήντα, μάχης δὲ καρτερᾶς γενομένης καὶ τοῦ πράγματος προϊόντος ὁ τῶν Μυσῶν ἡγούμενος ὑπ' ἐμοῦ τιτρώσκεται. καὶ οἱ μὲν ᾤχοντο φεύγοντες, ἡμεῖς δὲ γνόντες τὴν πλάνην ἀποπλεύσαντες αὖθις ἦμεν ἐν Βοιωτίᾳ. καὶ τῷ συμβεβηκότι τὸ στράτευμα διελέλυτο.* 9. *χρόνου δὲ ἐγγινομένου καὶ τῆς ἀγνοίας μενούσης κομίζεται Τήλεφος εἰς Δελφοὺς τῷ θεῷ χρησόμενος ὑπὲρ τοῦ τραύματος ὡς*

3 cf. t. IV 932, 29 R 6 cf. t. IV 933, 10 R. Chor. Patr. t. IV p. 110, 3 R 8 Dict. II 1 sq. 14 Dict. II 7 15 Her. I 190 16 Dict. II 10 17 cf. t. IV 933, 5 R

17 *ὥσπερ φαμὲν χρῶ τὸ μαντείαν δίδωμι οἷον ἔχρησεν αὐτῷ ὁ θεός, οὕτω καὶ χρῶμαι τὸ μάντιν ποιοῦμαι· συντάσσονται δὲ καὶ ἀμφότερα δοτικῇ B* (= Thom. M. l. l. p. 400, 3)

1 *σκέψασθαι Ma* sed *αι* ex *ε* corr m² *σκέψασθαί τι Can* 2 *τῆς* ante *Τρωάδος* edd delevi | *ἱδρῦσθαι*? at cf. ad t. IV 283,18 3 *τὸ* ante *πρῶτον Vi* 4 *ἡ*] *τοῦ* Re | *πῆ Ma* *ποίᾳ* Iacobs Ach. Tat. 859 6 voce *πατρικόν* desinit *M* | *ὡς*] *καὶ Can* 7 *ἑλλάδος Ma* sed *γρ αὐλίδος* in marg m² | *ἀγνοίαι La* sed *ι* (2) add *n* 9 *εἶναι* post *νομίζοντες* e *Wolf* add Re delevi 10 *τῆς* om *ViMa* 11 *πράγματος* Mor sed *γρ πολέμου* in marg | *ὁ* in ras *Can*² 15 *διαλέλυτο LaVi* *διελύετο Ma* Mor | *ἐγγινομένου* scripsi e *LaViBLaurCan* *ἐγγιγνομένου H* edd *γινομένου Ma* 16 *ἀνίας Can* 17 *τῷ — τραύματος* citat Thom. M. p. 400,4 s. v. *χρῶ* praemissis verbis *Λιβάνιος ἐν τῇ τοῦ Ἀχιλλέως ἀπολογίᾳ*

τῆς τῶν ἰατρῶν τέχνης οὐκ ἀρκούσης τῷ πάθει. ὁ δὲ ἀνεῖλε παρὰ τῷ τρώσαντι καὶ τὴν ἴασιν ζητεῖν. ταῦτ' ἀκούσας εἰς Ἄργος ἔρχεται καὶ τῶν ἀλγηδόνων παύεται ταῖς ναυσὶν ὁμολογήσας ἡγήσεσθαι, καὶ γίνεται τῆς ἰατρείας μισθὸς ἡ τῆς ἀγνοίας τῶν τόπων ἀπαλλαγή. αὕτη πρώτη καὶ μεγίστη τῶν εὐεργεσιῶν γνῶναι τὴν Ἀλεξάνδρου πατρίδα καὶ μὴ καθάπερ ἐν μανίᾳ τὸν παραπεπτωκότα βλάπτειν ἀντὶ τῶν αἰτίων. 10. οὐκοῦν τῶν μὲν ἄλλων ἕκαστος τοῖς αὐτοῦ πράγμασι σεμνύνεται, ἐγὼ δὲ τοῖς τε ἐμαυτοῦ καὶ τοῖς ἁπάντων. καὶ γὰρ τὰ τῶν τοξοτῶν καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων καὶ ὅλως ὅστις ὠφέληκέ τι τὸ κοινόν, πάντα ταῦτ' ἐστὶ τοῦ δεῦρο κεκομικότος τὴν στρατιάν. εἰμὶ δὲ οὗτος ἐγὼ τῷ τὴν ἀφορμὴν ἐνδοῦναι. εἰ τοίνυν τῶν μὲν νῦν εἰργασμένων οὐδὲν ἂν ἐπέπρακτο μὴ τὴν ἀρχὴν

3 sq. Dict. II 10

1 *ἀνεῖλον ἀντὶ τοῦ ἀνέλαβον λογογράφοι, ὡς τὸ ἀνελόμενος τὰ χρήματα. πάλιν ἀνεῖλεν ἀντὶ τοῦ ἐξέβαλεν, ὡς τὸ ἀνεῖλε πᾶσαν αἰτίαν. καὶ ἐπὶ τοῦ ἐμαντεύσαντο, ὡς ἐνταῦθα παρὰ τῷ Λιβανίῳ B* (= Thom. M. l. l. p. 23, 1)

1 *ἰατρῶν* om *Can* | *ὁ δὲ* — 2 *ζητεῖν* citat praemissis verbis *Λιβάνιος ἐν τῷ Ἀχιλλέως ἀντιρρητικῷ* Thom. Mag p. 23, 5 s. v. *ἀνεῖλεν· ἐπὶ τοῦ ἐμαντεύσατο* 2 *ἀνεῖλε MaB* sed *ἐμαντεύσατο* suprascr *Ma²B* *ἀνεῖται Vi* | *καὶ* — *ζητεῖν* in marg *Ma²* | *ταῦτ'* scripsi ex *HLaViMa* *ταῦτα* reliqui libri edd 4 *ἡγήσεσθαι Ma* sed *γρ συστήσασθαι* in marg m² *ἡγήσεσθε La* *ἡγήσασθαι ViCan* Mor | *γίγνεται Vi* *γίνεταί μοι B* 5 *ἡ* — 6 *εὐεργεσιῶν* praemisso *κείμενον* in marg *Vi²* | *τόπων Ma* sed *γρ τρόπων* suprascr et del m² *τρόπων La* 8 *οὐκοῦν* reposui e libris sed *οὐκ οὖν La* *οὐκ οὖν* edd 9 *αὐτοῦ* scripsi e *MaLaur* *ἑαυτοῦ B* *αὑτοῦ* reliqui libri edd 10 *καὶ* ante *τοῖς*(1) *La* | *τ' MaCan* *ὑπ' HLa* 11 *τῶν*(1) om *La* | *τῶν*(3) om *Ma* 12 *ὅστις*] *ὅπερ* e *Wolf* Re | *τις* e *Wolf* Re 13 *ταῦτ'* scripsi ex *HLaViMaBLaur* *ταῦτα Can* edd | *κομίζοντος Ma* | *στρατιάν Ma* sed *γρ στρατόν* in marg m² *στρατίαν Can* *στρατείαν HLaVi* 14 *ἐνδοῦναι Ma* sed *ν* e *κ* corr m² | *εἰ* in ras *Ma²* 15 *εἰργασμένων νῦν H* | *την B*

ἐλθόντων, τοῦτο δὲ οὐκ ἂν ὑπῆρξε μὴ τοῦ Τηλέφου τρωθέντος, ἐτρώθη δὲ ὑφ' ὅτουπερ ἴστε, τοῦ τὴν ὑπόθεσιν παρασχόντος καὶ τὰ ἔργα γίγνεται. παρ' ἀμφοτέρων τοίνυν ὀφείλεταί μοι χάρις, | τῶν τε ἠριστευκότων αὐτῶν καὶ τῶν δοκούντων ἐφεστάναι τοῖς πράγμασι, τῶν μὲν ἀντὶ τῆς ἀρετῆς ἣν ἐπεδείξαντο, τῶν δὲ ἀντὶ τῆς παρὰ πάντων ὠφελείας. 11. οὐ τοίνυν τοῦ μὲν ἐλθεῖν τὴν στρατιὰν αἴτιος ἐγενόμην, ἐπεὶ δὲ ἀφικόμην, ἀρκεῖν ἡγησάμην ἢ ταὐτὰ τοῖς ἄλλοις ποιεῖν ἢ μικρῷ τῳ τοὺς ἄλλους ὑπερβάλλειν, ἀλλ' ὁρῶν τοῖς μὲν Τρωσὶν ἐν τοῖς περιοίκοις τὴν ἰσχὺν οὖσαν τοῦ πολέμου καὶ τῇ τούτων εὐνοίᾳ μεγάλην ὑπάρχουσαν αὐτοῖς ἀποστροφὴν τάς τε νήσους τὰς ἐπικειμένας καὶ τῆς ἠπείρου πόλεις οὐκ ὀλίγας, τὰ δὲ ἡμέτερα τῇ πενίᾳ πρὸς ἀσθένειαν ἥκοντα, ταῦτα ἐνθυμηθεὶς Κύκνου μὲν ἤδη

R IV 51 (margin, beside line 4)

15 Dict. II 12

15 Κύκνου] οὗτος τοῦ τῶν Τρώων ναυτικοῦ ἡγεμὼν ὢν ἱστάμενος ἐν τοῖς πορθ[μοῖς] τῆς Τενέδου ἀπείργ[ει] τὸ τῶν Ἑλλήνων να[υ]τικόν. ὃν πρῶτον καταπολεμήσας Ἀχιλ[λεὺς] ἄδειαν εἰργάσατο ταῖς ἑλληνικαῖς ναυσίν *Ma*²

1 ὑπῆρξε reposui e libris ἦν *Can* edd | τοῦ inserui e libris om edd 2 ὅτουπερ reposui e libris sed οὗ περίεσται *Can* οὗπερ edd 3 γίνεται *LaurCan* edd | οὖν *Laur* 4 γρ ὀφείλετέ μοι χάριν in marg Mor 5 αὐτῶν inser *Ma*² 6 ἣν *Ma* sed ἧς suprascr et del m² ἧς *Laur* γρ ὧν in marg Mor | περὶ *ViB* παρ' edd 7 πάντων reposui e libris ἁπάντων edd 8 στρατείαν *HLaVi* | ἕτοιμος *Vi* | δ' *LaurCan* edd | ἀρκεῖν *B* (γεῖν suprascr) ἀργεῖν *Can* et coni Mor Not f II b 9 ἡγούμην *Ma* sed γρ ἡγησάμην in marg m² ἠτησάμην *Can* | ταῦτα *La* ταυτὸν *Can* | ἕλλησι *Laur* | μικρῶν *Can* | τῳ inserui e *BLaur* τῶ *ViMa* sed ˜ del m², et inser *Lav* om reliqui libri edd 12 εὔροία *H* | ὑπάρχουσαν *Ma* sed άρ in ras m² | αὐτοῖς] εὐθὺς Mor | ἀποτροφήν *B* (στρο suprascr) sed ρο in ras ὑποτροφήν *Ma* 14 δ' *BLaurCan* edd 15 ταῦτ' *ViMa*

πεπτωκότος, τῶν δὲ Τρώων εἰς τὸ τεῖχος κατακλεισθέντων, ἀδείας δὲ οὔσης ἐνδιαιτᾶσθαι τῷ πεδίῳ νῦν μὲν πεζαῖς στρατιαῖς, νῦν δὲ ταῖς ναυσὶ χρώμενος περικόπτω τὴν τῶν ἐχθρῶν συμμαχίαν. 12. καί μοι τὰς πόλεις ἐξαρίθμει τὰς ἠρημένας. εἷλον Φώκαιαν, Κολωνάς, Κλαζομενάς, Τῆνον, Κύμην, τὴν Χρύσαν, τὴν Κίλλαν, τὴν Τένεδον, Σκῦρον, Θήβας, Πήδασον, Πύρραν, Λέσβον ὅλην. μακρὸν ἐπελθεῖν λόγῳ τὰς πόλεις ἃς ἐγὼ παρεστησάμην. καὶ σιωπῶ Τρωίλον καὶ Λυκάονα καὶ βοῦς ἐξ Ἴδης ἐληλαμένας. ἐντεῦθεν τοῖς Τρωσὶν ἀκριβὴς ἡ πολιορκία τῷ πάντ' ἐξηρημῶσθαι

5 Il. ι 328 sq. Strab. XIII p. 584. Aristid. p. 599, 6 sq. Chor. Patr. t. IV p. 100, 11 sq. R (267, 1 Boiss.) 6 Il. α 37 sq. 7 Il. λ 625 | Il. ι 668 c. schol. Paus. I 22, 6. Dict. II 16 | Il. β 690 | Il. ζ 416 | Il. υ 92. Dict. II 17 8 Il. ι 129 et 271 cf. p. 331, 13. Dict. II 16 9 Dict. IV 9. Il. ω 257 10 Il. φ 35 sq. | Il. υ 91

7 Θῆβαι τὸ νῦν καλούμενον Ἀτραμύτιον. τρεῖς γάρ εἰσι Θῆβαι, αἱ Ὑποπλάκιοι ὧν νῦν μέμνηται ἐνταῦθα, αἱ καλμίαι (corr Καδμεῖαι) καὶ αἱ τῆς Αἰγύπτου *Ma*[2] (= Schol. ad Il. α 367) 9 Τρωίλον καὶ Λυκάονα] καὶ οὗτοι παῖδες Πριάμου *Ma*[2]

2 ἐνδιαιτεῖσθαι Re 3 στρατιαῖς πεζαῖς *Ma* | στρατείαῖς *Can* στρατείαις *LaViBLaur* | ταῖς om *LaurCan* 4 περικόπτων *Vi* | καί et 5 ἐξαρίθμει reposui e libris τίς et ἐξαριθμοῖ edd 5 εἰρημένας *HVi* | φωκέαν *HLa* sed in hoc in φώκαιαν corr *n*, *Ma* Φωκαῖαν edd 6 Κολωνάς reposui e *ViMaBCan* κολώνας reliqui libri sed in κολωνὰς corr *La*, edd sed γρ Κελαινάς in marg Mor | Κλαζομενάς scripsi e *LaViMaB* κλαζομένας *H* κλαζομενήν *Laur* κλαζομένην *Can* edd | τῖνον *Vi* πῖνον *HLa* sed in hoc τ supra π *n* 7 κίλλαν *La* sed λ(1) eras | πήδας *La ViLaur* 8 πυρράν *Can* num Λυρνησσόν scribendum coll Il. β 690; τ 60; υ 92. Aristid. p. 600, 6. Dict. II 17? | ὅλας *Ma* sed ην supra ας m[2] | μακρὸν — 9 παρεστησάμην citat Lopadiota lex. Vind. p. 148,9 s. v. παρεστησάμην ἀντὶ τοῦ ἐδουλωσάμην | μακρὸν *Ma* sed ον ex οῦ corr m[2] 9 ἐγὼ *Ma* sed ἐ in ras 2 litt m[2] et γρ ἔργω in marg m[2] ἔργω *Can* Mor Τρωίλον scripsi ex *H* τρωῖλον reliqui libri sed ˜ in ´ corr *La*[n] Τροΐλον edd 10 ἐληλεγμένας *Vi* 11 τὸ *H* | πάντα *BCan* Mor | ἐξηρημῶσθαι scripsi e *MaLaurCan* ἐξερημῶσθαι *B* ἐξερημώσασθαι *HLaVi* edd ἐξηρημῆσθαι coni Re

κύκλῳ. αἱ μὲν οὖν πόλεις εἰς ἔδαφος, ὁ δὲ πόνος ἐμός, τὰ δὲ χρήματα κοινά. 13. *οὐκοῦν τῇ Κύκνου μὲν τελευτῇ τὴν ἀπόβασιν τοῖς Ἕλλησιν ἔδωκα, ταῖς δὲ τῶν πόλεων ἁλώσεσι τοὺς Τρῶας συνέστειλα, τῇ περιουσίᾳ δὲ τῶν χρημάτων τὴν προσεδρείαν ἐμήκυνα.*
R IV 52 *οὐ γὰρ ἐνῆν ἐν ἐνδείᾳ | καὶ τροφῆς ἀπορίᾳ μακρὸν οὕτω πόλεμον διενεγκεῖν, ἐπεὶ καὶ τὴν Χερρόνησον οἱ γεωργοῦντες τῶν μὲν ἤδη κατεσκαμμένων, τῶν δὲ τῷ φόβῳ τὴν ἡσυχίαν ἀγόντων κατὰ πολλὴν ἀσφάλειαν περὶ τὰ ἔργα διέτριβον, ὥστε οὐχ ἧττον αἱ διὰ τῆς γεωργίας ἀφορμαὶ τῶν ἀπὸ τοῦ πολέμου πόρων ἐμοὶ προσήκουσι.*

14. *Φέρε δὴ καὶ περὶ τῆς αἰτίας ὅθεν προσκεκρούκαμεν Ἀγαμέμνονι μνημονεύσωμεν. οἶμαι γάρ, εἰ καὶ μηδὲν πρότερον εὖ πεποιηκὼς τοὺς ὁμοφύλους ἐτύγ-*

2 Dict. II 12 sq.

15 *Ἰστέον ὅτι ἡ Χρυσηὶς οὐκ ἐκ τῆς Χρύσης πόλεως ᾐχμαλωτίσθη, ὅπερ ἄν τις ὡς εἰκὸς ὑπολάβοι, ἀλλ' ἐκ τῆς Ὑποπλακίου Θήβης. ἀποσταλεῖσα ἐκεῖ, φασίν, παρὰ τοῦ πατρὸς Χρύσου ὡς εἴς τι κρησφύγετον ἐρυμνόν, κατὰ δέ τινας εἰς ἑορτὴν τῆς Ἀρτέμιδος ἐκεῖσε ἀπελθοῦσα. ὁ μέντοι Ἀχιλλεὺς πολεμαρχῶν καὶ τὰ περὶ Φρυγίαν ληιζόμενος καὶ ταύτην τὴν Θήβην εἷλε καὶ τὴν Χρυσηίδα μετὰ τῶν ἄλλων ἠνδραποδίσατο Ma²* (= Eustath. ad Il. α 366 p. 118, 42)

1 *τὰ* ante *κύκλῳ* e *Wolf* Re delevi 2 *οὐκοῦν* reposui e libris *οὐκ οὖν* edd | *μὲν κύκνον Ma* 5 *τὰς πόλεις Ma* sed del et *γρ τὴν προσεδρείαν* in marg m² *προσεδρίαν* Mor 6 *οὐ*] *καὶ Can* | *οὐκ ἐνῆν* post *ἐνῆν HLa* sed in hoc in marg del *y* | *ἐνενδεία H* *ἐνδεία La* sed *ἐν ἐνδεία* in marg *y* 7 *χερρόννησον La* *χερόννησον H* 9 *τῷ* om *MaBCan* Mor *τῶν Vi* | *χρόνῳ B* 10 *περὶ Ma* sed *παρὰ* in marg m² *εἰς Can* Mor | *ὥστ' BLaurCan* edd 11 *διὰ* om *H* 12 *προσήκουσαι Can* | post *προσήκουσι* lac 7 litt *Laur* 13 *καὶ* om *Vi* | *προσκεκρούκαμεν La* sed *προσεκρούσαμεν* in marg *y* *προσεκρούσαμεν MaCan*

χανον, ἀλλὰ πάντων ἀργότατα καὶ ῥᾳθυμότατα τῷ πολέμῳ κεχρημένος καὶ μηδὲν ἐποίουν βέλτιον, ἀπό γε ταύτης προσήκειν ἡμῖν ἰσοθέων ἀξιωθῆναι τιμῶν. 15. σκοπεῖτε γάρ· εἶχεν Ἀγαμέμνων τὴν Χρύσου παῖδα λαβών, ὁ δὲ Χρύσης οὗτος ἦν ἱερεὺς Ἀπόλλωνος. βουλόμενος οὖν ἀνασῶσαι τὴν θυγατέρα πρὸς τὸ στρατόπεδον ἧκεν οὔτε λύτρων φειδόμενος τῷ τε θεῷ δοθῆναι τὴν χάριν ἱκετεύων. ὁ δὲ μετρίως καὶ καλῶς ὑπὲρ τῶν κοινῶν βεβουλευμένος οὔτ' ἀφῆκεν οὔτε πρᾴως ἀπέπεμψεν, ἀλλ' ἠπείλησεν ἀποκτενεῖν, εἰ μὴ φύγοι, λῆρον εἶναι φήσας τὴν τοῦ θεοῦ συμμαχίαν. 16. ἐμοὶ μὲν οὖν εὐθὺς δεινὸν τοῦτ' ἐφαίνετο καὶ μεγάλων ἀρχὴ συμφορῶν, οὔτε γὰρ ἐκεῖνον μὴ κατεύξεσθαι τῶν Ἀχαιῶν εἰκὸς ἦν οὔτε μὴν τὸν Ἀπόλλω μὴ συναλγήσειν τῷ πρεσβύτῃ, τοῦ δὲ μὴ δοκεῖν οὔπω τῶν δεινῶν παρόντων ἐξεπίτηδες συγκρούειν τὸν ἄνθρωπον τοῖς Ἀχαιοῖς ἐσιώπων. ἀλλ' οὐκ ἔφθη παροινήσας εἰς τὸν Ἀπόλλω, καὶ τὸ στρατόπεδον ἐξαίφνης ἀνηλίσκετο νόσῳ καὶ τὸ ἔργον ἡμῖν ἦν αἱ τῶν ἀπιόντων ταφαὶ καὶ τῷ

---

6 Il. α 13 sq. Dict. II 28 10 Il. α 28 13 Plat. rep. III p. 393 A. Il. α 42 14 Il. α 43 16 Thuc. I 44, 2 19 Il. α 52

---

1 *πάντων Ma* sed ν e ς corr m[2] 2 *εἰ* ante *καὶ H* 3 *προσήκειν* reposui ex *HLaViMaLaurCan* *προσῆκεν B* edd | *ἡμῖν* reposui e libris *ἐμοὶ* edd 5 *ἱερεὺς ἦν Ma* | *τοῦ* ante *ἀπόλλωνος Laur* 6 *οὖν* inser *Ma*[3] 7 *δώρων Can* | *δοθῆναι* reposui e libris sed *γρ δοῦναι* suprascr *Ma*[3] *δοῦναι* edd 9 *βεβουλευμένους Can* | *πράως ViMa* Mor 10 *ἔπεμψεν H* *φύγῃ Ma* 11 *τοῦ θεοῦ*] *θεῶν* Mor | *συμμαχίαν* Mor sed *γρ θεραπείαν* in marg 12 *οὖν* om *Can* Mor | *τι* ante *τοῦτ' La Vi* et inser *Ma*[3] | *τοῦτο Can* Mor 13 *κατεύξεσθαι* scripsi *κατεύξασθαι* libri edd 14 *τὸν* inser *Ma*[3] 15 *πράγματι Can* | *τοῦ*] *τῷ Laur* 16 *ἐξεπίτηδες* om *B* 18 *ἐξαίφνης Ma* sed *ἐξα* in ras m[3] 19 *ἡμῖν* reposui e libris *ἡμῶν* edd

πολέμῳ κρατοῦντες ἑνὸς ἀνδρὸς ἐφθειρόμεθα δυσσεβείᾳ. 17. *ἔδει μὲν οὖν, εἰ καὶ πάντες ὀλιγώρως εἶχον* R IV 53 *τῶν συμβαινόντων καὶ τοῦ καθ' αὐτὸν | ἕκαστος μόνου φροντίζων τῆς κοινῆς κατημέλει σωτηρίας, Ἀγαμέμνονα περιθεῖν ἄνω καὶ κάτω καὶ πρὸς τὰς σκηνὰς ἰόντα τῶν ἐν τέλει συγκαλεῖν, συνάγειν, δεῖσθαι, πάντα ποιεῖν ὥστε τὴν λύσιν εὑρεθῆναι τοῦ κακοῦ· νῦν δὲ ὥσπερ τῶν πολεμίων ἁπτόντων τοῖς νεκροῖς τὰς συνεχεῖς πυρὰς καὶ συμφορὰς ἀκούων ἀλλοτρίας, οὐ τὰς οἰκείας ὁρῶν οὐ λόγον εἶπεν, οὐ σύλλογον ἐποίησεν, οὐκ ἀνέστησε σύμβουλον, οὐκ ἤρετο μάντιν, ἀλλὰ τοὺς μὲν ἀφῆκεν ἀποθνήσκειν, αὑτῷ δὲ ἱκανὴν εὐδαιμονίαν ἔκρινεν, εἰ τρυφᾶν ἐξείη.* 18. *τί τοίνυν ἐχρῆν με πράττειν, Ὀδυσσεῦ, τοῦ λοιμοῦ μὲν ἐπικειμένου, τῶν δὲ καταλόγων κενουμένων, ῥᾳθυμοῦντος δὲ τοῦ κρατοῦντος, σιωπῶντος δὲ σοῦ, σιωπῶντος δὲ Νέστορος, ὃν ἤγαγεν εἰς Τροίαν τὸ δοκεῖν δύνασθαι τὰ δέοντα*

5 Luc. Tox. 56 11 Il. κ 55 14 Il. η 325; κ 57

---

3 *καθαυτὸν Can* | *αὐτὸν H* 4 *μόνον MaB* 5 *περιθεῖν* scripsi ex *HLaLaur* *παραθεῖν Ma* *περιθέειν B* edd *παραθέειν Vi* *παρὰ θέειν Can* 6 *τῶν ἐν τέλει*] *τὰς μάντεις Can* | *συγκαλεῖν* om *B* 7 *λύσιν Ma* sed *λ* in ras 2 litt m² *φύσιν HLaurCan* | *δ'* edd 8 *ἁπτόντων* scripsi *ἀπτόντων La* *ἀπόντων* reliqui libri sed in *ἀπτόντων* corr *Ma*³, edd *ἀπιόντων* coni Re et Iacobs Add 226 Anth Pal III 471 | *ἐπιούσας* ante *τοῖς Vi*, *ἐπιθήσας* edd sed *γρ ἐπιθεὶς καὶ ἐπιούσας* in marg Mor delevi *ἐπιούσας ἀγνοῶν* coni Re *ἐπινήσας* Iacobs | *τῶν νεκρῶν B* 10 *λόγων* (ο suprascr) *Can* | *ἐποίησε Can* *ἐποιήσατο B* 11 *ἀνεζήτησε La* 12 *αὐτῷ HLaBCan* edd | *δ' BLaurCan* edd | *ἱκανὴν Ma* sed *ὴν* in ras m² 13 *τρυφῶν Ma* sed *ᾶν* suprascr m² | *ἐξήει Ma* sed *ηει* in *ειη* corr m², *Vi* *ἐξῇ Can* Mor | *τοίνυν La* sed *οὖν* suprascr *p* *οὖν Ma* | *με* om *Can* Mor 14 *ἐπικειμένου Ma* sed *γρ ἐπεκτεινομένου* in marg m² 15 *κινουμένων* Mor 16 *δὲ* (2) om *Can* 17 *ἐσήγαγεν Can*

παραινεῖν; ἐᾶν ἔδει τὸ δεινὸν χωρεῖν καὶ μὴ ζητεῖν ὅπως στήσεται; καὶ τίς ἂν ἐμήνυσε τοῖς οἴκοι τὸν τρόπον τῆς τελευτῆς; οὐδὲ γὰρ ἄγγελον ἂν κατέλιπεν ἡ νόσος. ἀλλ' ἔδει σκοπεῖν εἴ τις ἴασις ἔσται καὶ φανῆναί τινα ὑπὲρ τῶν κοινῶν ἀτυχημάτων ἀχθόμενον. 19. ἐφάνην τοίνυν τηνικαῦτα ἐγὼ καὶ παρελθὼν εἶπον οὐδὲν οὔτε προπετὲς οὔτε ἀπαίδευτον, οὐ γὰρ ἰσχυρισάμην εὐθὺς ἐκ τῆς περὶ τὸν Χρύσην ἀτιμίας τὸ στρατόπεδον νοσεῖν, ἀλλ' ὃ δίκαιον πάντες ἂν εἶναι· φαῖεν πλὴν Ἀγαμέμνονος, ἐπὶ τοὺς μάντεις ἠξίουν καταφεύγειν καὶ παρ' ἐκείνων μανθάνειν, πῶς ἂν πριαίμεθα τοῦ λοιμοῦ τὴν λύσιν, καί τινων αἰγῶν καὶ θυσιῶν | ἐμνημόνευον. ὁ δὲ Χρύσης οὐκ ἦν ἐν τοῖς ἐμοῖς R IV 54 λόγοις. καλούμενος δὲ ὁ Κάλχας ὑπὸ τοῦ καιροῦ λέγει τὰ παρὰ τῆς τέχνης, ὡς ὁ θεὸς παρώξυνται καὶ τιμωρεῖ τῷ πρεσβύτῃ καὶ ζητεῖ τὴν κόρην. 20. τί τοίνυν ἐπλημμέλουν; δεῖξον, Ὀδυσσεῦ. ἠδίκουν φυλάττων Ἀγαμέμνονι τὴν ἀρχήν; ὁ γὰρ τοὺς ἀρχομένους φυ-

10 Il. α 62 12 Il. α 66 14 Il. α 92 sq.

εἰσήγαγεν Mor | Τροίαν scripsi ex *HLaViMaBLaur* ἴλιον *Can* edd | τῶ *HCan* et γρ in marg Mor

1 συναινεῖν *Vi* 2 στήσηται *La* sed ε supra η *y* 3 ἂν om Mor | κατέλιπεν *Ma* sed έλι in ras m² 4 εἴ] ἤ *LaCan* ἢ *Vi* 7 οὔτ' *LaurCan* | ἰσχυρισάμην *Ma* sed ἰσχυρῶς εἶπον in marg m² 9 ἂν πάντες ἂν *Can* | εἶναι inser *Ma*³ | φαῖεν *Ma* sed ˜ εν in ras m³ 10 καταφεύγειν scripsi ex *HLaViMaB Laur* καταφυγεῖν *Can* edd 12 καί τινων αἰγῶν reposui e libris καὶ τιμῶν edd | θυσίων *LaLaur* θυσίας *HMa* 14 λογισμοῖς *Vi* 15 τὰ παρὰ Mor sed γρ τὰ συμβάντα in marg | περὶ *Vi* | παροξύνεται *HVi* 16 verbis τῷ πρεσβύτῃ incipit *Cr* fol. 83ᵛ sed pauca posteriore scriptura non obtecta dispici queunt | τὴν κόρην *Ma* sed ην bis in ras m³ 17 ἐπλημέλουν *ViMa* | ὀδυσσεῦ δεῖξον *Laur* 18 οὐ. (*neutiquam.*) post ἀρχήν; excidisse coni Re

λάττων ἐκείνῳ συνεῖχε τὸ σχῆμα. ἠδίκουν ἐπὶ τὸν μάντιν ἄγων τὸ πρᾶγμα; τί οὖν εἵπετο τῇ στρατιᾷ μέλλων ἐν τοῖς ἀπόροις ἄφωνος ἔσεσθαι; καὶ μὴν ἐπ' αὐτῆς τῆς ὀργῆς ἐμαρτύρησεν Ἀγαμέμνων ταὐτά με σπεύδειν ἃ μάλιστ' ἂν αὐτὸς βούλοιτο. τί γὰρ ἔφησε;

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.

οὐκοῦν καὶ αὐτὸς σῶον εἶναι τὸν στρατὸν ἐθέλων μᾶλλον ἢ ἀπολωλέναι τὴν ἐκκλησίαν συνῆγον. πῶς οὖν ὑβριζόμην ὡς ἀδικῶν ὁ τὴν ἐπιθυμίαν Ἀγαμέμνονι πληρῶν; 21. πῶς δ' οὐκ αὐτὸς παρ' αὐτοῦ λαμβάνει δίκην, εἰ τὸ βούλεσθαι σώζεσθαι τὸν στρατὸν ἀδικεῖν ἐστιν; ἐχρῆν γὰρ ἢ καὶ αὐτὸν ἀτιμοῦν ἢ καὶ ἐμὲ θαυμάζειν. εἰ γὰρ μὴ Κάλχας ἦν ὁ μνησθεὶς τῆς γυναικός, ἀλλ' ἐγώ, τί δεινὸν ἦν ἀποστάντα τῆς κόρης θαρρεῖν ὑπὲρ τοῦ στρατοῦ; οὐ τιμωρίας ἀξίαν ⟨ἂν⟩ ἐδεδώκειν τότε γνώμην, Ὀδυσσεῦ, ἀλλὰ στεφάνων καὶ

1 Aristid. p. 589, 9 6 Il. α 117 8 Aristid. p. 590, 4

1 ἔκνω *Ma* sed in ἐκείνω corr m³ | συνεῖχε scripsi ex *H La* sed in hoc συνέχει suprascr *y*, *Vi* συνέχει reliqui libri edd | τὸ σχῆμα *Ma* sed τὴν ἀρχὴν suprascr m² 2 στρατείᾳ *HLa* 3 ἐν om *Can* | μὴ *Can* 4 ταὐτά scripsi ταῦτά libri edd 5 μάλιστ' ἂν] μάλιστα *Can* Mor | ἐβούλετο *CrHLa* | ἔφησ *Can* 6 σόον *La* sed ό in ῶ corr *p* σῶον *CrHViMa* 7 οὐκ οὖν *La* edd | σῶν *Laur* | τὸν στρατὸν inserui ex *HLaViMaLaur* om reliqui libri edd | μᾶλλον ἐθέλων *Laur* | ἐθέλων scripsi ex *HLaViBLaurCan* θέλων reliqui libri edd 10 δὲ *CrHLa* | αὐτοῦ scripsi e *Laur* αὑτοῦ reliqui libri edd | λαμβάνει *Ma* sed ει in ras m³ 11 τῶ *H* | τὸν στρατὸν scripsi e *CrHLaVi MaB* τὸ στρατόπεδον *LaurCan* edd sed γρ στρατὸν in marg Mor 12 ἐστι *HLaB* Mor | χρῆν *CrHLa* sed in hoc ἐ antepos *n*, *B* χρὴ *Can* | καὶ om *CrHMa* | αὐτὸν scripsi e *Laur* αὑτὸν reliqui libri edd | καὶ om *Ma* 15 ἂν inserui om libri edd 16 ἐδεδώκειν — Ὀδυσσεῦ scripsi e *CrHLaVi* ἐδεδώκειν γνώμην ὀδυσσεῦ *Ma* ἐδεδώκειν ὀδυσσεῦ τότε γνώμην *BCan* Mor ὀδυσσεῦ ἐδεδώκειν τότε γνώμην *Laur* ἐδεδώκειν γνώμην τότε Ὀδυσσεῦ Re | ·οὐ· post γνώμην *B* | καὶ ante στεφάνων *Vi*

τιμῶν καὶ δωρεῶν. 22. δῆλον δὲ ἐκ τοῦ παρόντος. τίς γὰρ ἡ πρόφασις τουτωνὶ τῶν δώρων; ἡ σωτηρία τῶν Ἑλλήνων. οὐκοῦν καὶ τότε τοὺς Ἕλληνας ἔσωζον ὅπως ἀπαλλάξονται τοῦ λοιμοῦ προνοῶν. ὥστε καὶ τότε | τοῦ δικαίου νικῶντος ἐτιμώμην ἄν. οὐ γὰρ δὴ R IV 5 τὸ σιδήρῳ μὲν πληγέντα πεσεῖν ἀφόρητον, λοιμῷ δὲ ἀπενεχθῆναι κοῦφον, ἀλλὰ τοσούτῳ τοῦτ' ἐκείνου χαλεπώτερον, ὅσῳ τὸ μὲν ἐπαινεῖται, τὸ δὲ οἰκτείρεται, καὶ τῷ μὲν ὑπάρχει τι δόξης, τὸ δὲ σημεῖόν ἐστι τῆς τῶν θεῶν δυσμενείας. εἰ δὴ τὸ τοὺς πολεμίους ἀπώσασθαι δωρεῶν ἄξιον, τό γε λῦσαι τὸν λοιμὸν πῶς οὐ μειζόνων; οὔκουν ἀντὶ τούτων ὑβρίζειν δίκαιος ἦν, ἀλλ', εἰ καὶ πρότερον ὑβρισμένος ἐτύγχανε, τούτων εἵνεκα διαλλάττεσθαι. ὁ δὲ ταῦτ' ἐν ἐγκλήμασιν ἐποιεῖτο, δι' ἃ καὶ παλαιὰ χρῆν ἀνελεῖν ἐγκλήματα. 23. καὶ μὴν οὐδ' ἐκεῖνο δῆλον ὑπῆρχεν, ὡς μόνης τῆς Χρυσηίδος ὁ λοιμὸς ἀφέξοιτο. πότερον οὖν κρεῖττον

---

2 Il. ι 263 sq.

---

1 δ' *Ma* 2 τί Mor | γὰρ om *Ma* | τούτων *HLa* τούτων ἢ *Vi* | δωρεῶν *LaViMaLaur* 3 οὐκοῦν om *LaVi* οὐκ οὖν edd 4 ὅπως *Ma* sed πῶς suprascr m³ | ἀπαλλάξονται scripsi ἀπαλλάξωνται libri edd 5 νικῶντος *Ma* sed νικ in ras m³ | post ἂν ras 10 litt *La* in qua οὐ n | δὴ om *BCan* Mor 6 τῶι *CrHCan* Mor 7 ἀπενεχθῆναι *Ma* sed ἀποθανεῖν suprascr m³ | τοσοῦτον *LaurCan* | τοῦτο *MaBLaurCan* Mor 8 ὅσον *LaurCan* | το (2) *Can* 9 τῷ scripsi e *CrLaMa LaurCan* τὸ reliqui libri edd | τι inserui e *Can* τί *CrHLa* sed in hoc inser *p*, *ViMaLaur* om *B* edd 10 τοῦ θεοῦ *Vi* | δὲ *Can* | τὸ om Re | πολέμους *Vi* 11 λύσαι *HMa* sed in hoc ´ corr e ˜ 12 οὔκουν reposui e libris οὐκ οὖν edd | δίκαιον Mor 13 ἐτύγχανον *Ma* 14 ἕνεκα *ViBLaurCan* 15 παλαιᾶ *La* | χρῆν scripsi ἐχρῆν libri edd | ἀνελεῖν ἐγκλήματα] ἐγκλήματα συγχωρεῖν *Ma* sed συγχωρ in ras m³ et γρ ἀνελεῖν in marg m², *Laur* 17 ὁ λοιμὸς — 318, 3 χρυσηίδος praemisso κείμενον in marg *Ma*²

ἦν καὶ λυσιτελέστερον μετὰ τῶν ἄλλων τεθνάναι τὴν κόρην ἢ σῶσαί τε τοὺς ἄλλους καὶ αὐτὴν σεσῶσθαι; 24. *ἔτι τοίνυν, εἰ μὲν ἐμοὶ παραχωρήσεσθαι τῆς Χρυσηίδος ἔμελλεν ἢ Αἴαντι ἢ Ἰδομενεῖ ἢ σοὶ ἢ ὅλως ἀνθρώπων τινί, οὐδ' οὕτω μὲν ἐχρῆν ἀγανακτεῖν, εἰ τοῦ συμφέροντος ὁ λογισμὸς ἐνταῦθα ἦγεν, ἔδοξε δ' ἂν οὐκ ἔξω φύσεως ἀνθρωπίνης εἶναι τὸ πάθος· νῦν δὲ θεὸς ἦν ὁ τὴν ἄνθρωπον ἀπολαμβάνων. θεῶν δὲ ἡττᾶσθαι ποῦ λυπηρόν; ἢ τίς αἰσχύνη; εἰ γὰρ τὸ σκῆπτρον ἐκέλευεν ἀποθέμενον ἐν ὑπηρέτου μέρει διάγειν, οὐκ ἐχρῆν ἀγαπᾶν καὶ τοῦτο νομίζειν καλόν τε καὶ γενναῖον ὅπερ ἐκεῖνος προσέταττε; καὶ μὴν εἰ μὲν ἄκων ἠφίει τὴν κόρην, ἐχθρὸς ἦν τῷ θεῷ· εἰ δ' ἑκὼν*
R IV 56 *ἀνεβίβαζεν εἰς τὴν ναῦν, πῶς ἃ μεθ' ἡδονῆς | ἔπραττε, τούτων εἰσεπράττετο δίκην;*

25. *Συλλογίσασθαι δὴ βούλομαι τὰς εὐεργεσίας*

4 Il. α 145 14 Il. α 310

1 *λυσιτελέστατον* Mor 2 *τε* reposui e libris (*τὲ καὶ Vi*) om edd 3 post *μὲν* ras 3 litt *Ma*[2] | *παραχωρήσεσθαι* scripsi e *CrHLaBLaur* *παραχωρήσασθαι Can* *παραχωρήσειν Ma*[2] edd *παραχωρῆσαι Vi* 4 *ἢ*] *καὶ Cr* | *τῶ* ante *αἴαντι Can* | *ἢ* inser *Can*[2] | *σοὶ ἢ* om *Can* 5 *ἀνθρώπω LaViCan* | *οὐδὲ La* | *οὕτως LaViMaLaurCan* | post *εἰ* ras 1 litt *Ma* 6 *ἔδειξε δ' ἂν Can* *ἔδειξεν ἂν* Mor sed *γρ ἔδοξε δ'* in marg 7 *τὸ πρᾶγμα εἶναι Vi* | *πάθος Ma* sed *γρ πρᾶγμα* suprascr m[3] 8 *ὁ* ante *θεὸς CrH* | *λαμβάνων CrHLaur* *αἰτῶν Ma* sed *γρ ἀπολαμβάνων* suprascr m[3] | *θεὸν Vi* *θεῶν* Mor sed *γρ θεοῦ* in marg 9 *ποῦ Ma* sed *οὐδαμῶς* suprascr m[3] 10 *ἐκέλευσεν Ma* | *μέρει Ma* sed *γρ μοίρα* suprascr m[3], Mor sed *γρ μοίρα* in marg *μέρος Can* *μοίρα Vi* 11 *ἐχρῆν La* sed *η* ex *ει* corr *n* | *τοῦτον La* | *νομίζων Ma* 13 *ἠφίει ἄκων* Mor | *ἐχθρὸς* reposui e libris *ἐχθρὸν B* edd | *ἀπόλλωνι Vi* | *δὲ B* 14 *ἀνεβίβαζεν* scripsi e *CrHMaLaurCan* coll. Il. l. l. *ἐνεβίβαζεν* reliqui libri edd 16 *Συλλογίσασθαι* — 319,4 *μάντεως* citat praemissis verbis *καὶ πάλιν* post *βούλομαι-εἰπεῖν* (p. 333, 7) Gregor. Corinth. *εἰς τὸ περὶ μεθόδου δεινότητος* Hermog. ed. Walz rhet. t. VII p. 1224, 24 — 1225, 4

καὶ διελθεῖν ἐν βραχεῖ. ἔδωκα τὸν ἡγεμόνα τῷ στόλῳ Τήλεφον, ἐτρεψάμην τοὺς ἀνείργοντας τὴν ἀπόβασιν, ἐψίλωσα τοὺς Τρῶας τῶν περιοίκων, μετήνεγκα τὸν πλοῦτον εἰς ὑμᾶς, ἔπαυσα τὸν λοιμὸν διὰ τοῦ μάντεως. τίνες οὖν αἱ τούτων ἀμοιβαί; ἐστέρημαι τοῦ γέρως, ἀφῄρημαι τὴν τιμήν, ὑπὲρ τοὺς ἀτίμους ὕβρισμαι. ποῦ νῦν Βρισηίς, Ὀδυσσεῦ; παρὰ τῷ πέμψαντι τὴν πρεσβείαν. οὐ γέγονεν ἐκ τοῦ παντὸς χρόνου προπηλακισμὸς δεινότερος. 26. μαρτυρήσατέ μοι, πρὸς Διός, ὦ κήρυκες, οἳ τοῖς ἐπιτάγμασιν Ἀγαμέμνονος ᾐσχύνεσθε καὶ τῷ μὴ τολμῆσαι προσελθεῖν τοῦ τολμήσαντος ἀποστεῖλαι κατεγνώκειτε. ἐξῆγε μὲν ὁ Πάτροκλος τὴν κόρην κύπτων εἰς γῆν, ἐδέχετο δὲ ὁ Ταλθύβιος ἐρυθριῶν, εἵπετο δὲ ἡ Βρισηὶς στένουσα, ἐγὼ δ' ἐγκαλυψάμενος ἀπεχώρουν, Ἕκτωρ δὲ ἴσως ἐγέλα. 27. ὦ πόνοι καὶ μάχαι καὶ πόλεων ἀνδραποδισμοί. ἀνανεοῦμαι τῇ μνήμῃ τὴν ὕβριν καὶ πάλιν ἐμπίπλαμαι τοῦ θυμοῦ. φεῦγε μάλ' ἤκουον ἐπὶ τοῦ συλλόγου. τί οὖν ἐνοχλεῖ τῷ πεφευγότι; τὸ ἐκείνου μέρος ἀνῆγμαι καὶ

---

5 Il. α 356 10 Il. α 338 11 Il. α 331 12 Il. α 346
15 Il. ι 325 18 Il. α 173 19 Aristid. p. 589, 3

---

1 τὸν inserui e libris et Greg om edd 2 ἐνείργοντας *Vi* 3 ἐτόξευσα ante ἐψίλωσα *Can* ἐστέρησα Mor sed γρ ἐψίλωσα in marg 4 ὡς *Ma* | ἡμᾶς *Laur* Greg 6 τῶν τιμῶν *Laur* 8 καὶ *Ma* sed οὐ suprascr m³ | τοῦ om *Laur* 9 βαρύτερος *CrHMa* 10 οἳ reposui e libris cum Sinteni οἱ edd 11 τὸ *La* sed ὁ in ῶ corr *n* | παρελθεῖν *Ma* 12 καταγνώκειτε *Ma* sed γρ κατέγνωτε in marg m² | πρόκλος *Can* 13 δὲ ὁ om *Can* Mor 14 ἡ om Re | στενάζουσα *Ma* (et Bodl. Misc. 186 fol. 235r) | ἔγωγ' *Vi* | δὲ *HBLaurCan* edd
15 ὑπεχώρουν *BCan* | δ' *CrHMa* 16 πόνοι scripsi e *CrHLaViMa* πόλεμοι reliqui libri edd 17 τὴν ὕβριν τῇ μνήμῃ *LaurCan* | τῇ μνήμῃ *Ma* sed γρ τῇ γνώμῃ suprascr m³ | πάλιν reposui e libris πᾶς edd 18 μάλλ' *Can* μᾶλλον *LaVi*
19 πεφευγότι *Ma* sed γρ φεύγοντι in marg m² | ἐπὶ ante τὸ

νῦν εἰμι μετὰ τοῦ πατρός. πάρεισιν αὐτῷ βασιλεῖς ἐπιεικεῖς καὶ πρᾷοι καὶ μισοῦντες φιλονεικίας, ἐγὼ δὲ χαλεπός τις καὶ δύσερις. μὴ ζητείτω δὴ τοῦτον οὗ φαυλίζει τὸν τρόπον.

28. *Ἀλλ' Ἕκτωρ, φησί, μέγας γέγονε καὶ φοβερὸς καὶ ταῖς ἀπειλαῖς πάντας ἐλαύνει τὸ θαρρεῖν ἔχων παρὰ τοῦ Διός. μηδὲ παύσαιτό ποτε τοιαῦτα δρῶν, ὦ Ζεῦ πρόγονε. ταῦτα γάρ ἐστιν ἃ μετὰ τὴν ὕβριν ηὐξάμεθα, τὸν μὲν κρατῆσαι τοῦ πεδίου, τοὺς δὲ ἀεὶ πρὸς θάλατταν βιασθῆναι, τὸν δὲ κίνδυνον ταῖς ναυσὶ προσελθεῖν. εἰ τοίνυν ταῦτ' ᾐτοῦ-*
R IV 57 *μεν, ταῦτα δὲ πέπρακται, | οὐκ ἀφ' ὧν λυπήσεις ἀπήγγελκας, ἀλλ' ὧν εἰς ἡδονὴν πάντα ἐλάττω.* 29. *εἰ μὲν οὖν τέρψαι βουλόμενος ἀθυμοῦντα τὴν Ἕκτορος διηγοῦ λαμπρότητα, καλῶς εὗρες ὅθεν παραμυθήσῃ· εἰ δ' οἴει τούτοις κινήσειν, λίαν εὐήθως ἔχεις. πῶς γὰρ οὐκ ἄτοπον βούλεσθαι μὲν Ἕκτορα γενέσθαι*

1 Il. ι 394; σ 434. Od. μ 495 sq. | Il. α 174   3 Il. α 177
5 Il. ι 237 sq. Aristid. p. 601, 9 sq.   8 Il. φ 189

---

inser *Ma*³ „*malim τὸ γὰρ ἐκείνου*“ Re | *'κείνου BLaur* *κείνου LaCan*

2 *πρᾷοι HVi* Mor | *φιλονεικίας* scripsi e *LaViMaLaurCan* *φιλονεικίαν B* *φιλονεικείαν CrH* edd   3 *ζητείτω δὴ* scripsi e *CrHLaViMa* sed in hoc *δὴ* inser m³ *δὴ ζητείτω B* edd *ζητείτω* reliqui libri   6 *πάντα Ma* sed *ς* add m³, *BCan* 7 *ἀπὸ Can* | *μηδὲ* scripsi *μὴ δὲ* libri edd | *παύσαιτο* Mor sed *γρ παύσαιο* in marg   8 *τοιαῦτα ποτὲ Vi* | *τοῦτο LaViMa* *τοιαῦτα Can*   9 *ὃ HLaViMa* | *εὐξάμεθα Laur*   10 *ἀεὶ πρὸς θάλατταν* scripsi e *CrHLaViMaB* *πρὸς θάλατταν* (*θάλασσαν Can*) *ἀεὶ LaurCan* edd   11 voce *ναυσὶ* des *Cr* fol 83ʳ 12 *λυπήσοις* Mor   15 *διηγοῦ* scripsi ex *HLa* sed in hoc *ῇ* suprascr *y*, *Laur* *διηγῇ* reliqui libri edd | *λαμπρότητα Ma* sed *τη* inser m³ | *γὰρ* post *καλῶς H*   16 *τούτους La* sed *τούτοις* suprascr *y*, *Vi*   17 *ἕκτορα μὲν βούλεσθαι Laur*

μέγαν, γενομένῳ δὲ φθονεῖν, καὶ συνεύχεσθαι μὲν αὐτῷ πολέμου κράτος· ἐπεὶ δὲ κρατεῖ, κωλύειν, καὶ ταπεινοὺς μὲν τοὺς Ἕλληνας ἰδεῖν ἐπιθυμεῖν, ἡττωμένους δὲ πάλιν ὀρθοῦν, καὶ ταὐτὰ ποθεῖν τε ἀπόντα καὶ παρόντα διαφθείρειν, ὥσπερ ἂν εἴ τις παρὰ τῆς Δήμητρος αἰτήσας εἰς πλῆθος αὐτῷ γενέσθαι τοὺς καρπούς, εἶτα τυχὼν ἄχθοιτο τῇ φορᾷ; 30. *εἰ ⟨μὲν⟩ συμμαχοῦντος ἐμοῦ καὶ κοινωνοῦντος τῶν πόνων, Ὀδυσσεῦ, ταῦθ' ἃ νῦν Ἕκτωρ ἐτόλμα, εἶχεν ἄν τινά μοι τοῦτο παροξυσμὸν καὶ οὐκ ἂν ἠξίωσα ζῆν ἐκείνου ζῶντος· εἰ δὲ τότε μὲν ὑπὸ τῷ τείχει παρετάττετο καὶ τὰς ἐξόδους ὡρίζετο τῇ δρυί, νῦν δὲ οὐδὲν αὐτῷ τὴν μανίαν χωρεῖ, τί τοῦτο πρὸς τὸν ἐν τῇ σκηνῇ καθήμενον; καταφρονεῖται γὰρ οὐχ ὁ τῶν πραγμάτων ἀποστὰς διὰ τὴν ὕβριν, ἀλλ' οἱ μὴ τοῖς πράγμασιν ἱκανοὶ παρόντες βοηθεῖν.* 31. *ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ*

---

12 sq. Il. ι 352 sq. cf. p. 359, 11 et Chor. Patr. t. IV p. 99, 25 R (p. 266, 16 Boiss.) 13 Il. ι 238

---

1 *γενομένῳ* scripsi ex *HLaViMaLaur* *γινομένῳ* reliqui libri edd | *συνεύχεσθαι Ma* sed *γρ συνέχεσθαι* in marg scr et del m[2] 3 *ἡττημένους BLaur* 4 *ἀνορθοῦν Vi* *ἐπορθοῦν* Mor *ἐπανορθοῦν* coni Re | *ταὐτὰ* scripsi e *Can* *ταῦτα* reliqui libri edd 5 *ὥσπερ* — 7 *φορᾷ* citat praemisso *Λιβάνιος* Lopadiota lex. Vind. p. 188, 13 s. v. *φορὰ ἡ ἐπιτυχία τῶν καρπῶν* 6 *εἰς Ma* sed *'ς* in ras m[3] | *αὐτῷ* scripsi cum Lopad *αὑτῷ* libri edd | *τοὺς* inser *Ma*[3] 7 *τυχὸν Can* | *φθορᾷ Can* sed *θ* eras *μὲν* inserui om libri edd 8 *πόνων* scripsi ex *HLaViMa* *ἀγώνων* reliqui libri edd 10 *τοῦτο* scripsi e *LaViMaBLaur* *τούτων HCan* edd 11 *ὑπὸ* scripsi e *B* *ἐπὶ* reliqui libri edd 12 *δ' BLaurCan* edd | *αὐτῷ* reposui ex *HLaViBLaur Can*, ut coni Re *αὐτοῦ Ma* edd | *τῇ μανίᾳ Ma* sed in *τὴν μανίαν* corr m[2] 13 *τὸν Ma* sed *ο* in ras m[3] 14 *γὰρ* in ras *Ma*[3] | *οὐχ ὁ*] *οὐχὶ* Mor | *ὁ τῶν*] *ὅταν Vi* 16 *ἐγὼ* — 322, 1 *ἀριστείαν* citat praemisso *Λιβάνιος* Lopadiota lex. Vind. p. 15, 5 s. v. *ἀπέχω· ἐνεργητικῶς ἀντὶ τοῦ διίσταμαι.* | *ἄρα* ante *τοσοῦτον* edd delevi | *τοιούτως ἔχω τὸ Can*

μισεῖν Ἕκτορα διὰ τὴν νῦν ἀριστείαν, ὥστε καὶ χάριν αὐτῷ φαίην ἂν εἰδέναι τοῦ θράσους. εἰ μὲν γὰρ ἐπὶ τῆς προτέρας εὐλαβείας ἔμενε, πολλοὺς ἂν Ἑλλήνων ἐδόκει δεδιέναι· νῦν δὲ ἀναθαρρήσας, ἐπειδὴ μετέστην, ἔδειξέ με μόνον φοβούμενος. κἀκεῖνο μὲν τῆς αὐτοῦ δειλίας ἦν ἂν σημεῖον, τοῦτο δὲ τῆς ἐμῆς ἀνδρείας τεκμήριον, κἀκείνως μὲν οὐκ ἂν ἐφάνη τοῖς Ἕλλησι
R IV 58 | τῆς ἀπουσίας τὸ βλάβος, νῦν δ' ὁ πολέμιος διδάσκει τὴν τοῦ παροινηθέντος ἀξίαν κρατῶν ἁπάντων τοσοῦτον ὁπόσον ἑνὸς ἡττᾶτο. τοῦτον οὖν ἀναστὰς ἐγὼ παύσω χαριζόμενον ἐμοὶ καὶ δίκην ὑπὲρ ἐμοῦ πραττόμενον; οὐκ ἄρα σωφρονεῖν δόξω. 32. καί μοι δοκεῖς οὐκ ὀρθὴν δόξαν ἐσχηκέναι καὶ καθ' ἡμῶν, Ὀδυσσεῦ. τούτους γὰρ δὴ σὺ τοὺς λόγους ἐπήρθης εἰπεῖν τοὺς περὶ τῆς μανίας Ἕκτορος ἐκεῖνο ἐνθυμούμενος ἴσως· φιλότιμος ὁ ἀνήρ. ὑπερβολὴ τοῦ πάθους παρ' Ἀχιλλεῖ. ἂν ἀκούσῃ τοῦ πολεμίου γενναῖον ἔργον, ἁρπάσεται τὰ ὅπλα. ἐγὼ δὲ τῆς μὲν ἐμαυτῷ προσηκούσης ἀντιποιεῖσθαι τιμῆς ὁμολογῶ κἂν ἀφαιρῶμαι ταύτην, οὐκ οἴσω μετρίως, οὐ μὴν

1 νῦν om *Can* Lopad 2 *φαίην ἂν αὐτῷ Ma* 3 *ἔμενεν* edd | *Ἑλλήνων* reposui e libris *Ἕλληνας* edd 4 *δ'* edd | *μετέστησεν HLa* sed in hoc *μετέστην* suprascr *y*, *ViMa* sed in hoc *σεν* add m[3], *Can* 5 *ἔδοξε Vi* | *με* om *HLaVi* | *δὲ Laur* 6 *ἂν* in marg inser *Ma*[2] | *ἀνδρίας B* 7 *κἀκεῖνος H* *κἀκεῖνο ViMa* sed in hoc in *κἀκείνως* corr m[3], *Can* *κἀκείνως* Mor sed *γρ κἀκείνῳ καὶ κἀκεῖνος* in marg | *ἂν* om *HLa* 8 *δὲ LaurCan* Mor | *ὁ* om Mor | *πόλεμος ViMa* sed in hoc in *πολέμιος* corr m[2], et *γρ* in marg Mor 10 *τοσοῦτον ἁπάντων Ma* 12 *δόξω σωφρονεῖν BLaurCan* | *κἀμοὶ H* 13 *καὶ* om *MaLaurCan* 16 *ὁ* inserui ex *HLa* sed in hoc inser *y*, *Ma B* | *ὑπερβολῆ H* sed ˜ in ras, *La* | *τοῦ πάθους Ma* sed *τῆς φιλοτιμίας* suprascr m[3] 17 *πολέμου BCan* Mor 18 *ἁρπάζεται* Mor | *δὴ* Mor 19 *τιμῆς ἀντιποιεῖσθαι Laur* 20 *ἀφαιρῶμαι* scripsi *ἀφῄρημαι* libri sed *αι* supra *ῄ* et *ρῶ* supra *ρη B*, edd | *οἴσεσθαι* Mor sed *γρ οἴσω* in marg

οὕτω μικροψύχως ἔχω καὶ μειρακιωδῶς ὥστ', εἴ τις εὐδοκιμεῖ δικαίως, ἀποπνίγεσθαι. 33. καὶ μὴν εἰ καὶ σφόδρα τοῦτ' ἔπασχον, οὐκ ἔσθ' ὅπως ἂν ἧττον ἐκινήθην ἢ τοιαῦτα ἀκούων. λέγεις γὰρ αὐτὸν τῇ τοῦ Διὸς συμμαχίᾳ τὰ μέγιστα δύνασθαι. τοῦτο δέ ἐστιν εὐτυχεῖν, οὐκ ἀγαθὸν εἶναι τὰ πολέμια. καὶ γίνεται τὰ κατορθώματα τῆς παρασχούσης Τύχης. φιλοτιμία δὲ ἀνθρώπου πρὸς μὲν τοὺς ἀρετῇ χρωμένους κἂν πάθοι τι καὶ παροξυνθείη, τοὺς δ' εὐπραξίᾳ τι δυνηθέντας οὐκ ἂν ζηλωτοὺς ἡγήσαιτο τῇ δούσῃ θεῷ λογιζόμενος τὰ ἔργα, ἐπεὶ καὶ τοὺς ἀγαθοὺς ἀτυχοῦντας οὐ φαύλους παρὰ τὰ πταίσματα κρίνομεν. καὶ νῦν Ἕκτωρ, εἴπερ ὄντως τῇ τύχῃ μέγας | ἐστί, πόρρω τοῦ R IV 59 θαυμάζεσθαι γίγνεται.

34. Ἀλλὰ γὰρ εὖ ποιῶν προσέθηκας τὸν Δία καὶ τὴν εὔνοιαν ἣν εἰς τοὺς Τρῶας ἔχει. ἐν γὰρ τούτῳ τῷ λόγῳ τὰς καθ' ἡμῶν ἀνῄρηκας αἰτίας. τίνα γὰρ μάρτυρα μείζω παράσχωμαι τοῦ δικαίως τὴν ἡσυχίαν ἄγειν ἢ τὸν ἄριστον τῶν θεῶν, ὃν σὺ φῂς ταὐτά μοι περὶ ὑμῶν φρονεῖν καὶ συνοργίζεσθαι καὶ τὴν ῥοπὴν

4 sq. Il. ι 236 sq.

2 *δικαίως* Mor sed *γρ γενναίως* in marg 3 *ἔπασχον τοῦτο Laur* | *τοῦτο BCan* Mor 4 *τοιαῦτ' LaurCan* 5 *δ' ἔστιν ViMa* 6 *γίγνεται LaViMa* 7 *Τύχης* scripsi *τύχης* libri edd | *τύχης φιλοτιμίᾳ. πῶς δὲ ἄνθρωπος πρὸς μὲν τοὺς* coni Re 8 *τῇ* ante *ἀρετῇ* Mor del Re | *ἀλκῇ Ma* sed *γρ ἀρετῇ* suprascr m[3] | *ἂν πάθῃ τί Vi* 9 *κἂν*? *δὲ LaVi* 10 *τις* post *ζηλωτοὺς* e *Wolf* Re delevi 12 *περὶ LaVi* 14 *θαυμάζεσθαι Ma* sed *εσθαι* in ras m[2] | *γίνεται HLaur* 17 *γὰρ* om *Can* 19 *τὸν θεὸν Ma* sed *θεὸν* in marg m[2] et in *τῶν θεῶν* corr m[3] | *φῂς* scripsi *φῇς MaB* Re *φῆς H* Mor *φὴς LaViLaur* *ἔφασκε Can* cf. ad p. 213, 7; 328, 11 20 *ὑμῶν Ma* sed *υ* in ras m[2] *ἡμῶν Vi*

ἄγειν ἐπὶ τοὺς ἐναντίους. πῶς οὖν ἀδικῶ χαλεπαίνων, εἰ τῷ χαλεπαίνειν ὁμολογῶ τῷ Διί; πῶς δὲ οὐ σεμνύνει μοι τὴν ὀργὴν ὁ κοινωνῶν μοι τῆς καθ' ὑμῶν ὀργῆς, μᾶλλον δέ, καὶ μειζόνως ἀγανακτῶν, εἴπερ ἐγὼ μὲν οὐ βοηθῶ τοῖς Ἕλλησιν, ὁ δὲ καὶ πολεμεῖ τοῖς Ἕλλησιν; εἰ τοίνυν τὸ τοῖς θεοῖς ἀκολουθεῖν δίκαια ποιούντων ἐστίν, αἱ μὲν διαλλαγαὶ τὴν μέμψιν, τὸ δὲ φυλάττειν τὴν ὀργὴν ἔπαινον ἔχει.

35. *Πάνυ τοίνυν ἤχθόμην, ὅτε με τοῦ πατρὸς ἀμνημονεῖν ἔφησθα· τὸν μὲν γὰρ κελεύειν θυμοῦ κρατεῖν, ἐμὲ δὲ ἥττω πεφηνέναι. οὐ γὰρ δὴ τοῖς μὲν ἄλλοις ἦν τότε ὦτα, ἐμοὶ δὲ οὐκ ἦν, Ὀδυσσεῦ, ἀλλ' ἴσμεν ἃ περὶ θυμοῦ λέγοντος ἀκηκόαμεν. σὺ δὲ σοφίζῃ καὶ διαστρέφεις τὸν λόγον. ἔλεγε τοίνυν τότε ἐκεῖνος· ὦ παῖ, μὴ καταμέλει τοῦ τοὺς Ἕλληνας ὡς οἰκειότατα πρὸς αὑτὸν διατεθῆναι. τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ μηδενὸς ἄρχοις ἀδίκου μήτ' ἔργου μήτε ῥήματος θυμῷ δουλεύων.* 36. *ἐκεῖνα δὲ οὐκ ἀκήκοα οὐδὲ ὁ Πηλεὺς ἐπέτελλεν· ὦ παῖ, μικρὰ φρόνει, ταπεινὸς γίνου, εἰς γῆν κύπτε, μὴ δόξης ὀρέγου, μετὰ τῶν ἀνδραπόδων ἀριθμοῦ, προσκύνει τοὺς ὑβρίζοντας, κἂν ἐπὶ κόρρης*

9 Il. ι 259 15 sq. Il. ι 254 sq.

1 *ἴα* post *ἐναντίους* *Ma* sed del m[2] 2 *τὸ* *LaViLaur* Mor | *ὁμολογεῖ* Mor | *δ'* *LaurCan* *οὖν* *Vi* 3 *μοι* (1) inserui ex *HLaViMaBLaur* om *Can* edd | *οὐ* *Can* 8 post *ἔχει* lac 4 litt *Laur* 9 *τοίνυν*] *μὲν οὖν* *Laur* 10 *γὰρ* om Mor 11 *οὐ*] *εἰ* *Can* 15 *καταμέλειν* Iacobs Add 285 16 *πρὸς* om *Can* | *αὐτὸν* *HLaViBCan* Re quod correxit Iacobs l. l. *διατιθέναι* *HLaViMaBLaur* et *γρ* in marg Mor 17 *ἄρχοις* scripsi ex *HLaCan* *ἄρχεις* reliqui libri edd 19 *ὁ* om *HVi* 20 *γίγνου* *H* 22 *κἂν* — 325, 1 *χαλέπαινε* citat praemissis

σε πατάξῃ τις, μὴ χαλέπαινε, κἂν ἀποστερήσῃ γέρως, σιώπα. πέμπω σε νῦν ἐπ' Ἴλιον οὐ κτησόμενον εὔκλειαν, ἀλλ' αἰσχυνοῦντα τὸ γένος. τούτων οὐδὲν ἀκήκοα τῶν λόγων οὐδὲ Πηλεὺς ἐπέτελλεν, ἀλλὰ καὶ τῆς ἐπιεικείας αὐτὸν ἐκεῖνον ἔφασκεν εἶναι τὸν μισθὸν τὴν παρ' ἑκατέρας τῆς ἡλικίας | R IV 60 τιμήν, καὶ νέων καὶ γερόντων. 37. ὁ δὴ τὴν πρᾳότητα καλὸν ἡγούμενος διὰ τὴν ἀπ' αὐτῆς τιμὴν πῶς ἂν οὗτος ἔπειθεν ἀνάλγητον εἶναι πρὸς ἀτιμίαν; ἀλλ', ὅπερ ἔφην, ἄρχειν μὲν ὕβρεως ἀπέτρεπε, λυπεῖσθαι δὲ παθόντα κακῶς οὐκ ἐκώλυεν, ἀλλ' οὐδ' ἂν τὴν ἀρχὴν ἔπεμψεν, εἰ ταῦτ' ᾔδει πεισόμενον. 38. εἰ μὲν οὖν ἐγὼ τὰ δίκαια τῶν Ἑλλήνων πρὸς ἐμὲ ποιούντων ἠγροικισάμην εἰς ὁντινοῦν ἢ τῶν νέων ἢ τῶν πρεσβυ-

1 cf. ad t. IV 263, 13 8 Il. ι 257 sq. 14 Il. ι 258

14 *ἀγροικίζομαι τὸ ἀπαιδεύτως πρός τινα διατίθεμαι B*[2] (= Thom. M. l. l.)

verbis *Λιβάνιος ἐν τῇ πρὸς Ὀδυσσέα ἀπολογίᾳ Ἀχιλλέως* Thom M p. 106, 4 s. v. *ἐπὶ κόρρης πατάξαι λέγουσιν Ἀττικοὶ τὸ γνάθον πλατείᾳ πλῆξαι χειρί, οὐ ῥάπισμα δοῦναι* | *κόρης HCa*

1 *σε* om *MaBLaurCan* Thom | *πατάξῃ σέ Vi* Re | *ἀποστερήσῃ* scripsi ex *HLaViMaLaur* *ἀποστερῇ* reliqui libri edd 2 *ἐπ' Ma* sed *π'* in ras m[3] *ἐπὶ BLaurCan* Mor | *ἴλιον Ma* sed *ἴ* in ras m[3] 3 *εὔκλειαν Ma* sed *κλει* in ras m[3] 4 *οὐδὲ Πηλεὺς ἐπέτελλεν* om *BLaurCan* 5 *αὐτῆς* e *Wolf* Re | *ἔφασκε τὸν μισθὸν εἶναι Laur* 6 *τῆς* om *LaurCan* 7 *καὶ*(1) — 8 *τιμὴν* in marg *Vi*[2]*Ma*[2] | *δὲ LaurCan* Mor 8 *ἀπάντων* post *καλὸν Vi*[2]*Ma*[2] sed in hoc eras m[3], et *γρ* in marg Mor 9 *ἂν* om *B* | *ἔπειθεν οὗτος Vi* 10 *ἀπέτρεπε Ma* sed *οὐκ ἐπέτρεπε* in marg m[2] 11 *ἂν* inser *Vi*[2] | *τηναρχὴν B* 12 *ταῦτα MaLaurCan* Mor | *εἰ* — 14 *πρεσβυτέρων* citat praemissis verbis *Λιβάνιος ἐν τῷ λόγῳ τῷ πρεσβευτικὸς πρὸς τὸν Ἀχιλλέα* Thom M p. 40, 17 s. v. *ἀγροῖκος* | *μὲν* — 13 *ποιούντων* om Thom 14 *ἠγροκισάμην Ma* sed *οι* supra *ο* m[2] et *ἠ* in ras m[3] | *εἰς* —

τέρων ἢ τῶν ἡγεμόνων ἢ τῶν πολλῶν, εἰ κακῶς εἶπον, εἰ περιέρρηξα χλανίσκιον, εἰ τὸ σκῆπτρον εἰς πληγὴν ἀνετεινάμην, εἰ γέρας ἀφειλόμην ὡς ἂν αὐτὸς τοῖς ἐμαυτοῦ κινδύνοις ταῦτα κομίσας, εἰ μικρὸν ἢ μεῖζον ὧν οὐκ ἄμεινον θυμῷ προήχθην ἐργάσασθαι, ἀδικῶ μὲν ὑμᾶς, ἀδικῶ δὲ Πηλέα, ὁ δὲ θυμὸς παρ' ἐμοὶ τὰ πρῶτα ἔχει, λήθη δέ μοι τοῦ πατρὸς οὐκ οἶδ' ὅπως ἐγγέγονεν.

39. *Ἀλλ' ἐπάνειμι πρὸς τὰς παραινέσεις καὶ σωφρονῶ καὶ λαμβάνω τὰ ὅπλα. εἰ δ' ἥμαρτον μὲν οὐδέν, ὑβρισμένος δὲ ἀλγεῖν ἐπίσταμαι, ποῦ Πηλέως αἱ συμβουλαὶ παρορῶνται; δοκῶ δέ μοι τρόπον ἕτερον ἐπιλελῆσθαι Πηλέως ἔτ' ἔχων ἐν τῇ γῇ τὰς ναῦς καὶ μέλλων καθέλκειν, ἀλλ' οὐ συνάψας τῷ προπηλακισμῷ τὸν ἀπόπλουν. εἰ γὰρ αὐτῷ τις ἀγγείλειεν,*

---

2 *γρ χλανίδιον καὶ χλανίσκιον. Εὐριπίδης ἐν Ὀρέστῃ·* (42) *χλανιδίων δ' ἔσω κρυφθεὶς καὶ Αἰσχίνης·* (p. 18, 30) *εἰ γάρ τίς σου τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος B*² (= Thom. M. s. v. p. 399, 13)

326, 1 *πολλῶν* praemisso *κείμενον* in marg *Ma*² | *πρὸς* Thom *ὅντιν' οὖν H ἐντιναοῦν Can*

1 *ἡγουμένων Ma*² 2 *χλανίδιον La* sed *χλανίσκιον* in marg *y*, *Vi* 4 *ἢ*] *εἰ Vi* | *μείζω H* 5 *ὧν* in marg *Vi*² om *H LaCan* 6 *μὲν ὑμᾶς Vi* sed *μὲν ὑ* in ras m² | *παρ'* om *Vi* | *τὰ πρῶτα ἔχει παρ' ἐμοὶ Laur* 7 *δέ μοι Vi* sed *έ μοι* in ras m² | *γ'* post *πατρὸς* Mor del Re 8 *ἐγγέγονεν* scripsi e *LaLaur εἰ γέγονεν H ἐγεγόνει MaB γέγονεν* reliqui libri edd | *ἐπάνειμι* — 10 *ὅπλα* citat praemissis verbis *καὶ ὁ Λιβάνιος δὲ ἐν τῇ πρὸς τὸν Ὀδυσσέα ἐν λιταῖς πρεσβευτικῇ ἀντιλογίᾳ ταῦτά φησι καὶ καλεῖ τὴν ἐπανακεφαλαίωσιν καὶ ἐπάνοδον καὶ συλλογισμόν* Gregor. Cor. *εἰς τὸ περὶ μεθόδου δεινότητος* Hermog. ed. Walz Rhet. gr. t. VII p. 1224, 21 | *ἐπὶ* Gregor
10 *ὅπλα Ma* sed *ὅπ* in ras m³ | *δ'* om Mor 12 post *παρορῶνται;* lac 4 litt *Laur* 13 *ἔτ' ἔχων* scripsi ex *HLaViMa* *ἔτι ἔχων Laur κατέχων BCan* edd | *τῇ* om *BLaurCan*
15 *τίς HLaVi*

οἷα παθὼν οἵους δέχομαι λόγους, μέγα ἂν οἰμώξειεν ὡς ἀπολωλότος μοι τοῦ φρονήματος. 40. σὺ δὲ μὴ λέγε τὸν θυμὸν ἁπλῶς, ἀλλ' εἰ μὴ λόγον ἔχει, τοῦτ' ἐπίδειξον, μηδὲ ψιλὴν πρόφερε τὴν ὀργήν, ἀλλ' εἰ μὴ τάξιν ἔχει τιμωρίας, τοῦτ' ἐξέταζε. εἰ δ' ἐγὼ φαῦλος τῷ θυμῷ, φαῦλοι μὲν οἱ τὴν στρατιὰν ἀγείραντες, φαῦλοι δὲ οἱ τούτοις ὑπακούσαντες καὶ τοσαύτην ποιησάμενοι τὴν ὀργὴν ὥστε καὶ γονέων ⟨καὶ γυναικῶν⟩ καὶ παίδων καὶ συγγενείας καὶ κτημάτων καὶ κατασκευῆς λαμπρᾶς | καὶ γῆς καὶ πατρίδος καὶ ἱερῶν καὶ τάφων καὶ R IV 61 πάντων ἃ κατέχειν ἰσχύει τὴν τῶν λελυπηκότων τιμωρίαν ποθεινοτέραν ἡγήσασθαι. 41. καὶ μὴν ἐμοὶ μὲν οὔπω πεντεκαίδεκα ἡμέραι τοῦ θυμοῦ, κοινῇ δὲ τοῖς Ἕλλησι δέκατον ἔτος. τί οὖν οὐ ταῦτα πρὸς Ἀγαμέμνονα ἔλεγες·

λη γέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
τίωσιν Τρώων ἠμὲν νέοι ἠδὲ γέροντες;

δῆλον γὰρ ὡς, εἴπερ ἀπαίρειν ἐβούλετο πάλαι καὶ μὴ παρέχειν πράγματα, κἂν εὔξατο τῷ Ποσειδῶνι παρα-

12 Il. α 493; β 48; η 421; ϑ 1 et 565 16 Il. ι 257

1 *μέγ' B* 2 *δὴ HLa* sed in hoc *η* in *ε* corr *n* 3 *τοῦτο BLaurCan* Mor 4 *μὴ δὲ HViMaBCan* 5 *τοῦτο LaurCan* | *δὲ La* sed *ὲ* in ' corr *n*, *BLaurCan* | *φαῦλος εἴκων τῷ θυμῷ* coni Re 6 *τὴν* om *Vi* | *στρατείαν HLaB* Mor *στρατειὰν Vi* 8 *καὶ γυναικῶν* inserui om libri edd | *καὶ παίδων* om *B* *καὶ παίδων* — 9 *κτημάτων* om Mor 9 *καὶ*(3) om *Can* 11 *ἰσχὺς HLaLaurCan* et *γρ* in marg Mor 12 *ἡγήσασθι Can* *ἡγήσεσθαι HLa* sed in hoc *α* supra *ε* *n* 13 *πέντε καὶ δέκα Ma* edd 16 *δ'* inser Ma^{2} 19 *ὡς* — 20 *πράγματα* citat praemisso *Λιβάνιος* Lopadiota lex. Vind. p 146, 2 s. v. *πράγματα ἀττικῶς αἱ ἐνοχλήσεις* | *ἐπαίρειν Vi* | *ἠβούλετο Vi* Lopad *πάλαι* om *Vi* Lopad 20 *εὔξατο* scripsi e *Laur* sed post *α* ras 1 litt *εὔξαιτο Ma* *εὔξαιντο* reliqui libri edd | *παραπέμψειν Can*

πέμψαι τὰς ναῦς. ἀλλ', οἶμαι, τὸ δευτέρους ἥκειν ἐπὶ τὸ λυπεῖν κοσμεῖ τὸν θυμόν. ἔστι γὰρ δούλου μὲν σιγῇ παθεῖν, ἐλευθέρου δὲ παθόντα ἀμύνασθαι. 42. χωρὶς δὲ τούτων πῶς ἔνεστι ταῦτα ἀμφότερα συνελθεῖν, τάς θ' ὑπὲρ Ἀγαμέμνονος ἱκετείας καὶ τὰ καθ' ἡμῶν ἐγκλήματα; εἰ μὲν γὰρ ἐγὼ τοῦ Πηλέως ἀμνημονῶ, τί τὸ κατηγορεῖν ἀφέντες εἰς συγγνώμην καταφεύγετε; εἰ δὲ ὑμῖν ἡ παραίτησις πρέπουσα, ταῖς καθ' ἡμῶν αἰτίαις οὐκ ἔστι χώρα. δεῖ τοίνυν δυοῖν θάτερον, ἢ συγγνώμην αἰτεῖν ἢ μέμφεσθαι.

43. Ἀλλὰ δῶρα, φής, τὰ μὲν δίδωσι, τὰ δ' ὑπισχνεῖται. καὶ τούτοις ὑβρίζων, φαίην ἄν, εἰ πεπίστευκεν ἐπ' ἐμαυτῷ με τὰ χρήματα λήψεσθαι καὶ τὴν ἐπιτιμίαν ἀποδόσεσθαι. καὶ τί κωλύσει καὶ τοῦτον

1 Od. μ 72. Dem. p. 96, 9; 1213, 1 11 Il. ι 261 cf. Aristid. p. 585, 6 sq.

14 ἐπιτιμία λέγεται ἡ τιμὴ καὶ ἡ ἀτιμία καὶ ἡ ἐπίπληξις. ἐνταῦθα δὲ τὴν ἀτιμίαν λέγει *Ma*[2]

1 δευτέρους scripsi ex *HLaViMaLaurCan* δεύτερον *B* edd 2 τῶ *HLa* sed in hoc ῶ ex ὸ corr *n*, *Vi* Mor | ἔστι — 3 ἀμύνασθαι omissa γὰρ particula citat Macar fol 95[v] | μὲν γὰρ δούλου *H* 3 ἀμύνεσθαι *Ma* 4 ἔνεστιν *La* | ταῦτα om *La* ταῦτ' *Ma* τ' *H* | τάς τε *Laur* ταῦθ' Mor 5 ἱκετείας Mor sed γρ ἱκεσίας in marg 6 μὲν om *Can* Mor 7 ἄλογον post καταφεύγετε *Vi* 8 δ' *B* edd | ἡ om *HLaVi* | πρέπουσα *LaMa* sed εὔλογος suprascr *La*[y] *Ma*[3] 9 τοίνυν *Ma* sed δὴ suprascr m[3], Mor sed γρ δεῖ in marg δὴ *HLa* sed in hoc τοίνυν suprascr *y*, *Vi* | δυεῖν *Vi* 11 φής scripsi e *Laur* φῆσ *LaCan* φὴς reliqui libri edd | δὲ *HLaVi* 12 ὑβρίζειν Iacobs Add 231 quod ipse improbavit Lect 93 | φαίη *Vi* 13 γρ ἐμαυτὸν μὲν μετὰ χρημάτων in marg Mor ἐμαυτῶ *Ma* sed ex αὐτὸ corr m[2] ἐμαυτοῦ *La* | με τὰ] με *MaB* μὲν *Can* μετὰ reliqui libri Re quod correxit Iacobs | χρημάτων ἅψεσθαι *Can* 14 ἀπολήψεσθαι *Ma* sed γρ ἀποδόσεσθαι suprascr m[3], *B LaurCan* Mor sed in hoc γρ ἀποδόσεσθαι in marg

αὐτὸν καὶ τῶν εὐπορούντων ἕκαστον ἀδεῶς ὑβρίζειν, εἴπερ ἐξαρκέσει χρήματα καταθέντι παῦσαι τῶν ἠδικημένων τὸν θυμόν; καλόν γε, οὐ γάρ; πλοῦτον συλλέγειν ἐξ ἀσωτίας | καὶ χρηματίζεσθαι τοῖς ἀσελγαί- R IV 62 *νειν βουλομένοις αὐτὸν προθέντα.* 44. *καὶ πότερον δῶρα ταῦτα χρὴ καλεῖν ἢ δουλείας ἀρχήν; οὐ γὰρ δὴ πρὶν μὲν γενέσθαι καταφανές, εἰ τὴν ὀργὴν ἐπὶ χρήμασιν ἀναιρήσω, ῥᾳδίως οὕτως Ἀγαμέμνων ὕβριζεν· ἔργῳ δὲ γνούς, ὅτι πάντ' ἂν ὑπομείναιμι χρημάτων, αἰδοῖ χρήσεται πρὸς τοῦτον ὃν ἔξεστι πρίασθαι; ὅλως δέ, εἰ μὲν ἀδίκως ὀργίζομαι, τίς ὁ καιρὸς τῶν δώρων; εἰ δ' ἐν δίκῃ χαλεπαίνω, πῶς ἀξιοῖς με δώρων τὸ δίκαιον προέσθαι;* 45. *θαυμάζω δ' εἰ τὸν μὲν Χρύσην πολλὰ καὶ θαυμαστὰ λύτρα φέροντα μικροῦ διειργάσατο, ἡμᾶς δὲ ἀξιοῖ πρὸς τοὺς τρίποδας ἐκπλαγῆναι καθάπερ ἐν ἐνδείᾳ τραφέντας. εἰ δοῦλος ἦν, Ὀδυσσεῦ, περιουσίας, ἐξῆν ἂν ἐν Φθίᾳ μοι καθημένῳ τρυφᾶν,*

---

3 Dem. p. 616, 16; 673, 19; 674, 14 6 Il. ι 121; 261; 378 7 Il ι 261 14 Il α 13 15 Il ι 122 et 264

---

1 *εὐπορούντων La* sed *παρόντων* suprascr *y* *παρόντων Ma* 2 *καταθέντα Ma* | *ἀδικημάτων* Mor 3 ; inserui ex *HLy* punctum reliqui libri edd | *γε, οὐ γάρ;* scripsi *γε οὐ γὰρ* libri Re *γε* Mor sed *γρ γε, οὐ γὰρ* in marg | *συλλέξειν H* 4 *ἀσωτίας* scripsi ex *HLaViMaB* et *γρ* in marg Mor *ἀδικίας LaurCan* edd 5 *βουλομενοις Ma* sed *ις* in ras m[3] | *αὐτὸν Ma* sed ' ex ' corr m[2] *αὑτὸν LaLaurCan* *ἑαυτὸν HB* *τὸν Vi* | *προσθέντα Can* et coni Re *προσέθεσθε Ma* sed del et *προθέντα* suprascr m[2] | *πότερα H* 6 *καλεῖν χρὴ Ma* 7 *εἰς LaCan* sed in hoc ς eras 8 *ὕβριζεν* reposui e libris sed *ὑβρίζων La* sed ω in ras *n* et *έ* suprascr *s* et *ὕβριζεν* in marg *y* *ὕβρισεν* edd 9 *πάντα MaCan* Mor | *ἂν* om *Can* Mor 10 *εἰς Ma* | *πριᾶσθαι HMa* 12 *δὲ LaurCan* 13 *δὲ BLaurCan* edd | *μὲν* inserui e libris om edd 15 *δ' Ma* | *πρὸς* om *B* 16 *ἐν* om *ViCan* | *τραφέντες Can* 17 *ἐχρῆν Vi* | *ἂν* om *B* | *Φθίᾳ* reposui e libris sed ι ex ει corr *Ma*[2] *Φθιᾷ* edd

νῦν δ' ἔρωτι μὲν δόξης ὑπερεῖδον τῶν οἴκοι, τετελευτήκασι δέ μοι πρὸς ἀτιμίαν οἱ πόνοι. 46. φέρε, εἰ πρὸ τῆς ἀτιμίας Ἀγαμέμνων ὑπισχνεῖτο δῶρα δώσειν, εἰ παροινοῦντος ἀνασχοίμην, ἆρ' ἄν μοι συνεβούλευσας εὐπρεπεῖς οὕτω ποιεῖσθαι συνθήκας; οὐκ ἔστιν. οὐχ οὕτω ποτ' ἂν φθέγξαιο. εἶθ' ὑβρίζεσθαι μὲν ἐπὶ δώρων ἐλπίδι πολλῆς αἰσχύνης, ὑβρισθέντα δὲ χρημάτων λύειν τὴν ὀργὴν τῶν καλῶν ἕν τί ἐστι; καὶ μὴν τὸ λαβόντα καταλῦσαι τὸν θυμὸν ἴσον γίνεται τῷ παθεῖν ἐπὶ τῷ λαβεῖν. ἑκάτερον γάρ ἐστιν ἀνδρὸς τὸ παροινεῖσθαι πεποιημένου πρόσοδον.

47. Ὅλως δὲ γέλως τὰ δῶρα καὶ τὰ νῦν προκεχειρισμένα καὶ ἃ Τροίας ἁλούσης ἐπαγγέλλεται. καὶ περὶ μὲν τῶν μελλόντων ἐκεῖνο λέγω· ἐμοὶ μένοντι καὶ μετέχοντι τῶν ἀγώνων εἵμαρται πεσεῖν, Ὀδυσσεῦ, Πηλέα δὲ καὶ τὸν πατρῷον οἶκον οὐκ ὄψεσθαι. ταῦτ'

---

3 Od. ν 142 11 Luc. Sat. 8 12 Il. ι 277. cf. Dem. p. 85, 7 13 Il. ι 277 sq. 15 Il. ι 410 sq. α 416 sq.

---

1 δὲ *HLa* 2 μοι om *Laur* 3 ἀσελγείας *La Vi* et γρ in marg *Ma*[2] et γρ in marg Mor | Ἀγαμέμνων om *Vi* et γρ in marg Mor 4 ἀνάσχοιμι *BCan* | μοι om *Vi* 5 οὕτως *Ma* | οὐκ ἔστιν om *Laur* 6 πάντ' *La* sed αν in ο corr ras, *Ma* sed ό supra άν m[2] πάντα *HBLaur* πάντως *Can* | ἂν om *H* 7 ἐλπίσι *Vi* Mor | αἰσχύνης] ἂν εἴη μανίας *HLaViMa* et γρ in marg Mor | ὑβρισθέντι *Can* ὑβρισθέντος (α supra) *Ma* sed ος del 8 λύειν scripsi ex *HViLaur* λύσειν *Ma* sed ' ειν corr m[2] λῦσαι reliqui libri edd | καλῶν *Ma* sed λ in ras m[2] | ἕν τι om *B* ἓν τί *Ma* sed " add n et ί in ras n et post ι ras 1 litt 9 τὸν Mor | καταλῦσαι scripsi ex *HViLaur* καταλύσαι reliqui libri edd | ἴσον *HViMa* | γίγνεται *HCan* 10 λαβεῖν *Laur* | παθεῖν *Laur* | ἔσται *Ma* | τὸ *Ma* sed ὁ ex οῦ corr m[2] 12 τανῦν *Vi* | κεχαρισμένα *Ma* sed γρ προκεχειρισμένα suprascr m[2] 13 κατεπαγγέλλεται *Vi* 14 μὲν om *HMaCan* 15 μετέχοντι *Ma* sed οντι in ras m[3] | εἵμαρτο *MaBLaur* 16 τὸν om *HViMa* | πατρῶον *Ma* | ὄψεσθαι *Ma* sed γρ ὄψομαι suprascr

εἶπεν ἡ μήτηρ θεὸς οὖσα καὶ μὴ πιστεύειν οὐκ ἔνεστιν. | ἄνελε οὖν ἐκ τοῦ λόγου τὴν ναῦν τοῦ R IV 63 *χρυσοῦ καὶ τὰς εἴκοσι Τρῳάδας καὶ τὰς ἑπτὰ πόλεις καὶ τὴν κηδείαν. κεναὶ γὰρ ταῦτα ὑποσχέσεις, ὥσπερ ἂν εἰ καὶ τῷ Πρωτεσιλάῳ δῶρα νῦν ἔπεμπεν εἰς Ἐλεοῦντα.* 48. *περὶ μὲν οὖν τῶν μετὰ τὴν νίκην τοσαῦτα εἰρήσθω μοι· περὶ δὲ τῶν ἑτοίμων καὶ ὧν πρόχειρος ἡ δόσις, τί φημι; ταχέως Ἀγαμέμνων ἐπιλέλησται πόθεν ἔχει τὸ δῶρα διδόναι δύνασθαι. ταῦτα γὰρ οὐκ ἐκ Μυκηνῶν ἐνθέμενος εἰς τὰς ναῦς ἧκεν ἄγων, ἀλλὰ τοῖς μὲν ἐμοῖς κινδύνοις ἐκτήθη, μεγαλοψυχίᾳ δὲ εἰς τὸ κοινὸν ἀφείθη. ἣν οὖν λάβω, τἀμαυτοῦ λαβὼν ἔσομαι. φέρε γάρ, εἰ μὴ τὴν Λέσβον εἷλον, ἆρ' ἂν εἶχεν ὑπισχνεῖσθαι τὰς ἑπτὰ γυναῖκας τὰς Λεσβίδας; τί δ', εἰ μὴ τὰς ἄλλας ᾑρήκειν, ἆρ' ἂν*

---

2 Il. ι 137 et 279 cf. Chor. Patr. t. IV 89, 12 et 95, 13 R 3 Il. ι 139 et 281 cf. Aristid. p. 600, 15 | Il ι 149 et 291 4 Il. ι 142 et 284 5 Il. β 698 sq. Qu. Smyrn. VII 408. Her. VII 33; IX 116, 1; 120, 23. Thuc. VIII 102, 3 11 Il. α 165 14 Il. ι 129 et 271

---

6 Ἐλεοῦντα] *τόπος περὶ τὴν Τροίαν, εἰς ὃν ἀποθανὼν Πρωτεσίλαος κεῖτα[ι]· ἀπέθανε δὲ πρῶτος τῶν ἄλλων Ἑλλήνω[ν] ἀποβὰς τῶν νεῶ[ν] Ma*²

---

m³ *ὄψεσθε La ὄψομαι Vi* Re cf. t. III praef. XXIX | post *ὄψεσθαι* lac 3 litt *La* | *ταῦτα HLaVi*
4 *ταῦθ' HLaVi* 5 *καὶ* om *ViB* | *πρωτεσίλεω H πρωτεσιλέω La* 6 *ἐλεοῦντος Can* | *οὖν* inserui e libris om edd | *κατὰ Ma* sed del et *μετὰ* suprascr m² 7 voce *ἑτοίμων* inc *V* (fol. 8) | *καὶ* post *ὧν Laur* 8 *πρόχειρος* scripsi e *LaurCan ἐγγὺς* reliqui libri edd 9 *τὸ Ma* sed ο ex α corr m² 10 *ἐνθέμενος εἰς τὰς ναῦς* scripsi ex *HVLaViMa* sed in hoc *θε* in ras m³ *εἰς τὰς ναῦς ἐνθέμενος* reliqui libri edd | *ἦλθεν Vi* 11 *μὲν* om *BCan* 12 *ἀφήθη HV* Mor | *τὰ 'μαυτοῦ H Laur* 14 *ἆρα* Mor *ἄρα Can* 15 *λεσβίτιδας Laur* | *δὲ H LaVi* | *τἄλλα H τἆλλα La τ' ἄλλα* edd *τὰ ἄλλα* Iacobs Phil. 409 at cf. 114, 1

εἶχεν ὑπισχνεῖσθαι τἄλλα; εἰ τοίνυν ἃ παρ' ἐμοῦ γέγονεν ἐκείνῳ, ταῦτ' ἐμοὶ παρ' ἐκείνου, παρ' ἐμαυτοῦ μοι γίνεται τὰ δῶρα, καὶ χάριν εἰδέναι δίκαιος ἐκεῖνος ἐμοὶ πάντων, ἀλλ' οὐκ ἐγὼ τοῦ μέρους ἐκείνῳ. 49. *δοκεῖ δέ μοι μηδὲ τοὔνομα τῶν δώρων προσήκειν τῷ παρόντι πράγματι. ὁ μὲν γὰρ ὧν οὐ κατέστη κύριος, ταῦτα λαμβάνων δῶρα λαμβάνει, ὁ δ' ὧν ἐγκρατὴς ὑπῆρχε, ταῦτα δεχόμενος ἃ πρότερον εἶχε κομίζεται. ὥστ' οὐδὲ πάντων ἀφιστάμενος τῶν ἐν τῇ σκηνῇ δώρων μέμνητ' ἂν εἰκότως. οὐ γὰρ δοῦναι τοῦτ' ἔστιν, ἀλλ' ἀποδοῦναι. νῦν δὲ ποιεῖ παραπλήσιον ὥσπερ ἂν εἰ καὶ τὴν κιθάραν ταύτην εἰς δωρεάν μοι λογίζοιτο.*

50. *Χωρὶς δὲ τούτων μὴ θαυμάζοντα μὲν τὰ δῶρα τὴν ὀργὴν ἐξαλείφειν οὐκ ἔνι, θαυμάζειν δὲ ὧν τις ὑπερεῖδεν οὐχ οἷόν τε. ἐμοὶ τοίνυν κατέχειν μὲν ἐξῆν*
R IV 64 *ἑλόντι, τίς γὰρ ἂν ἄκοντος ἥψατο; | κοινὰ δὲ ποιεῖν τῶν Ἑλλήνων τὰ τῶν ἐχθρῶν ἀγαθὰ πρέπειν*

---

12 cf. ad p. 307, 14 17 Il. ι 331

---

2 *ταῦτα LaurCan* Mor 3 *γίγνεται Vi γέγονε HVLa οἶδε Ma* sed *γρ εἰδέναι* in marg m² | *δίκαιος* reposui e libris *δικαίως Ma* sed *γρ δίκαιος* in marg m², Mor sed *γρ δίκαιος* in marg, Re sed *δίκαιος* in nota | *ὁ* ante *ἐκεῖνος* edd delevi ut delendum coni Re *ἐκεῖνος* om *LaVi* et *γρ* in marg Mor 4 *ἀλλ'* om *Ma* | *ἐμὸν Can* | *τῶν σκύλων* supra *τοῦ μέρους Ma*³, post *τοῦ μέρους* edd delevi 5 *μὴ δὲ HLaViMaB* 6 *οὐ κατέστη*] *οὐκ ἔστι HVMaLaur* 7 *ὅ ViCan* 8 *εἶχε Ma* sed *γρ εἷλε* suprascr m³ *εἶχεν* Mor | *ταῦτα* ante *κομίζεται Vi* 9 *τῇ* om *La* 10 *μέμνητ'* reposui ex *HVLaViBCan μέμνηται Ma μεμνῆτ' Laur* edd | *οὐ*] *καὶ Can* | *ταῦτ' Can τοῦτο LaVi* | *ἔστιν* scripsi *ἐστιν VLaMa ἐστὶν HLaur ἐστίν Vi ἂν ᾖ Can ἂν ἦν B* edd 12 *ἐμοὶ LaVi* | *λογίζηται* Mor 13 *θαυμάζοντι* (*ὀργὴν* supra) *B* 14 *δωρεὰν B* | *τίς LaViCan* 15 *οὐκ ἔνι Can* | *ἐξῆν ἑλόντι* reposui e libris *ἦν ἐξελόντι* edd 16 *ἂν* om *Vi* | *ἄκοντας Can* 17 *τῶν Ἑλλήνων* reposui e libris *τοῖς Ἕλλησι* edd | *πρέπον Laur*

ᾠήθην. εἶτ' ἐν χεροῖν μὲν ὄντα ῥᾳδίως ἐξέβαλον, ζητῶ δ' ἀπόντα; καὶ τῷ δοῦναι σεμνυνόμενος ἐπιθυμῶ λαβεῖν; καὶ πάντα μὲν ἡγησάμην μικρά, μικρὰ δ' ἐξ ἁπάντων θαυμάζω; τί οὖν αἰτεῖ συγγνώμην Ἀγαμέμνων; εἰ γὰρ ἐφέλκεταί με τὰ δῶρα, καλῶς ἐκεῖνος ὕβριζε. πᾶς γὰρ ἐλάττων κέρδους ἀτιμαζέσθω.

51. *Βούλομαι τοίνυν ἐπανελθὼν ὅσα φρονῶ περὶ τῆς κηδείας εἰπεῖν. θῶμεν γὰρ καὶ βιώσεσθαί με παρὰ τὴν τῆς μητρὸς μαντείαν καὶ πάλιν ἐπιβήσεσθαι τῆς οἰκείας. εὐθὺς οὖν Ἀγαμέμνων ἐγγυήσει τὸ θυγάτριον; τί λέγεις; ὁ τὴν οὖσαν ἀφαιρούμενος τὴν αὑτοῦ δώσει καὶ τῆς αἰχμαλώτου φθονῶν ἐγχειριεῖ τὴν παῖδα; καὶ τοῦ πολέμου τελευτὴν εἰληφότος ἔσται χρηστὸς ὁ μηδ' ἐν τῇ χρείᾳ σωφρονῶν; οὐκ ἔστιν. ὁρῶ τὸ μέλλον τοῖς ἤδη πεπραγμένοις καὶ γίγνεταί μοι τῶν δευτέρων ἃ πέπονθα διδαχὴ καὶ τοῖς ἐγνωσμένοις τἀφανὲς ἐξελέγχεται.* 52. *ἀλλ', εἰ δοκεῖ, καὶ τοῦτο θῶμεν, ἐμμενεῖν οἷς ὑπισχνεῖται καὶ πληρώσειν τὸν γάμον. τί τοίνυν*

---

1 *ἐξέβαλλον HVi* 2 *δὲ H* | *σεμνυνομένας Can μεμνημένος Ma* sed del m³ et *σεμνυνόμενος* in marg m³ | *ἐπιθυμῶν Can* | *λαβεῖν* scripsi ex *HVLaViMaLaur λαμβάνειν BCan* edd
3 *δὲ LaurCan* Mor 5 *ἐκεῖνον Can* 6 *ὕβριζεν Ma* Mor | *πῶς HV* Mor | *γὰρ* om *Ma* 7 *Βούλομαι* — 8 *εἰπεῖν* citat praemissis verbis *καὶ πάλιν* post *ἐπάνειμι* — *τὰ ὅπλα* (p. 326, 8) Gregor. *εἰς τὸ περὶ μεθόδου δεινότητος* Herm. Rhet. gr. VII p. 1224, 23
8 *βιώσασθαι Can* | *περὶ Vi* | *παρὰ τῆς μητρὸς τὴν Laur*
9 *μου* post *μητρὸς H* 10 *οἰκείας* scripsi e *MaBCan* ut coni Re et Iacobs Ach. Tat. 800 *οἰκίας* reliqui libri edd
11 *τί λέγεις;* om *Can* | *αὐτοῦ La* sed ʽ corr *n* *αὐτοῦ HVViB Can* edd *ἀποῦσαν* Iacobs Add 350 Lect 93 12 *τὴν αἰχμάλωτον* Mor *τὴν αἰχμαλώτου* Re 13 *μὴ δ' HLaViMaLaur Can μηδὲν* Mor 14 *ἐν* om Mor | *ὁρῶ La* sed *ω* ex *ων* corr *n* 15 *γίνεται MaLaur* 16 *τἀφανὲς* scripsi ex *HVLaMaB Laur τἀφανῆ ViCan* edd | *ἐλέγχεται Laur* 17 *ἐμμενεῖν* scripsi auctore Re *ἐμμένει Can* edd *ἐμμένειν* reliqui libri 18 *πληρώσειν* scripsi ex *HLaViMaBLaur πληρώσει VCan* edd

ἐν τῇ παιδὶ τοιοῦτον, δι' ὃ δεῖ προκινδυνεῦσαι τοῦ δυσμενοῦς; πλοῦτον ἐποίσεται μέγαν. ἀλλ' οὐ θαυμάζω τὸ πλουτεῖν. ὥρᾳ λάμπει σώματος. ἀλλ' οὐκ ἀσφαλὲς τὸ κτῆμα καὶ δείκνυσιν Ἑλένη. τρόπων ἤσκηκεν ἀρετήν. καὶ πότερον τὴν τήθην ἢ τὴν τηθίδα μεμίμηται; γένους ἕνεκα, νὴ Δία. καὶ πότερον Αἰακὸς
R IV 65 *Ταντάλου χείρων ἢ | Πηλεὺς Ἀτρέως; ὧν ὁ μὲν εὐχῇ τὸν λιμὸν ἔλυσεν, ὁ δὲ τὴν τῶν Κενταύρων ὕβριν*

---

6 Aristid. p. 607, 3 et 12 sq. 7 cf. t. II 545, 15 8 cf. ad t. III 243, 2

---

5 *τὴν τήθην ἢ τὴν τηθίδα] τίθην λέγουσι τὴν τοῦ πατρὸς ἢ τῆς μητρὸς μητέρα, ἀλλ' οὐ μάμμην. οὐδεὶς γὰρ τῶν ἀρχαίων εἶπε. μᾶλλον μὲν οὖν τὴν μητέρα τινὲς αὐτῶν μάμμιον ἐκάλεσαν, σὺ δὲ μητέρα λέγε. τὴν δέ γε τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὴν τιθίδα φασίν. ἐδήλωσε δὲ Λιβάνιος ἐνταῦθα ἀμφότερα λέγων τοὺς τῆς Ἀγαμέμνονος θυγατρός· τρόπων ἤσκησεν ἀρετὴν καὶ πότερον τὴν τίθην ἢ τὴν τιθίδα μεμίμηται· ἢ τὴν μάμμην αὐτῆς, τὴν Εὐρόπην* (corr *Ἀερόπην*) *δηλαδὴ ἢ τὴν Λήδαν, ἢ τὴν θείαν αὐτῆς Ἑλένην τὴν τῆς μητρὸς ἀδελφὴν δηλονότι κτλ.* (= Thom. M. l. l. p. 360, 4—361, 2 *υἱέων*) *B*[2]

τὴν τήθην] τὴν Ἀερόπην λέγει τὴν τοῦ Ἀγαμέμνονος μητέρα, ἣν ὁ ἀνὴρ αὐτῆς Ἀτρεὺς μοιχευομένην λαβὼν τῷ ἀνδραδέλφῳ αὐτῆς Θυέστῃ εἰς θάλασσαν ἔρριψεν Ma[2]

τὴν τηθίδα] τὴν τοῦ Πέλοπος γυναῖκα Ἱπποδάμειαν λέγει. καὶ αὕτη γὰρ ἐμοιχεύετο τῷ Μυρτίλῳ. Ma[2]

---

1 *διὸ LaViCan* | *δὴ HVi* | *προκινδυνεῦσαι Ma* sed *εῦ* in
οῦ *οῦς*
ras m[3] | *τὸν δυσμενῆ Vi* 2 *μέγαν Laur* 3 *τῶ Can* | *ὥρᾳ* scripsi e *LaLaur* *ὥρα* reliqui libri edd | *ἀλλ'* om *Laur* 4 *Ἑλένην* Mor | *τρόπων — 6 μεμίμηται* citat praemissis verbis *ἐδήλωσε δὲ Λιβάνιος ἀμφότερα ἐν τῇ τοῦ Ἀχιλλέως ἀπολογίᾳ λέγων περὶ τῆς τοῦ Ἀγαμέμνονος θυγατρός* Thomas M. p. 359, 10 s. v. *τίθην* | *τῶ τρόπω Can* *τρόπω Vi* | *ἤσκησεν Vi* 5 *τήθην* scripsi ex *HVMaLaurCan* coll t. II 559, 11 cum Iacobsio Phil. 298 *τηθὴν La* *τίθην ViB* Thom edd | *τηθίδα* scripsi e *Can* cum Iacobsio *τητθίδα H* *τητθύδα V* *τιτθίδα* reliqui libri edd *τιθίδα* Thom 8 *εὐχῇ*] *τὸν Laur* | *λιμὸν* scripsi ex *HVLaViB* coll. t. II 545, 15 *λοιμὸν* reliqui libri edd sed *λιμὸν* coni Mor Not fol. f III | *ἔλυσεν* scripsi ex *HVLaMaBLaurCan* *διέλυσεν Vi* Re | *τῶν* om *Can*

κατέλυσε καὶ δι' ἀρετὴν τρόπων τῷ Θέτιδος ἐτιμήθη γάμῳ. 53. *ἐξεταζέτω τοὺς προγόνους Ἀγαμέμνων καὶ πάντας ἐκ τῶν ἀδικημάτων βεβοημένους εὑρήσει. Τάνταλος ἐξειπὼν τὰ ἀπόρρητα καὶ τεθνεὼς κολάζεται, δικάζει δὲ ὑπὸ γῆν Αἰακός. Πέλοψ τὸν συναγωνιστὴν Μυρτίλον ἐν Γεραιστῷ κατεπόντισεν. Ἀτρεὺς ἀδελφὸν ἀπέκτεινε καὶ παῖδας ἀδελφοῦ, τὴν δὲ θοίνην σιωπῶ. οὗτος αὐτὸς Ἀγαμέμνων εἰς τὸν Ἀπόλλω καὶ τὴν Ἄρτεμιν ἀσελγής. ὥστ' οὐκ οἶδ' εἰ προσῆκεν οἰκίαν θαυμάζειν τοσούτου γέμουσαν τοῦ μύσους.* 54. *κεφάλαιον δέ, βάρβαρος Ἀγαμέμνων τὸ ἐξ ἀρχῆς, ἐγὼ δὲ Αἰγινήτης. γίνεται οὖν ἡ μίξις τοῖν γενοῖν ὄνειδος*

---

1 Ovid. Met. XII 366 sq. [Apollod.] bibl. III 13, 3 5 cf. t. IV 338, 19 | Soph. El. 508 c. schol. Eur. Or. 989 sq. Hyg. fab. 84. Tzetz. Lyc. 157 6 Chrysippum cf. Hyg. fab. 85. Schol. ad Il. β 105 7 Tantalum et Plisthenem cf. Hyg. fab. 88 | Soph. Ant. 1293 11 Soph. Ant. 1292

---

6 *ἀδελφὸν*] *ἤτοι τὸν Χρύσιππον* suprascr *Ma*² 7 *ἀδελφοῦ*] *τοῦ Θυέστου* suprascr *Ma*² 11 *βάρβαρος*] *Τάνταλος γὰρ ὁ πρόγονος τούτου Λυδὸς ἦν Ma*² 12 *Αἰγινήτης*] *ἀπὸ Αἰγίνης τῆς Ἀσωποῦ ποταμοῦ Θηβῶν Αἰακός, Αἰακοῦ δὲ Τελαμὼν καὶ Πηλεύς, Πηλέως δὲ Ἀχιλεύς Ma*²

---

1 *ἀρετῆς τρόπον La* sed *ῆς* in ras *n*, *ViMaLaur* | *τῆς* ante *Θέτιδος Vi* 4 *τ' ἀπόρρητα* Re 5 *δ' B* | *τὴν* ante *γῆν Laur* 6 *μυρτῖλον LaMaBLaurCan* | *προς Can* *πρὸς Laur* *πρὸς τῶ B* | *Γεραιστῷ* scripsi e *La* sed *ι* inser *n*, *ViMaB* *γεραίστω Laur* *γεραστῶ Can* edd *γεράστω HV* cf. t. I 89, 8 | *κατεπόντωσεν B* | *δὲ* post *ἀτρεὺς Laur* 7 *ἀδελφοῦ* Mor sed *γρ Θυέστου* in marg 8 *Ἀπόλλω* reposui e libris *Ἀπόλλωνα* edd
9 *ἀσελγής* reposui e *HVLa* sed in hoc ` e ˜ corr *n*, *Ma* sed in hoc *βὴς* supra *λγὴς* m², *BLaurCan* *ἀσεβὴς Vi* *ἠσέλγησεν* edd | *ὥστε La* | *οἶδα Laur* | *ἦν Can* 10 *τοῦ* cum *Wolf* del Re
11 *τὸ ἐξαρχῆς VCan* *τοεξαρχῆς ViMaB* | *δ' Ma* *δέ γε La Vi* *δέ τε HV* 12 *γίγνεται VLaLaur* edd *γίνηται Can* | *δυοῖν* ante *γενοῖν Ma*

μὲν τοῖς Αἰακίδαις, κόσμος δὲ τοῖς Πελοπίδαις. οὔκουν ἐκεῖνος θεραπεύσει τὴν ὕβριν τῷ γάμῳ, ἀλλ' αὐτὸς ἁμαρτὼν οὕτως ἂν φῄμην τὴν ἁμαρτίαν λύσειν φάσκων αὐτῷ κηδεύσειν ἐπὶ ταῖς διαλλαγαῖς.

55. *Εἰ δ' ὥσπερ Ὀρέστην με τιμήσει, τῷ μὴ μᾶλλον ἐμὲ τιμᾶν ἀδικήσει. πῶς γὰρ οὐκ ἄτοπον παρ' ἐμοῦ μὲν ἔχειν τὸ τὸν Ὀρέστην αὖθις ἰδεῖν, τῆς δ' αὐτῆς ἄγειν ἐκείνῳ τιμῆς; Ὀρέστῃ τε γὰρ τοῦ πατρὸς ἐντι-* R IV 66 *μότερος ἐγώ, δι' ὃν οὐκ ὀρφανὸς | ἐκεῖνος, τούτῳ τε Ὀρέστου, δι' ὃν ἕξει τοῦ παιδὸς ἀπολαύειν. οὕτω τῶν ὑποσχέσεων αἱ μὲν ἐλάττους τοῦ δέοντος, αἱ δὲ δωρεῶν ἀφεστᾶσιν, ἐν δὲ ταῖς ἐκεῖνος πλεονεκτεῖ. ἀλλ' ἔστων καὶ μεγάλαι καὶ καλαὶ καὶ θαυμασταί, ἐχθροῦ δέ γέ εἰσι καὶ οὐ πεφύκασιν εὐφραίνειν.*

56. *Ὧι τοίνυν ἡμᾶς μάλιστα κάμψειν ἤλπισας, ὅτι τὴν κόρην ἀποπέμψει, τοῦτο τοῦ μηδενὸς ἄξιον εἰς τὴν σπουδήν ἐστί σοι. τίς γὰρ οὕτως εὐήθης ὃς οὐ*

---

5 Il. ι 284 16 Il. ι 132 et 274

---

1 *οὔκουν* scripsi e *LaViMaBLaurCan* *οὐκοῦν H* *οὐκ οὖν V* edd 2 vocibus *ἐκεῖνος θεραπεύσει* incipit *Cr* fol. 45[v] sed scriptura paene tota erasa est | *θεραπεύει VLaVi* | *τῶν γάμων H* | *ἀλλ'* om *Can* Mor 3 *λύειν LaMa* *λύσιν Vi* 5 *με ὀρέστην Ma* | *τὸ B* | *μὴ* om *Ma* | *μηδὲν Ma* sed *γρ μᾶλλον* suprascr m[2] 7 *τὸ* inser *Ma*[2] | *δ' αὐτῆς* scripsi ex *HVMaB* *δὲ αὐτῆς LaVi* *αὐτῆς δ' Laur* edd *αὐτῆς Can* 8 *ἄγειν ἐκείνῳ τιμῆς* scripsi ex *HVLaViMaB* *ἐκείνῳ τιμῆς ἄγειν Laur Can* edd | *τιμῆς ὀρέστη. ὀρέστη V* | *Ὀρέστῃ* — 10 *Ὀρέστου* in marg *B* | *τε* inser *Ma*[2] om *V* *ὅτω H* 12 *ἐκεῖνον Can* *πλεονεκτεῖν BCan* | *ἀλλ'* — 13 *θαυμασταί* praemisso *Λιβάνιος* citat Lopadiota lex. Vind. p. 64, 16 s. v. *ἔστων ἀντὶ τοῦ ἔστωσαν* 13 *ἔστων Ma* sed *ν* add m[2] *ἔστωσαν Can* *ἔστω HV* Mor | *καλαὶ* om *Ma* *πολλαὶ LaViLaur* et *γρ* in marg Mor *καὶ* om *Ma* | *ἐχθροῦ δέ γε* Mor sed *γρ ἐχθρὰ* in marg 14 *γε* om *MaBLaurCan* *γ' V* 15 *μάλιστα* om *LaurCan* 16 *τοῦτο τοῦ* in ras *Ma*[3] | *τοῦ* om *Can* Mor | *εἰς* in ras *Ma*[3] 17 *ἔστι HVLaMa* *ἔστω LaurCan*

τῆς ἀφαιρέσεως ἀλγήσει μᾶλλον ἢ τῆς ἀποδόσεως εἴσεται χάριν; τὸ μὲν γὰρ ἐκ τῶν δικαίων ὑπῆρχε, τὸ τῶν αὑτοῦ κρατεῖν· ὃν δ' ἀφήρηταί τις χρόνον, ἠδίκηται. καὶ τὸ μέν ἐστιν ἔγκλημα, τὸ δὲ οὐκ ἔστιν εὐεργεσία. ὃ γὰρ ἐχρῆν συνεχῶς παρ' ἐμοὶ μένειν, τοῦτο ἁρπάσας, εἶτ' ἀποδούς, τῷ μὲν ἐλύπεις, τῷ δὲ οὐ χαρίζῃ. τίς γὰρ ἡ χάρις ἀποστῆναι τῶν ἀλλοτρίων;
57. *ὅτι τοίνυν οὐχ οἷόν τε λύσιν τῶν ἀδικημάτων διὰ τῆς ἀποδόσεως γενέσθαι γνοίης ἂν ὡδί. νῦν ἐπάνεισί μοι Βρισηίς. καλῶς. πόθεν οὖν ἐπάνεισι; παρ' Ἀγαμέμνονος. τοῦτ' οὖν αὐτὸ τὸ παρ' Ἀγαμέμνονος ἐπανήκειν τίς λύσει μηχανή; ἕως δ' ἂν ἀπὸ τῆς ἐκείνου σκηνῆς ἐξίῃ, μένει τὸ λυποῦν ἀνίατον. χωρὶς δὲ τούτων, οὐ τὸ σῶμα τῆς ἀνθρώπου τότ' ἀφῃρεῖτο μόνον, ἀλλὰ καὶ προσῆν ὕβρις τοῖς πραττομένοις, μᾶλλον δέ, ὅλον ὕβρις ἦν τὸ πρᾶγμα. ἡ μὲν οὖν ἄνθρωπος αὖθις ἔσται παρ' ἡμῖν, τὸ δὲ μὴ πεπαρῳνῆσθαι πόθεν προσ-*

---

2 *τῶν* om *Vi* 3 *αὑτοῦ* scripsi e *Laur* *αὐτοῦ* reliqui libri edd | *χρόνου Can* 4 *τὸ δὲ* scripsi ex *HVLaVi* cum Iacobsio Lect 93 (*τὸ δ'*) *τό δ'* reliqui libri edd 5 *νουνεχῶς* Mor 6 *τοῦθ' MaB* | *ἐλύπησας La* sed *ας* in ras *y*, *Ma* sed *ησας* ex *εις* corr m^2 *ἐλύπει Can* *ἐλύπησε* Mor sed *γρ ἐλύπει* in marg | *δ' MaBLaur* 7 *χαρίζει Can* *χαρίζεται* Mor 9 *ἀποδώσεως La* *ἀπογνώσεως Vi* | *εἶναι HVLaMa* sed in hoc *γρ γενέσθαι* in marg m^2 | *δ'* ante *ἂν Laur* | *ὡδί* reposui e libris *ὧδε* edd 10 *οὖν* om *HVLaMa* *δ' Vi* | *παρὰ Ma* | *Ἀγαμέμνονος*; edd 11 *τοῦτο MaLaurCan* Mor | *γοῦν Laur* | *τὸ* inserui e *HVLaViMaLaurCan* om *B* edd 12 *μοι* ante *μηχανή H* edd et inser *Ma*^{3} 13 *σκηνῆς Ma* sed *σκην* in ras m^3 | *ἐξῇ Laur* *ἐξήει Can* *ἔξεισι Ma* | *παράπαν* Mor sed *γρ λυποῦν* in marg 14 *οὐδὲ B* | *τότ'* scripsi e *VLaViLaur* et inser *Ma*^{2} *τότε B* edd *τοῦτ' H* om *Can* | *ἀφήρητο Vi MaB* 15 *καὶ* om *Can* | *δ' HB* 16 *τὸ* ante *ὅλον Can* | *ὕβρις ἦν τὸ πρᾶγμα ὅλον Vi* 17 *πεπαρῳνεῖσθαι La* *παρῳνεῖσθαι Vi* *πεπαρωνηκέναι Can* sed *γρ πεπαρωνῆσθαι* in marg

ἔσται μοι; εἰ τοίνυν ὑπὲρ οὗ τὴν κόρην ἀπέσπα, τοῦτο οὐκ ἀναιρήσει, σώζεται τὸ ἀδίκημα, κἂν ἀποπέμπῃ
R IV 67 τὴν κόρην, ἡ ὕβρις μένει. 58. εἰ προσελθών | τις τῶν Ἑλλήνων ⟨σε⟩ τρώσειεν ἐπιβουλεύων, οὐ καθυφήσεις τῆς ὀργῆς ὁρῶν κομίζοντα τῷ τραύματι φάρμακον. ἕτοιμον γὰρ ἅμα καὶ δίκαιον εἰπεῖν· ὦ κάκιστε ἀνδρῶν, τί γὰρ κατεσκεύαζες τῷ φαρμάκῳ τὴν χρείαν ἐξὸν ὅλως ἔχειν παρὰ σαυτῷ τὼ χεῖρε; τί δ' ἀντὶ τοῦ μὴ πλῆξαι τὴν πληγὴν ἐπανορθοῖς; εἶτα σὺ μὲν οὕτως, ἂν δ' Ἀγαμέμνων εἴπῃ· λέλυται τὸ δεινόν, ἐπάνεισιν ἡ κόρη, προσδραμὼν ἐγὼ περιπτύξομαι τὸν ἄνδρα καθάπερ ὄντως οὐδὲν ἠδικημένος; 59. ἀλλ' οὐχ οὕτως ἀνόητός εἰμι καὶ κατὰ σὲ σοφός. ἐγὼ γὰρ ἡγοῦμαι τὴν ἀπόδοσιν αὐτὴν δεῖγμα εἶναι τῆς ἀδικίας. ἐν ᾧ γὰρ ἀφίησί τις τοῖς ἐξ ἀρχῆς κυρίοις ἃ τέως ἀπεστέρει, τὸ μὴ προσηκόντως ἀφελέσθαι δείκνυσιν. ὅταν οὖν ἀκούω τὴν ἀπόδοσιν, ἐννοῶ τὴν ἀφαίρεσιν καὶ συνεισέρχεται τὸ λυποῦν. 60. πρὸς τῶν θεῶν, εἴ τις αὐτοῦ τὴν τιμὴν ἀφελόμενος ἡμέρας ἢ πλείους ἢ ἐλάττους, εἶτ' αὖθις

---

1 ἀπέσπασε *La* ἀπέωσα *Vi* 4 σε inserui auctore Re („*aut pone* εἰ *addendum aut pone* Ἑλλήνων, σε") om libri edd | οὐ om *BLaur* | καθυφήσῃ *Can* καθυφήσει Mor 6 κάκιστ' *Vi* 7 κατασκευάζεις *Ma* | τὴν χρείαν τῷ φαρμάκῳ *Laur* 8 ὅλως om *Vi* | κατέχειν *LaurCan* | τὼ χεῖρε inser *Ma*³ 9 τί — 10 οὕτως praemisso κείμενον in marg *Ma*² | δὲ *HVLaVi* | ἂν ante ἀντὶ *Can* 10 δὲ edd | εἴποι *Vi* εἶπε *Can* κότα 12 ὅπως *Can* 13 μηδὲν *LaurCan* | ἠδικημένος *B* | οὗτος *V* 14 καὶ] εἰ καὶ μὴ *Ma* | μὲν ante γὰρ *HVLa* | οἶμαι *Laur* 15 τῆς ἀδικίας εἶναι *HV* 16 ἐξαρχῆς *LaViCan* 17 ἀκούω scripsi ex *HLaViLaurCan* ἀκούσω *VMaB* edd 18 ἐννοῶ τὴν ἀναίρεσιν in ras *Ma*³ | συνέρχεται *Can* 19 τῶν om *ViMaCan* | θεοῦ *Vi* | τιμὴν scripsi ex *HVLaViMa* ἀρχὴν *BLaurCan* edd 20 ἢ ante πλείους inserui ex *HVLaViMa* om *BLaurCan* edd

ἑκὼν ἀπαλλάττοιτο τὴν βασιλείαν ἀποδούς, ἆρ' ἂν ἡγήσαιτο μηδὲν ἄξιον δίκης πεπρᾶχθαι; τί δ' εἴ τις τῇ Κλυταιμνήστρᾳ συνοικοίη, μέχρις ἂν οὗτος ἀπῇ, φανέντος δὲ μηκέτι προσίοι τῇ γυναικί, ἆρ' ἂν εὐγνώμονα καὶ βέλτιστον κρίνεις τὸν οὐκ ἄχρι παντὸς ἀδικοῦντα; 61. σὺ δέ, πρὸς τῆς Ἀθηνᾶς, εἰ τὴν Πηνελόπην ἀνὴρ Ἰθακήσιος ἀποσπάσας τῶν σῶν βασιλείων οἴκαδε ὡς αὑτὸν ἀγαγὼν ἔχοι, εἶτα πυθόμενός σε κατηρκέναι πάλιν καταστήσειεν εἰς τὰ πρότερα, ἆρ' οὐκ οἰήσῃ τοῦ ξίφους δεῖν ἐπ' αὐτὸν οὐδ' ἐκεῖνα μισήσεις, ἀλλὰ τούτων εἴσῃ χάριν; μέγα μεντἂν ὑπάρξειε τοῖς πονηροῖς, εἰ τρυφῶντες ἐν τοῖς ἀλλοτρίοις ὁπόσον ἐθέλουσιν, εἶτ' ἀποδόντες ἐν | R IV 68 τοῖς ἐπιτηδείοις γεγράψονται. ἀλλ' οὐδ' Αὐτολύκῳ τῷ πάππῳ τῷ σῷ τοῦτ' ἂν ἤρκεσεν εἰπεῖν, εἴπερ ἑάλω κλοπῆς, ἀποδίδωμι, κομίζεσθε τὰ φώρια. τί κεκράγατε;

4 Xen. conv. 4, 38   6 Dem. p. 762, 18   11 cf. t. II 104, 11   14 cf. p. 67, 12

2 δὲ *HLaVi*   3 συνοικεῖ *LaurCan* Mor | ἀπείη *H* ἀπίη *VLaVi*   4 προσίοι scripsi e *B* coll. Xen. l. l. προσίη *Laur* προσίοιτο *Can* edd ἐπείη *HV* ἐπίη *LaVi* ἀπείη *Ma* | ἄρ' *Can* | εὐγνωμόνως καὶ βελτίως *Can*   5 κρίνειεν *La* | τὸν — ἀδικοῦντα citat praemisso Λιβάνιος Lopadiota lex. Vind. p. 15, 3 s. v. ἄχρι παντὸς ἀντὶ τοῦ διόλου | τοῦ et ἀδικοῦντος *Can*   7 ἰθακήσιος ἀνὴρ *MaBCan* | ἀνὴρ om *HV*   8 οἴκαδε — ἀγαγὼν citat praemisso Λιβάνιος Lopadiota lex Vind. p. 195, 14 s. v. ὡς ἀττικῶς ἀντὶ τῆς εἰς προθέσεως | αὑτὸν scripsi e *ViMa* αὐτὸν reliqui libri Lopad edd | ἔχει Mor | πειθόμενος *Vi*   9 κατηρ$^{\tau\iota}$:κέναι *H* | οὖν post ἆρ' *Vi*   10 τὸ *Can* | ἐκεῖνα *La* sed α in ω corr *y* ἐκείνων *MaB*   11 τούτω *Can* | μεντἂν scripsi μὲν τἂν *H* μέν τἂν reliqui libri μέν τ' ἂν edd   12 ἐπ' *Vi* | τοῖς om *Vi*   13 ὅσον *Can* ὅσονπερ *Laur* παρεθέλουσιν *Can* | εἶτα *BCan* Mor | ἀποδιδόντες *Laur*   14 γράψονται *HV* | voce ἀλλ' incipit *Cr* fol. 45r at pleraque abrasa   15 εἰπεῖν om *HMaBLaurCan*   16 κομίζεσθε —

τί ἠδίκησθε; δεῖ γὰρ ἐξ ἀρχῆς εἶναι χρηστόν, οὐκ ἀδικοῦντα σοφίζεσθαι. 62. ἀξιῶ δέ σε μὴ δυσχερῶς ἀκούειν, μετὰ Πηνελόπης καὶ Κλυταιμνήστρας εἰ μνημονεύοιμι τῆς Βρισέως. ἑκάστῳ γὰρ ὅ τι φίλον, τοῦτ' ἔντιμον. ἐμοὶ δὲ ἦν ἐκείνη περὶ πολλοῦ καὶ οὐδὲν ἐκώλυεν ἡ τύχη. ὥσπερ οὖν ὑμῖν ἀπολαμβάνουσιν οὐκ ἂν ἀπέχρησεν, οὐδ' ἑτέρῳ.

63. Καὶ μὴν εἰ λύσιν τῆς ὕβρεως οἰησόμεθα τὴν ἀπόδοσιν, πονηρὸν ἔθος εἰς τὸ στρατόπεδον εἰσάγοντες λήσομεν. ἀφαιρήσεται μὲν τὸ σὸν γέρας ὁ Διομήδης, Αἴας δὲ τὸ Αἴαντος οὑτοσὶ τὸ τοῦ Λοκροῦ, Μενέλεως δὲ τὸ Νέστορος, ἄλλος δὲ τὸ τοῦ δεῖνος. εἰ δ' ἀγανάκτησις γένοιτο, πάντες ἀποδώσουσι, τοῖς δ'

---

6 Her. VII 148 11 Il. ι 169 et 623

φώρια citat praemisso Λιβάνιος Lopadiota lex. Vind. p. 187, 3 s. v. φώριον τὸ κλέμμα | κομίζεσθαι *HVViMaLaurCan* Lopad

1 δὲ post τί edd delevi | ἐξαρχῆς *Laur* | οὐδ' Mor 2 ἀξιῶ — 4 Βρισέως citat praemisso Λιβάνιος Lopadiata lex. Vind. p. 14, 12 s. v. ἀξιοῖ ἀντὶ τοῦ καθικετεύει 3 εἰ ante μετὰ, non ante μνημονεύοιμι *BLaurCan* Re 4 βρισηίδος *Laur Can* | ἑκάστῳ — 5 ἔντιμον omissa γὰρ particula citat Macar. fol. 95ᵛ | ὅτι *Vi* | τοῦτο *LaurCan* Macar Mor 5 ἐμοὶ — 6 ἡ τύχη citat praemisso Λιβάνιος Lopadiota lex. Vind. p. 145, 16 s. v. περὶ πολλοῦ ἀντὶ τοῦ φροντίδος ἄξιον | ἐκώλυσεν Lopad

6 ὥσπερ — 7 οὐδ' ἑτέρῳ citat Planudes in scholiis codicis Palatini 129 (v. t. I p. 73) ad Aristid. Panath. p. 16, 11 sq. ed. Frommel ἔστι δὲ ἡ παραβολὴ ἀναπόδοτος νοουμένης τῆς ἀποδόσεως. ποιοῦσι δὲ τοῦτο ἄλλοι τε πολλοὶ καὶ παρὰ Λιβανίῳ ἔστιν εὑρεῖν ἐν τῇ 'Αχιλλέως ἀντιλογίᾳ. λέγει γάρ· ὥσπερ κτλ. | ἡμῖν *MaCan* 7 οὕτως ante οὐδ' *La* sed del *y* et οὕτως οὐδ' εμοι in marg *y* | οὐδετέρῳ *MaBCan* Plan οὕτω κἀμοί post οὐδετέρῳ *Ma* 8 εἰσόμεθα *Ma* 9 εἰσαγαγόντες *Ma* 10 voce ἀφαιρήσεται incipit *Cr* fol. 82ᵛ sed pleraque abrasa | γὰρ post μὲν *ViMa* | τὸ om *Can* 11 τοῦ ante αἴαντος *MaBLaur* et inser *Lav* | δὲ ante τὸ *Laur* | μενέλαος *Ma* 12 τοῦ ante νέστορος *Laur* | δὲ τὸ om Mor | δὲ *LaVi* 13 πάντες *La* sed ες in ras *f* | δὲ *HVLaVi*

ὑβρισμένοις σιωπᾶν καταλελείψεται. ἀλλ' οὐκ ἔσται τοῦτο μηδὲ γένοιτο, ὦ Πόσειδον. ἀλλ' ἐνταῦθα δὴ καὶ τὸ τούτου δεινότερον, εἰ πέπονθα μόνος ἃ μηδεὶς ἔτι τολμήσει. 64. χθὲς ὑμεῖς ἐπῃνεῖτε τὸν Τυδέως, ἔγνων γάρ, ἔγνων, ἐπειδὴ μάλα νεανικῶς ἀπεκρίνατο πρὸς Ἰδαῖον ὡς οὔτε τὰ χρήματα οὔτε τὴν Ἑλένην ἀποδοῦσιν ἔσται τοῦ πολέμου πέρας, καὶ ὡς οὐκ ἀπήρεσκε τοῖς Ἀτρείδαις ὁ λόγος, ἐμαρτύρησεν Ἀγαμέμνων οὐ ζητήσας ἑτέρας ἀποκρίσεις. μὴ τοίνυν οὕτω πλεονεκτικῶς ἐχόντων ὥστε τούτοις ἀξιοῦν στέργειν ἐμὲ ὧν αὐτοῖς γιγνομένων οὐκ ἂν ἠγάπησαν.

65. Καὶ δῆτα στέργει Μενέλεως Ἑλένην ἀπολαμβάνων καὶ πόλεμος οὐκ ἔσται. ἀλλ' οὐδέν τι μᾶλλον ἐμοὶ ταῦτα ποιητέον. διὰ τί; ὅτι πρῶτον μὲν Μενέλεως ὑπ' ἀλλοφύλων ἠδίκηται καὶ οἷς ἡ φύσις πρὸς τοὺς Ἕλληνας ἀθάνατον ἔστησε τὴν ἔχθραν, ὥστ' ἐλάττων ὁ θυμὸς γίγνεται τῷ τὸ εἰκὸς συμβῆναι. ἔπειτ' Ἀλέξανδρος οὐκ εἰς εὐερ-

2 Arist. Av. 1131. Pac. 564. Plut. 1050 6 Il. η 402 9 Il. η 407

1 *καταλελείψεται* scripsi *καταλείψεται BLaurCan καταλείπεται CrHVLaViMa* edd 2 *μὴ δὲ HMaBCan μὴ LaVi Laur* | *ὦ* om *CrHVLa* inser *Ma*² | *καὶ* om *LaViLaur* | *τὸ* inser *Ma*² 3 *δεινότατον CrHVLaCan* | *ἔτι*] *ἄλλος B* 4 *ἐπαινεῖτε V* | *τὸν* (sed *ν* add m³) *τοῦ τυδέως Ma* 7 *ἀπήρκεσε Vi* 8 *μὴ Laur* 9 *ἀποκρίσεως H* | *μὴ τοίνυν οὕτω πλεον* in ras *La*ᶠ 10 *ἐχέτων Laur ἐχέτω Ma* sed del m² et *γρ ἐχόντων* in marg m² | *ὲ ὧν αὐτοῖς γιγνομένων* in ras *La*ᶠ | *αὑτοῖς* scripsi *αὐτοῖς* libri edd 11 *γινομένων Vi* 12 *μενέλεως La* sed *ω* in ras *f μενέλαος Vi* sed *εω* supra *αο μενέλαος Can* | *Ἑλένην* om *CrHV LaViMaLaurCan* 14 *ποιητέον διατί; ὅτι πρῶ* in ras *La*ᶠ | *διὰ τί* om *B διατί La*ᶠ*ViLaurCan* 15 *τὸ* ante *πρῶτον Can* edd delevi | *μὲν* om *CrH* | *Μενέλεως* scripsi e *CrHVLaViBLaur μενέλαος MaCan* edd | *ὑπὸ CrHVLaVi* | *καὶ — 16 ἕλλη* in ras *La*ᶠ 16 *ἔτικεν Vi* 17 *ὥστε BCan* Mor | *γίνεται ViBLaur Can* | *ται τῷ τὸ εἰκὸς* in ras *La*ᶠ 18 *ἔπειτα MaCan* Mor

γέτην ἡμάρτανεν. οὐ γὰρ ἐκείνῳ συνανήχθη Μενέλεως
R IV 69 | οὐδὲ στρατείας ἐκοινώνησε καὶ πόνων οὐδὲ συνήρατο πράγματα οὐδὲ παρεῖχε καθεύδοντι τῶν δυσμενῶν κρατεῖν. οὔκουν εἶχεν ἀφορμὰς εἰς ὀργὴν μεγάλας. 66. ἐγὼ δὲ Ἕλλην ὑφ' Ἕλληνος ὑβριζόμην σύμπλους, συστράτηγος, ὑπὲρ τῶν ἐκείνῳ διαφερόντων κοπτόμενος, τῆς μὲν βουλῆς κοινωνῶν, τὰ δ' ἐν τοῖς ὅπλοις μόνος μοχθῶν, τὰς δ' εὐπορίας εἰς μέσον παρέχων. ὅσῳ τοίνυν εὖ ποιῶν ἠλαυνόμην, τοσούτῳ πλέον ἀλγῶ. καὶ θαυμαστὸν οὐδὲν μὴ τοῖς ἴσοις διαλλάττεσθαι τοὺς οὐκ ἴσα πεπονθότας· ᾧ μὲν γὰρ ἡ λύπη μικρά, τούτῳ τὸ κομίσασθαι μέτριον, ᾧ δὲ ὑπερβάλλουσα, τούτῳ πάλιν λαβεῖν οὐκ ἀπόχρη. 67. ἄνευ δὲ τούτων ἀκούω τὸν Μενέλεων οὐ τοῦ κάλλους τῆς Ἑλένης ἐπιθυμεῖν, ἀλλὰ τῆς παρ' αὐτῆς δίκης. βούλε-

3 Dem. p. 16, 5 7 Il. ι 374 8 Il. ι 331

1 την ἡμάρτανεν. οὐ γὰρ ἐκεί in ras *La f* | γε ante συνανήχθη *BCan* Mor delevi | μενέλαος *Can* 2 ώνησε — οὐδ in ras *La f* | καὶ om *Ma* 3 πράγματα *La* sed ραγματα in ras *f* et πράγματος in marg *y* πράγματος *Ma* πραγμάτων *Can* 4 ενῶν κρατεῖν in ras *La f* | οὔκουν reposui ex *HVLaViMaLaur Can* οὐκ οὖν *B* edd | ὀργὴν *Ma* sed ὰς suprascr m² ὀργὰς *HVLaVi* | μεγάλας reposui e libris μεγάλην edd 5 δ' *Ma* ὑφ' — συμ in ras *La f* sed συνμνους supra σύμπλους *y* sed postea del et μ in π corr et σύμπνους in marg *y* σύμπλους *Ma* sed σύμπνους in marg m² σύμπλους σύμπνους *ViCan* et γρ in marg Mor 6 συστρατηγός *HMaCan* στρατηγός *Vi* | ντων κοπτόμενος τῆς in ras *La f* 7 τὰ Mor sed γρ τῆς in marg | δὲ *B* 8 τὰς — εἰς in ras *La f* | εὐποιίας *La* et γρ in marg Mor 9 ὅσον *Ma* | τοσούτω — 10 ἀλγῶ in ras *La f* | τοσοῦτο *Vi* 11 ἶσα *La* sed in ras *f*, *MaCan* | παθόντας *VLa Vi* | γὰρ om *MaB* οὖν *CrHVLaurCan* Mor | ἡ om Mor 12 σμικρά *LaurCan* | τὸ om *Can* inser *Ma²* | δὲ ὑπερβάλλουσα in ras *La f* ὑπερβαίνουσα *Ma* sed γρ ὑπερβάλλουσα suprascr m³ 13 τὸ παλινλαβεῖν coni Re 14 μενέλεω *ViMa* sed in hoc ν add m² | οὐ τοῦ] οὔτε *Can* 15 παρ' — βούλεται in ras *La f*

ται γὰρ λαβὼν αἰκίσασθαι, λιμῷ πιέσαι, κατακόψαι. ταύτῃ γὰρ ἐγκαλεῖ πλέον ἢ τῷ τοῦ Πριάμου. μὴ γὰρ ἐθέλουσαν οὐκ ἂν ἐκ μέσης ἁρπασθῆναι Λακεδαίμονος. ἣν τοίνυν μᾶλλον ἢ Τρῶας μισεῖ, ταύτην εἰ λάβοι παρ' ἑκόντων, οὐκ ἔτ' ἂν Τρωσὶ χαλεπαίνοι. ἐγὼ δὲ τί χρήσωμαι τῇ κόρῃ; τὸ μὲν γὰρ συνοικεῖν αἰσχρόν, τὸ δ' ἀποκτείνειν οὐ δίκαιον. εἶδον γὰρ ἑλκομένην ἀφιεῖσαν δάκρυον. οὐκοῦν ἐκείνῳ μὲν ἵστησι τὴν λύπην Ἑλένη δοῦσα δίκην, ἐμοὶ δὲ οὐκ ἔστιν ὃ παύσει τὸν θυμόν.

68. *Παρὰ πάντα δὲ ταῦτα ἐκεῖνο λέγω. νῦν ὁ καιρός μοι τὴν Βρισέως ἀποδίδωσιν, ὁ κίνδυνος, ὁ φόβος, ἡ ταραχή, τὰ τῶν βαρβάρων | εὐτυχήματα. μὴ* R IV 70 *οὖν ὡς Ἀγαμέμνονος ἐπιεικοῦς γεγενημένου χρῶ τοῖς λόγοις. ὃ γὰρ ἑκὼν οὐ ποιεῖ, πῶς ἂν τούτῳ χρηστὸς εἶναι δοκοίη;* 69. *εἰ μὲν οὖν οὔπω τῶν πραγμάτων εἰς δυσκολίαν ἡκόντων μετεβάλλετο καὶ πρέσβεις πέμ-*

---

1 Arist. Lys. 155. cf. Michaelis Parthenon p. 139. Gaz. arch. VI tab. 7 et 8   7 Il. *α* 348

---

1 *πιέσασθαι Can* Mor sed in hoc *γρ πιέσαι* in marg   2 *ταύτῃ — πλέον* in ras *La*^f | *τοῦ* inserui e *CrHLaViMa* om reliqui libri edd | *πριάμῳ Can*   3 *ἐθέλουσα ἐκ μέσης οὐκ ἦν Ma* | *ἦν B* | *ἁρπασθῆναι λακεδαί* in ras *La*^f   4 *καὶ* post *εἰ* Mor | *παρ' — 5 τρω* in ras *La*^f   5 *οὐκέτ' ViMa οὐκέτι Laur Can* | *ἔτ'* om *CrHV* | *χαλεπαίνει HV*   6 *χρήσωμαι* scripsi e *Laur χρήσομαι* reliqui libri edd | *γὰρ* inserui e libris om edd | *συνοικεῖν — τὸ* in ras *La*^f   7 *δὲ LaViBCan* | *καὶ* ante *ἑλκομένην Laur*   8 *οὐκ οὖν La* | *ἑλένη στήσει τὴν λύπην Laur* | *στήσει Ma* sed *γρ ἵστησι* in marg m², *BLaurCan στήσῃ* Mor   9 *ὅπως Can*   11 *ταῦτα δὲ πάντα B* | *λέγω* Mor sed *γρ βλέπω* in marg   12 *ὁ κίνδυνος* inserui e libris om edd   13 *εὐτυχήματα Ma* sed *εὐ* in ras m³   14 *γενομένου B*   15 *ἑκὼν] ἐκεῖνος B* | *ἄρα B* (*ἂν* suprascr.) *ἐν Can*   16 *δοκεῖ B* (*οίη* suprascr.) | *οὖν* om *Can* Mor

πων ἀπελογεῖτο, τάχ' ἂν εἶχε λόγον ἐνδοῦναι καὶ νομίσαι βελτίω γεγονέναι τὸν ἄνθρωπον· ἐπεὶ δὲ οὐδὲν ἔπραξεν ἐπιεικὲς πρὸ τοῦ θορύβου, μὴ ποιείσθω τὰ τῆς ἀνάγκης ἑαυτοῦ. ὥσπερ γὰρ οὐ τῶν κηρύκων ἡγούμην τὴν ἀφαίρεσιν, εἰ καὶ λαβόντες ἀπήγαγον τὴν κόρην, οὕτως οὐδὲ τούτου τὴν ἀπόδοσιν, εἰ καὶ σφόδρα ἀποπέμψει, ἀλλ' ἦν ἐκεῖνο μὲν Ἀγαμέμνονος, τοῦτο δὲ τῆς ἥττης, αὐτὸ δέ γε τὸ τοὺς Τρῶας τῷ πολέμῳ κρατεῖν παρὰ τὴν ἐμὴν ἡσυχίαν. ὥστ' ἀκριβεῖ λόγῳ παρ' ἐμαυτοῦ λαμβάνω τὴν κόρην, εἴ γε τὴν μὲν ἀπόδοσιν ἡ ἀνάγκη, τὴν δ' ἀνάγκην ἐγὼ πεποίηκα.

70. Λογίζου δὲ κἀκεῖνο. νῦν Ἕκτωρ ἐπὶ ταῖς ναυσὶ στρατοπεδεύεται καὶ μόνον οὐ προσάγει τὸ πῦρ, καὶ τοῖς δεινοῖς ἡ νὺξ ἀναβολὴ μόνη. τῶν τοίνυν σκηνῶν ἐμπιπραμένων ἀνάγκη καὶ τὴν κόρην τεθνάναι. δίδωσιν οὖν ἣν οὐχ οἷός τέ ἐστιν ἔχειν καὶ φιλοτιμεῖται τούτοις ὧν ἐκπεσεῖται πάντως, ὥσπερ ἂν εἴ τις χειμῶνι χρησάμενος καὶ τῶν σκευῶν ὑπὲρ τῆς σωτηρίας

9 cf. p. 345, 18; t. II 92, 11; III 438, 14; IV 281, 15 sq. 14 sq. Il. ϑ 498 sq. ι 241 sq. cf. Aristid. p. 605, 5 sq.

1 τάχα *B* Mor 2 ἐπεὶ in ras *Ma*[3] | δ' *BLaurCan* edd 3 προτοῦ *La* 4 ἑαυτοῦ *Ma* sed υτοῦ in ras m[3] 5 ἡγοῦμαι *Can* | ἀπήγαγον scripsi e *CrHVLaViLaur* ἀπήγο *Ma* sed ο ex α corr m[3] et supra ras ἀπῆγον *BCan* edd | τὴν κόρην om *CrHV* 8 γε inserui e libris om edd | κρατεῖν τῷ πολέμῳ *B* 9 περὶ *Vi* | ὥστε *HVLaVi* | ἀκριβολογῶν *HVLa* sed in hoc ἀκριβεῖ λόγῳ suprascr *y* 11 δὲ *Laur* 12 ἕκτωρ *Ma* sed ωρ in ras m[3] | μὲν post ἕκτωρ *Vi* | τὰς ναῦς *B* | ναυσὶν *LaurCan* edd 13 στρατοπεδεύεται scripsi ex *HVLaViMaBLaur* ἐστρατοπέδευται *Can* edd | μόνον οὐ scripsi e *CrHVMa* μονονοὺ reliqui libri edd 16 ἐστι συνέχειν *Laur Can* edd 17 τοῖς *Can* | πάντων *LaViMa* om *B* 18 καὶ om *Can* ἐκ *Laur* | τῆς inserui ex *HVLaViMa* om reliqui libri edd

ἐκβαλὼν τινα εἰς χαριστήριον ταῦτα τῷ Ποσειδῶνι λογίζοιτο. ἆρ' αἰσθάνῃ τῆς τῶν λόγων ἀνωμαλίας, Ὀδυσσεῦ, ὡς μὲν πάντων στερησόμενος ἱκετεύει, ὡς δὲ βεβαίων κύριος ὢν ὑπισχνεῖται καὶ τῆς ἀλαζονείας οὐδ' ἐν τοῖς φόβοις πέπαυται.

71. *Ναί, φησίν, ἀλλ' οὐχ ὡμίληκα τῇ κόρῃ καὶ ὑπὲρ τούτων ὀμοῦμαι. τοῦτο γάρ ἐστι τὸ δεινόν, ὅτι μηδὲν χρῄζων τῆς γυναικὸς ὑβρίζων ἀπέσπα.* | *εἰ* R IV 71 *μὲν γὰρ εὐθὺς ἔχων ἐπλησίαζεν, ἦν εἰπεῖν ὡς ἔρωτι δουλεύων πολλὰ ὧν οὐκ ἐβούλετο ποιεῖν ἠνάγκαστο καὶ τὸ πάθος ἐνίκησε τὴν γνώμην· ἐπεὶ δὲ ἔνδον οὔσης οὐχ ἥπτετο, μία ἐστὶν ἡ αἰτία τῆς ἀφαιρέσεως ἡ περὶ ἡμᾶς ἀτιμία. οὐ γὰρ αὐτῷ χαριζόμενος, ἀλλ' εἰς ἐμὲ παροινῶν ἐλάμβανεν. ὥστ' ἐπιορκῶν μὲν τὸ τῆς ἀπολογίας ἰσχυρὸν διαφθείρει, ὀμνὺς δὲ τὰ εὔορκα χείρω ποιεῖ τὰ ἐγκλήματα.* 72. *δῶμεν τοίνυν αὐτὸν οὐκ ἐπιορκεῖν, ἀλλ' ὑποπτεύεταί γε, τούτου δὲ οὕτως ἔχοντος καὶ τοιαύτης ἐν ἑκάστῳ δόξης ὑπαρχούσης οὐδὲν παρὰ τὸν ὅρκον*

---

5 Il. ι 132 et 274

---

1 *τινα* inserui e *LaViMa* sed in hoc inser m[3], *BLaur* om reliqui libri edd | *εἰς* om Mor *εἶναι Can* | *χρηστήριον Can* *εὐχαριστήριον V* Mor | *τοῦτο Can* 2 *χαρίζοιτο Ma* sed *γρ λογίζοιτο* in marg m[2] 3 *στερησαμένου* Mor sed *γρ στερησόμενος* in marg | *ἱκετεύεις Vi* 4 *ἀλαζονείας* reposui e libris *ἀλαζονίας* edd 5 *οὐδὲ ἐν Ma* *οὐδὲν HVi* | *φόνοις La* sed *φόβοις* suprascr *y* 6 *ὡμίληκε Vi* 7 *τούτου Can* | *τὸ* Mor sed *γρ τὶ* in marg 8 *μὴ δὲ HVMaBLaur* *οὐδε Can* | *ἀπέσπασεν La* sed *σεν* add *y*, *MaB* 9 *ἦν* scripsi ex *HVLaVi MaLaur* *ἐνῆν BCan* edd 10 *ποιεῖν πολλὰ ὧν οὐκ ἐβούλετο Can* vocibus *ὧν οὐκ* des *Cr* fol. 82[r] | *ἠβούλετο Laur* | *ποιεῖν* inser *Ma*[3] om *LaBLaur* 11 *δ' VMaCan* edd 12 *ἡ*(1) inserui ex *HVLaVi* om reliqui libri edd | *ὕβρις Vi* 13 *αὐτᾷ* scripsi e *Laur* *αὐτῷ* reliqui libri edd | *ἐπ' BLaurCan* Mor 14 *ὥστε Can* 15 *ὀμνὺς La* | *ἔνορκα H* | *ποιεῖται Vi* 18 *δόξης ἐν ἑκάστῳ LaurCan* Mor | *οὐδὲ Can* | *περὶ La* sed in *παρὰ* corr *y*, *Vi* | *τῶν ὅρκων LaurCan* Mor

ἐξαλείφεται τοὔνειδος, ἐπεὶ καὶ ταῖς ὕβρεσιν ἀχθόμεθα καὶ τὰς τιμὰς ἀγαπῶμεν καὶ κινδυνεύειν αἱρούμεθα καὶ προιέμεθα τὰς ψυχὰς καὶ πάντα δρῶμεν εἰς ἓν ἐκεῖνο βλέποντες, ἥντινα γνώμην τοῖς πολλοῖς ὑπὲρ ἡμῶν αὐτῶν παραστήσομεν. 73. *καὶ νῦν ὀμεῖται μὲν Ἀγαμέμνων, δεδόσθω δὲ ὡς ἀληθῆ, πείσει δὲ οὐδένα, μένει δὲ τὸ τῆς αἰσχύνης, ὅλως δὲ οὐδαμόθεν ἡ πίστις οἷς ὄμνυσι. πρῶτον μὲν γὰρ ὁ καιρὸς τὴν ἐπιορκίαν ἐλέγχει. τὸ γὰρ ἐπικεῖσθαι μὲν τοὺς Τρῶας, τετάχθαι δὲ μετ' ἐκείνων τὴν Τύχην, πλησίον δ' εἶναι τοὺς Φόβους, μικρὰν δὲ τὴν τάφρον, οὐδὲν δὲ ὄφελος τὸ τεῖχος, ἐπὶ ξυροῦ δὲ ἀκμῆς τὰ πράγματα ἑστάναι, μίαν δὲ σωτηρίας ὁδὸν ὑποφαίνεσθαι μόνην, εἰ διαλλαγείην, οὐκ ἐᾷ προσέχειν οἷς ὀμεῖται.* 74. *ἐν μὲν γὰρ ἀσφαλείᾳ καὶ τῶν πραγμάτων εὖ κειμένων κἂν φυλάξαιτό τις ἐπιορκεῖν οὐκ οὔσης ἀνάγκης εἰς τὸ γενέσθαι πο-*
R IV 72 *νηρόν· ὅτῳ δὲ τὰ μὲν ἄλλα | ἀπέγνωσται, εἷς δὲ ὑπολείπεται πόρος ὃν οὐκ ἔστι μὴ ψευσάμενον ἔχειν, ὁ δὴ τοιοῦτος τολμᾷ κίνδυνον ἀνταλλαττόμενος κινδύνου τὸν μὲν ἐν ὀφθαλμοῖς ἀφύλακτον εἰδώς, ὑπὲρ*

---

11 Il. ν 299 | Il. ϑ 336 17 Dem. p. 358, 13

---

3 *πᾶν HLaMa* 4 *ἐκείνω La* sed o supra ω *n* 5 *παραστήσωμεν H* | *εἰ* ante *ὀμεῖται LaViMa* sed in hoc inser m², Re delevi | *ὀμεῖται La* sed ʼ e ʽ corr *n* *ὁμεῖται V* Mor 6 *δὲ* om *Can* | *ἀληθῆ* scripsi ex *HVLaViMaBLaur* *ἀληθῶς Can* edd 7 *μενεῖ BLaur* | *δὲ* (1) om *HVLaVi* del Re 8 *ὄμνυσι* scripsi ex *HVLaViMaLaur* et γρ in marg Mor *ὀμνύει BCan* edd cf. t. IV 97, 9 10 *δὲ BLaurCan* edd 11 *Φόβους* scripsi *φόβους* libri edd | *δ' Vi* | *εἶναι* ante *τὴν ViLaur* edd delevi | *δ' Ma* | *τοῦ τείχους LaurCan* 13 *μόνον Vi* | *διαλλαγείη Can* 14 *ὁμεῖται VLaMa* Mor 15 *κἂν* scripsi ex *HVLaViMaB Laur* om *Can* *καὶ* edd 17 *ἀλλ' B* | *ἀπέγνωστο Can* 18 *λέλειπται Can* *λείπεται B* 19 *δὴ* om *Ma* *δὲ Can* Mor 20 *ἀφύλακτον* reposui e libris *ἄφυκτον* edd sed γρ *ἀφύλακτον* in marg Mor

δ' ἐκείνου πολλοῖς αὐτὸν ἀπατῶν, ὡς καὶ θυσίαι καὶ θεραπεῖαι καὶ εὐχαὶ καὶ ἱερεῖα καὶ κάλλος ἀναθημάτων συγγνώμονας ἂν κατασκευάσαι τοὺς θεούς. 75. *ἔπειτα τοῦ μὲν τὴν δίκην μέλλειν ἡγεῖται, τοῦ δὲ τὸ δεινὸν εὐθὺς ἐφεστάναι, ἐλάττω δὲ τῆς ἐπικειμένης τὴν οὔπω παροῦσαν κρίνει κατ' αὐτὸν τὸν χρόνον. τὸ γὰρ μὴ νῦν, ἀλλ' εἰς ὕστερον παθεῖν ἐν τῷ μέλλειν ἔχει τὸ κέρδος, ἄλλως θ' ὅταν ἄνθρωπος ᾖ πάλαι πεπαιδευμένος τῶν θεῶν ὀλιγωρεῖν, οἷος ὁ τοσούτου πολέμου προστάτης, καὶ παρὰ τῶν κρειττόνων αἰτῶν Τροίαν ἑλεῖν.* 76. *δοκίμαζε γάρ, Ὀδυσσεῦ, τίς ποτε πρὸς τὸ δαιμόνιον ὁ μεμνημένος ὅρκων, κἂν μὲν εὑρίσκῃς εὐλαβείᾳ παρὰ πάντα τὸν βίον εἰς τὸ θεῖον κεχρημένον, καὶ σὺν ὅρκῳ πιστὸν ἡγοῦ καὶ πρὸ τῶν ὅρκων πολλάκις· ἂν δ' ἀσελγῆ καὶ θρασὺν οὐχ ἧττον εἰς ἐκείνους ἢ εἰς ἡμᾶς καὶ μήτε λόγῳ μήτ' ἔργῳ ὀκνοῦντα δυσσεβεῖν, κἂν σφάττῃ κάπρον κἂν αἱμάττῃ τὸ ξίφος κἂν*

1 Plat. Prot. p. 323 A   12 Il. ι 132 et 272

1 *δὲ BLaurCan* Mor | *πολλοῖς* scripsi ex *HVLa* sed in hoc *πολλάκις* in marg *y*, *Ma* sed *γρ πολλάκις* suprascr m², *Laur πολλάκις* reliqui libri edd | *αὐτὸν HVLaMa* sed in hoc ʼ in ʽ corr m² | *ὡς* Mor sed *γρ δύνασθαι* in marg inser *Ma*³ | *θυσίαι καὶ θεραπεῖαι καὶ εὐχαὶ καὶ ἱερεῖα καὶ κάλλος* reposui e libris *θυσίαις καὶ θεραπείαις καὶ εὐχαῖς καὶ ἱερείοις καὶ κάλλει* edd 3 *γρ κατασκευάσθαι* in marg Mor 4 *τοῦτο Can* | *μὲν* om *Can* | *μέλλειν* Mor sed *γρ μέλειν* in marg | *ἥγηται Ma* 6 *κρινειν ViMa* sed in hoc *ν* eras | *τῶ B* 7 *εἰς* om *BCan* | *εἰσύστερον MaLaur* | *πάθει B* 8 *τε Ma* 9 *οἷος Ma* sed *ς* add m² *οἷς HV* | *οὗτος* ante *ὁ BLaurCan* edd sed om *γρ* Mor | *τοῦ BLaurCan* edd sed *γρ τοσούτου* in marg Mor 10 *αὐτῶν* post *κρειττόνων* Mor 12 *μνημονεύων Vi* et *γρ* in marg Mor | *ὅρκων* Mor sed *γρ ὅρκου* in marg | *εὑρίσκῃς Ma* sed *εὑρήσῃς* suprascr m³ 15 *δὲ LaVi* | *ἐπ' B* 16 *ἢ εἰς* om *H* | *εἰς* om *La* Mor | *μήτ' ἔργῳ μήτε λόγῳ MaB* | *μήτε LaurCan* Mor 17 *ταῦρον Laur*

διὰ τῶν τομίων πορεύηται, πάνθ' ἡγοῦ τὰ φρικώδη λῆρον τῇ τοιαύτῃ κεκρίσθαι ψυχῇ. 77. *τῆς ποίας οὖν μερίδος Ἀγαμέμνων εἶναί σοι φαίνεται; πότερον τῆς οὐδὲν ἀνωτέρω τῶν θεῶν ἀγούσης ἢ τῆς ἐν γέλωτι πεποιημένης τἀκείνων; σὺ μὲν οὐκ ἂν εἴποις ἃ φρονεῖς, ἐγὼ δὲ οὐκ ἀποκρύψομαι. οὐχ οὗτός ἐστιν ὁ*
R IV 73 | *πρῶτον μὲν ἐν Αὐλίδι τῆς Ἀρτέμιδος ἀμαθίαν εἰς τοξικὴν καταγνοὺς καὶ φήσας οὐδὲν εἶναι πρὸς ἑαυτὸν ἐκείνην ἐν ἀφέσει βελῶν, ἐξ οὗ δὴ καὶ τὸν στόλον ἐπέσχεν ἡ θεὸς χαλεπήνασα; καίτοι τί τῆς μανίας τὸ κέρδος; ἔτυχες τοῦ θηρίου. τί οὖν ὑπέρλαμπρον; οὐ γὰρ Ἀλεξάνδρου τετύχηκας. ἀλλὰ καὶ τοῦτο γενναῖον. οὐκ οὖν ἀρκεῖ βεβληκέναι, ἀλλὰ καὶ σεμνύνεσθαι τῷ βλήματι δεῖ; Τεύκρῳ σαυτὸν ἀντίθες. ἀλλ' οὐχ ἱκανὸν τοῖς ζῶσιν. Ἴδᾳ τῷ παλαιῷ. σὺ δὲ ἀφεὶς τὴν γῆν τοῖς θεοῖς πολεμεῖς.* 78. *πάλιν τοίνυν ἥκοντος ἔναγχος ὑπὲρ τῆς θυγατρὸς τοῦ Χρύσου καὶ πρὸς Ἀπόλλωνος ἱκετεύοντος ὁ καλὸς κἀγαθὸς οὑτοσὶ*

---

4 cf. t. IV 251, 21 | Luc. hist. conscrib. 32 7 cf. p. 335, 9. Chor. Patr. t. IV p. 91, 4 R (p. 254, 8 Boiss.) 15 cf. ad t. IV 317, 1

---

1 *τομίων Ma* sed *θυμῶν* in marg m[3] *τομιῶν BCan τιμίων ViLaur* 2 *κεχρῆσθαι HVLaViMaB* 3 *εἶναί* inserui ex *HVLaMaBLaurCan* om *Vi* edd 6 *δ' Ma* | *μέν* ante *ἐστιν LaurCan* 7 *μὲν* om *Can* 9 *αὑτὸν Laur* 10 *ἔσχεν Can* | *χαλεπήνασα La* sed *ένουσα* suprascr *y* *χαλεπαίνουσα Ma* 11 *ἔτυχε Can* | *γοῦν Laur* 13 *οὐκοῦν HBLaurCan οὔκουν ViMa* 14 *σεμνύνασθαι Vi* | *τῷ* om *HVLa* sed in hoc inser *n*, *Ma* sed *γρ* in marg m[2], *BLaurCan* | *ῥήματι Ma* sed *γρ βλήματι* in marg m[2], *BLaur* et *γρ* in marg Mor | *σαυτὸν* scripsi ex *HVLaViMaLaur* *ἑαυτὸν BCan* edd 15 *Ἴδᾳ* om *B* *ἴδε εἰς Can* *ἴδ' ἐς HV* Mor | *τὸ παλαιὸν HVCan* Mor *τινὶ* post *παλαιῷ B* | *δ' VMaBCan* edd 16 *ὀργὴν* Mor sed *γρ γῆν* in marg | *γε* post *πάλιν* edd delevi 17 *ὑπὲρ* Mor sed *γρ περὶ* in marg 18 *κἀγαθὸς* scripsi ex *HVViMaBLaur καὶ ἀγαθὸς LaCan* edd

καὶ τοὺς θεοὺς δεδιὼς ὀλίγου τὸν πρεσβύτην αὐτῷ σκήπτρῳ καὶ στεφάνοις ἐμβαλὼν εἰς τὴν θάλατταν ἀπέπνιξεν ἀσθενεῖ φήσας αὐτὸν συμμάχῳ πεπιστευκέναι τῷ θεῷ. καίτοι τὴν τῶν Γιγάντων ἀπόνοιαν τί χρὴ δοκεῖν ἕτερον ἢ ταῦτα εἶναι; ἃ δὲ Κάλχας ἤκουεν, ἐπειδὴ τἀληθὲς οὐκ ἔκρυψεν, οὐκ εἰς αὐτοὺς ἀνῄει τοὺς θεοὺς παρ' ὧν εἶχεν ἐκεῖνος τὴν τοῦ πάντ' ἐπίστασθαι τέχνην; τοσοῦτόν ἐστι κακὸν ἄνθρωπος ὀνόματι μὲν Ἕλλην, φύσει δὲ βάρβαρος.

79. Ἡμεῖς οὖν ἐκεῖνα εἰδότες ταῦτα πιστεύσομεν, ὥσπερ ἀγνοοῦντες ὅτι πᾶς ὅρκος ἐκ τοῦ πρὸς τοὺς θεοὺς φόβου τὴν ἰσχὺν λαμβάνει, τῇ δ' εἰς ἐκείνους ὀλιγωρίᾳ πίστις οὐχ ἕπεται; Ἀγαμέμνων τοίνυν, εἰ μὲν ἐδεδοίκει τοὺς θεούς, οὐδ' ἂν ἐκεῖνα ὕβριζε, καταφρονῶν δὲ ὅλως οὐδ' ἂν τοὺς ὅρκους δείσειεν. ὥσπερ γὰρ ὁ τολμῶν τὸν ἐντυγχάνοντα παίειν κἂν εἴποι τὸν αὐτὸν κακῶς οὐδὲν ὑποστειλάμενος, τῆς γὰρ αὐτῆς ἄμφω θρασύτητος, οὕτως ὁ φαυλίζων τοὺς θεοὺς κἂν

3 Il. α 28 4 cf. ad t. I 129, 4; IV 401, 4 5 Il. α 106 sq.

1 ὀλίγω *HVLaVi* 2 στεφάνω *Can* | θάλασσαν *Ma* 3 αὐτῶ *HV* 5 δοκεῖν *Ma* sed δοκ in ras m[3] | ταῦτ' *Ma* 6 ἀπέκρυψεν *B* | ἀνῄει scripsi auctore Iacobsio Add 268 App Pors 308 ἄνεισι ἢ *V* ἂν ἦν *Ma* sed ν(2) eras ἂν ἢ *HLaVi Laur* ἂν εἴη *BCan* edd sed ἄνεισι coni Re 7 εἶχεν ἐκεῖνος scripsi ex *HVLaViMaB* ἐκεῖνος εἶχε *LaurCan* edd | πάντα *BCan* Mor πάντων *Vi* 8 τοσοῦτον — 9 βάρβαρος citat Macar fol 95[v] | τοσοῦτόν ἐστι] μέγα Macar 10 ἰδόντες *LaVi* | πιστεύσωμεν *HV* 12 φόβον in ras *Ma*[3] | δὲ *VB* edd 14 οὐδὲ Mor | ἐκείνους *Ma* sed α supra ους m[3] | ὕβριζεν *Ma* 15 οὐκ *Can* Mor 16 τὸν om *Can* | εἴποι reposui ex *HVLaViBLaur Can* εἴπῃ *Ma* edd 17 ἀποστειλάμενος *Can* | αὐτῆς γὰρ *Vi* 18 ἄμφω — 350, 2 αὐτῆς om *Can* | θρασύτητος ἄμφω *LaVi*

ὀμόσαι ῥᾳδίως τὰ ψευδῆ μέλλων ὀμεῖσθαι, τῆς γὰρ R IV 74 | αὐτῆς ὕβρεως ἀμφότερα. 80. εἰ μὲν οὖν ἐτίμα τὸν Ἀπόλλω καὶ τὴν ἀδελφὴν τοῖς τ' ἐν Αὐλίδι καὶ πρῴην ἐνθάδε, μὴ διαβάλλωμεν τὸν ὅρκον· εἰ δ' ἑκατέρου τοῦ τολμήματος κοινῇ τὴν δίκην ἐτίσαμεν, τότε μὲν ὑπὸ τῶν πνευμάτων ἀνειργόμενοι, νῦν δὲ τῷ λοιμῷ φθειρόμενοι, πῶς ὧν ὑπερεῖδεν ἀεί, τούτους ὀμνὺς οὐ δόξει φενακίζειν;

81. Ἔτι τοίνυν, εἰ μὲν ἡ μίξις ἐποίει τὴν ὕβριν, εἶχεν ἂν λόγον ὑπὲρ τῆς μίξεως τῶν ὅρκων γιγνομένων μηδὲν ὑβριστικὸν πεπρᾶχθαι νομίζειν· ἐπεὶ δ' ἀρχὴ τῆς ἀσελγείας ἦν τὸ τοὺς κήρυκας ἐλθεῖν ἐπὶ τὴν κόρην καὶ πρὶν ἰδεῖν τὴν ἄνθρωπον ἀποσπῶν ἐλύπει, οὐδὲν ἧττον εἴη ἂν ὑβριστὴς καὶ μὴ συγκαθεύδων τῇ Βρισέως. ὥσθ' ὁ περὶ τῆς μίξεως ὅρκος οὐ τοῦ παντὸς ἴασις γίγνεται, ἀλλ' ὑπὲρ μὲν τῶν ἐπὶ τῆς σκηνῆς ὀμεῖται, τῶν δ' ἐν μέσῳ κακῶν τίς ἔσται λόγος εὐπρεπής;

---

1 ὀμόσαι (ση suprascr) *B* ὀμόσαι edd | ψεύδη *HV* | μέλλων *Ma* sed ε in ras m[3] μέλλων (ειν suprascr) *B* | ὀμεῖσθαι *VMa* ὀμεῖται *Can* ὀμεῖται *La* sed σθαι suprascr *y*, *Vi* 2 αὐτῆς γὰρ *Laur* 3 τε *HLaVi Ma* | καὶ del Iacobs Add 268 4 πρῴην scripsi cum Cobeto Coll 279 πρώην *HVViMaLaurCan* Mor Iacobs πρώτην *LaB* Re | διαβάλωμεν *MaLaur* 5 τοῦ inserui ex *HVLaViMa Laur* om *BCan* edd | κοινῇ om *Laur* κοινὴν *Can* 6 εἰργόμενοι *ViB* 7 διαφθειρόμενοι *B* | οὓς *BCan* οὖν οὓς Mor 8 οὐ δόξει φενακίζειν ὀμνὺς *Vi* | ὀμνὺς *La* 10 συνάξεως Mor sed γρ μίξεως in marg | γινομένων *ViMa LaurCan* 11 τὸ ante μηδὲν *Laur* | δὲ *HLaViMa* 14 ἦν ante ἧττον *Can* edd delevi | εἴη ἂν inserui ex *HVLa ViMaLaur* ἦν *B* om *Can* edd | συγκαθεύδων *Ma* sed συγ praepos m[2] 15 ὥσθ' reposui ex *HVLaViMaLaurCan* ὡς θ' *B* ὡς δ' edd | τῶν ὅρκων *Can* λόγος *Ma* sed γρ ὅρκος suprascr m[2] 16 γίνεται *BLaurCan* | μὲν om *Vi* | τῶν om *Can* | ἐπὶ om *LaurCan* | τῆς om *VVi* 17 ὀμεῖται *V* Mor | ἐν τῷ μέσῳ *B* | εὐπρεπὴς ἔσται λόγος *B* | ἔστι *Laur*

82. Ὅτι, φησί, τοὺς λοιποὺς Ἕλληνας ἄξιον ἐλεεῖν. τί λέγεις; οἷς ἤρεσκε τὰ τότε πραττόμενα; πῶς γάρ, εἴπερ οὐκ ἤρεσκε, πέπρακται; εἰ γὰρ ἐκεῖνοι συστραφέντες καὶ τὰ ὅπλα θέμενοι καὶ περιστάντες τὴν σκηνὴν Ἀγαμέμνονος καὶ βοῆς ἐμπλήσαντες τὸν ναύσταθμον ἐχρήσαντο δικαίοις καὶ συμφέρουσι λόγοις, οὐκ ἂν οὕτω μετεπεπτώκει τὰ πράγματα, ἔλεγον δ' ἂν ὅτι, ὦ βασιλεῦ τῶν Μυκηνῶν, οὐ καλῶς ὑπὲρ τῶν ὅλων βουλεύῃ. Πριάμῳ στρατηγεῖς διὰ τῶν ὑβρισμάτων. ἡμᾶς προδίδως. τοὺς ἐναντίους αἴρεις. εὐχὰς Ἕκτορι πληροῖς. ἄνδρα τῆς συμμαχίας ἀπελαύνεις καὶ ποιεῖς ἐχθρὸν τοῖς πράγμασι δι' ὃν ἀφίγμεθα, δι' ὃν ἀπέβημεν, δι' ὃν εὐποροῦμεν, δι' ὃν εἴσω πυλῶν οἱ Τρῶες, ὃς ἀντὶ τείχους τοῖς Ἀχαιοῖς γεγένηται. ὅρα μὴ νῦν μὲν χαρίσῃ ταῖς ἡδοναῖς, μικρὸν δ' ὕστερον δακρύσῃς. ἀποδέδωκας | R IV 75
τῷ θεῷ τὴν κόρην, ὁ γὰρ λοιμὸς ἐβιάζετο, ἔα μένειν παρ' Ἀχιλλεῖ τὸ γέρας. οὐ γὰρ ἀναγκάζῃ λαβεῖν. ποῖ Ταλθύβιον τοῦτον ἐκπέμπεις; μέμψῃ ταύτην τὴν διακονίαν. 83. εἰ μὲν οὖν κατείχετο

---

1 Il. ι 300 sq. 9 Il. α 117 14 Thuc. IV 9, 3 et 12, 1 15 Thuc. II 3, 2

---

1 φήσει *LaViMa* 4 θέμενοι *Ma* sed γρ περιτιθέμενοι in marg m² 6 τὸ *Laur* | καὶ ante δικαίοις *HVLaVi* 7 οὕτω om *Laur* | μεταπεπτώκει *LaViMa* 10 τῶν ὑβρισμάτων reposui e libris τοῦ ὑβρίσματος edd 14 ἐπέβημεν *Vi* | εὐποροῦμεν *Ma* sed εὐ in ras m³ | οὗ *Ma* sed υ in ν corr m³ 17 δὲ *LaVi* | δακρύσῃς *Ma* sed ῃς corr m² δακρύσεις *V* Mor | ἀποδέδωκας scripsi ex *HVLaViMaLaur* ἀπέδωκας *B Can* edd 18 τὴν om *Vi* 19 παρὰ *Ma* | ἀναγκάζῃ Mor sed γρ ἀνάγκη in marg ἀναγκάζειν *Can* 21 εἰ — 352, 1 λόγοις post ὕβρις *BCan*

τοῖς λόγοις, εἶχεν ἂν συγγνώμην ἡ ὕβρις· εἰ δ' οὐ προσεῖχε τὸν νοῦν, ἄκων ἂν ἐποίει τὰ δίκαια τῶν Ἑλλήνων ὡς ἀληθῶς τοῖς γιγνομένοις ἀχθομένων. τί γὰρ ἂν ἔδρασεν ἐναντιουμένους ὁρῶν; ἐμπεσὼν ἂν εἰς μέσους ἐτρέψατο. πάνυ γε, εἰ τὸν ἀδελφὸν συναγωνιστὴν εἶχεν. ἀλλ' ὥπλισεν ἂν τοὺς Μυκηναίους ἐπὶ τοῖς ἄλλοις ἅπασι. καὶ ποῦ νῦν οἱ Μυκηναῖοι; μωρία ταῦτα καὶ γέλως. 84. ἀλλ', οἶμαι, τῷ μηδεμίαν ἐπιστροφὴν πεποιῆσθαι μηδ' ἐνδείξασθαι τοῦθ' ὅτι οὐ χαίρων ὑβριεῖ, παρέσχον ἐπ' ἐξουσίας τολμῆσαι. καὶ μηδεὶς εἴπῃ· βασιλεὺς γὰρ ⟨ὁ⟩ ἄνθρωπος καὶ κύριος τῶν ὅλων. πρῶτον μὲν γὰρ ἅπας βασιλεὺς ἐν τοῖς ὑπηκόοις ἰσχύει καὶ πρὸς τὴν τούτων γνώμην τἀκείνου φέρεται καὶ κρατεῖ καὶ καθῄρηται, καὶ δέδοικε καὶ θαρρεῖ καὶ τοῦτο ἔστιν ὅ τι ἂν τοῖς ἀρχομένοις δοκῇ. οὐ γὰρ ἑνὶ σώματι καὶ ψυχῇ μιᾷ κρατεῖ τοσοῦτον πλῆθος, ἀλλὰ τῇ τῶν πολλῶν βουλήσει τὸ

9 Dem. p. 439, 14 10 Plat. Gorg. p. 510 D

1 τοῖς om *Ma* | εἶχεν — ὕβρις in marg *V²Lay* om *H* et *Wolf* probante Re | δὲ *HVLaVi* 2 προσεῖχον *Can* | ἄλλων *Ma* | γε post τῶν edd delevi 3 ὡς inserui ex *HVLaVi Ma* om *LaurCan* edd ὡσαληθῶς *B* | ἀληθῶς om *Laur* | γινομένοις *Laur* 4 ἂν (1) inser *Ma³* om *Can* 5 καὶ ante εἰ *Can*, post εἰ *Vi* 6 εἶχε συναγωνιστήν *MaLaur* | τοὺς *Ma* sed γρ αὐτοὺς suprascr m³ αὐτοὺς *Vi* 8 γέλως] οὐδὲν ὑγιὲς *Vi* | τὸ *LaurCan* | μὴ δὲ μίαν *HLaCan* 9 μὴ δ' *HLa ViMa* μηδὲ *Can* Mor 10 χαίρων scripsi auctore Re χαιρόντων libri edd | ἐπεξουσίας *Ma* sed in ἐπ' ἐξουσίας corr m³ 11 ὁ inserui om libri edd | ἄνθρωπος Sintenis | ἐστι post ἄνθρωπος inser *Lay* 15 δέδοικε *Ma* sed ε (1) in ras m² | τοῦτο ἔστιν scripsi τοῦτο ἐστιν *Ma* sed ˜ ex ´ et ο ex ω corr m³ τοῦτ' ἐστὶν *Laur* τοῦτό ἐστιν reliqui libri edd | ὅ τι scripsi cum *Laur* ὅτι reliqui libri edd 16 δοκῇ reposui ex *HVLaViMaLaurCan* δοκεῖ *B* edd | καὶ ante σώματι *Vi* | μιᾷ ψυχῇ *Ma* | κρατεῖ om *Laur* 17 τοσούτων *MaBLaur* τοσούτον *Can* | τὸ ante πλῆθος *La MaB* | πλήθους *Can* | ἄρχει post πλῆθος *Laur* | γὰρ post ἀλλὰ *Laur*

σχῆμα λαμβάνει. καὶ τῶν αὐτῶν δήπου δοῦναί τε καὶ πάλιν ἀφελέσθαι καὶ παρασχεῖν καὶ μηκέτ' ἐᾶν ἔχειν. 85. τῷ μὲν οὖν δοκεῖν ἐκ τῆς ἐκείνου γνώμης τὰ τῶν ἀρχομένων ἤρτηται, τὸ δὲ ἀληθὲς ἐν τῇ τούτων τἀκείνου κεῖται, κἂν τούτοις ἀπειθεῖν παραστῇ, τό γε ἐπιτάξον οὐκ ἔσται. εἰ γὰρ Μυκηναῖοι σφᾶς αὐτοὺς ἑτέρῳ προσένεμον, οὐκ ἂν ἦν εὐθὺς ἰδιώτης Ἀγαμέμνων; ἢ τὸν μὲν Ἀτρέα μετὰ τὴν Εὐρυσθέως τελευτὴν τύραννον ἐξ ἰδιώτου κατέστησαν, εἰς δὲ τὸν ἐκείνου παῖδα τἀναντία ποιεῖν οὐ τῆς αὐτῆς ἐξουσίας; 86. ἀλλ' ἐῶ Μυκηναίους καὶ συγχωρῶ μηκέθ' αὐτῶν εἶναι κυρίους, οὐ μὴν καὶ κατὰ | πάντων γε τὴν αὐτὴν κέκτηται R IV 76 δυναστείαν, ἀλλὰ τὸ μὲν ἐκείνων ἐστὶ πατρικὴ βασιλεία, τὸ δὲ παρὰ τοῦ κοινοῦ τιμή τις ὑπὸ τοῦ πολέμου δοθεῖσα. ἥκομεν δὲ εἰς Τροίαν οὐ παραδώσοντες ἑτέρῳ τὴν αὐτοῦ βασιλείαν ἕκαστος, ἀλλ' εἰσὶ μὲν Βοιωτοῖς ἡγεμόνες, εἰσὶ δὲ Φωκεῦσιν, εἰσὶ δὲ Ἀργείοις, εἰσὶ δὲ

---

3 cf. t. II 526, 13 8 Thuc. I 9, 2 16 Il. β 494 17 Il. β 517 | 559

---

2 μηκέτι *MaLaur* μήτ' *Vi* | ἂν *ViCan* 3 τὸ *LaViMa* 4 δ' *MaBLaurCan* 5 ἂν *Laur* 6 ἐπιτάξαι *Ma* sed ον suprascr m[2] | ἔστιν *Can* 7 προσήνεγκον *Vi* et γρ supra προσένεμον *Ma*[3] | ἦν εὐθὺς ἰδιώτης Ἀγαμέμνων scripsi ex *HVLaViMa* εὐθὺς ἦν ἀγαμέμνων ἰδιώτης *BLaur* sed in hoc ἦν om, *Can* edd | καὶ παρ' αὐτῶν τῆς ἐπομένης post ἰδιώτης *Vi* (cf. p. 354, 3) 10 πρῶτα ante ποιεῖν *Can* 11 μηκέτ' αὐτῶν *HVLaVi* μηκέτ' αὐτῶν *Laur* μηκέτι αὐτῶν *Can* μὴ καθ' αὑτοὺς *B* 12 κατὰ πάντων scripsi ex *HVLaViBLaur* καθ' ἁπάντων *Can* edd sed γρ μετὰ πάντων in marg Mor πάντων *Ma* | γε scripsi ex *HVLaMaB* om *ViCan* ἂν *Laur* edd | γε κέκτηνται *Can* 13 ἡ *Ma* sed τὸ suprascr m[3] 14 πολεμίου *Can* 15 ἡ μὲν *Can* 16 αὐτοῦ scripsi cum *Laur* ἑαυτοῦ *LaViMa* αὑτοῦ reliqui libri edd | εἰ ante ἕκαστος *Can* | τοῖς ante βοιωτοῖς *Can* 17 ἔστι δ' *Ma* | δὲ inserui e libris om edd

Λοκροῖς, Εὐβοεῦσιν, Ἀθηναίοις, Σαλαμινίοις, Κεφαλλῆσι, Κρησί, Πυλίοις, τῶν ἄλλων ἑκάστοις. εἰς τούτους οὖν ὁρῶσι, καὶ παρὰ τούτων τοῖς ἑπομένοις τὰ παραγγέλματα, καὶ οὐ σκοποῦσιν Αἰτωλοί, τί δέδοκται τοῖς Ἀτρέως, ἀλλ' ὁ Θόας αὐτοῖς τοῦ τί δεῖ ποιεῖν ὁριστής, ἐπεὶ καὶ τὴν στρατιὰν συνήγαγεν οὐχ ὁ φόβος Ἀγαμέμνονος, ἀλλὰ τὸ δόξης ἐπιθυμεῖν. 87. μέγα δέ σοι καὶ σαφὲς ἐρῶ τεκμήριον. οἱ τὴν ἡσυχίαν τῆς φιλοτιμίας προθέντες οὐκ ἐπηναγκάσθησαν πλεῖν, οἷον ἐβούλοντο Μεθωναῖοι μετ' ἀσφαλείας μᾶλλον τῶν ὄντων ἀπολαύειν ἢ κοινωνεῖν ἔργων μεγάλων. καὶ μένουσιν οἴκοι Μεθωναῖοι καὶ Μενέλεως παρακαλῶν ἀπῆλθεν ἄπρακτος. ἤρεσκε τῷ Ταναγραίων ἄρχοντι μήτε λαμπρότητος μήτε κινδύνων μετέχειν καὶ τοὺς Ταναγραίους ὥπλισεν ἐπ' αὐτὸν τὸν καλοῦντα περιεργαζόμενον λαβών, καὶ εἰ μὴ σὺ παρὼν ἔτυχες, ἔκειτο ἂν ὁ τοῦ δεσπότου τῶν Ἑλλήνων ἀδελφός.

88. Ἀλλ', οὐ γὰρ ἠνάγκασμαι πρὸς σὲ λέγειν ὧν

---

1 Il. β 527 | 536. 546 2 Il. β 557 | 631 | 645 | 591 5 Il. β 638 10 Eustath. ad Il. β 716 13 Euphor. fr. 80 Mein. Anal. Alex. p. 115 apud Schol. Ven. A. et Eustath. ad Il. β 498

---

1 καὶ ante εὐβοεῦσιν *Ma* | σαμίοις, νίοις *Laur* | κεφαλῆσι *Vi Ma* 3 παρ' αὐτῶν *VMaLaur* παρ' αὐτοῦ *H* 5 ἀλλὰ θόας *BCan* 6 στρατιὰν Re στρατείαν libri Mor | οὐ φόβος *HV LaViMaB* Re 9 ἐπηναγκάσθησαν scripsi ex *HVLaViMaB Can* ἀπηναγκάσθησαν *Laur* Mor ἠναγκάσθησαν Re 10 οἱ μεθωναῖοι *V* οἱ μοθωναῖοι *H* | μετὰ *Ma* 11 καὶ om *Can* | ἔμενον *LaLaur* 12 μοθωναῖοι *H* | καὶ — 13 ἄπρακτος citat praemisso Λιβάνιος Lopadiota lex. Vind .p. 148, 12 s. v. παρακαλῶ ἀντὶ τοῦ καθικετεύω· 13 παναγραίων et 15 παναγραίους *La* sed τ supra π *y*, *Vi* 16 λαβεῖν *Ma* et e *Wolf* Re | ἔκειτο scripsi ex *HLaViMaLaur* ἔκειτ' *VB* edd ἐκεῖτ' *Can* 18 Ἀλλ', οὐ scripsi auctore Re ἀλλὰ libri edd

αὐτόπτης γεγένησαι, τὸ δὲ καθ' ἡμᾶς τοῦτο τίνος σοι φαίνεται σημεῖον; ἀπέστην τοῦ συμμαχεῖν καὶ Μυρμιδόνες ἀργοῦσιν. ἐξάγει δὲ οὐδεὶς ἄκοντας. ἥκετε δὲ ὑμεῖς ἱκετεύσοντες, οὐκ ἐπιτάξοντες. ὁ δὲ πείρᾳ | R IV 77 *πρὸς τοὺς Ἕλληνας χρώμενος καὶ περὶ μὲν φυγῆς ἐν μέσῳ παραινῶν, διὰ δὲ τῶν ἡγεμόνων τῶν κατεσκευασμένων αὐτῷ τὴν ὁρμὴν κωλύων, καὶ φανερῶς μὲν οὐ τολμῶν ἃ φρονεῖ λέγειν, τέχνῃ δὲ χρώμενος πρὸς τὸ πλῆθος μεγάλην γε καὶ γενναίαν τὴν δεσποτείαν ἐμφαίνει.* 89. *ὁρᾷς ὡς οὔτ' ἐκεῖνος πάντα κελεύειν κύριος τούτοις τε πάνθ' ὑπηρετεῖν οὐκ ἀνάγκη; βουληθῆναί γε ἔδει καὶ οὐδὲν ἂν ὑβρίσμην. εἰ γάρ, ἡνίκα τὴν ἀφαίρεσιν ἠπείλει, τὴν ἀπόστασιν παρὰ τῶν ἐθνῶν ἀντήκουσε, σώφρων ἂν ἐγένετο τῷ φόβῳ. νῦν δ' ἐγὼ μὲν ἠτιμαζόμην, οἱ δὲ ἐσιώπων. καὶ τὸν μὲν Χρύσην ἐκέλευον αἰδεῖσθαι καλῶς γε ποιοῦντες, ὑπὲρ ἡμῶν δὲ οὐ τὰς αὐτὰς ἀφῆκαν φωνὰς οὐδ' εἰ μηδὲν τῶν ἄλλων, αὐτὴν τὴν τῆς*

---

5 Il. *β* 140 6 Il. *β* 186 sq. 16 Il. *α* 22 cf. Aristid. p. 589, 20 sq.

---

4 *ἱκετεύοντες Laur* | *πεῖρα Can* 6 *ἡγουμένων Laur* | *κατασκευασμένων B* *κατασκευαζομένων* Mor *μετασκευαζομένων Can* *ὁρμὴν*
7 *βουλὴν B* 9 *γε* scripsi auctore Re *τε* libri edd
10 *ἐμφαίνειν Laur* | *οὐκ Can* 11 *κελεύει Can* | *τούτοις* in ras *V* *τοῖς HMa* | *δὲ Ma* *τὸ Vi* 12 *ἦν* ante *ἀνάγκη Can* | *τὲ HVLaViCan* | *ὑβρίσθην Can* 13 *ἠπείλει Ma* sed *ιλ* in ras m[3] *ἠπόλει Can* 14 *περὶ La* sed *ε* et *ι* eras | *ἐχθρῶν Laur* | *ἀντήκουσε* scripsi *ἀντήκουσεν VB* edd *ἀντήκουσα Can* *ἀντήκουε ViMa* *ἀντήκουεν HLaLaur* | *σωφρονῶν* Mor
15 *δὲ LaurCan* 17 *δὲ VLaVi* | *δὲ* om *HVLaVi* | *οὐ* scripsi e *Laur* *οὐδὲ* reliqui libri edd 18 *οὐδὲ Laur* | *αὐτὴν* inserui ex *HVLaViMaBLaur* om *Can* edd

ὕβρεως αἰτίαν ᾐσχύνθησαν. ἡ δὲ ἦν τὸ τῶν Ἑλλήνων κήδεσθαι. εἰ δ', ὥσπερ τῶν ἄλλων ἕκαστος, μηδὲν ἐφρόντιζον, οὐκ ἄν, ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδείς, ὑβριζόμην οὐδὲ προὐπηλακιζόμην παντάπασιν. 90. οὐκοῦν ὁ μὲν ἠσέλγαινεν, οἱ δὲ ἐπέτρεπον, καὶ ὁ μὲν ἀπεστέρει τοῦ γέρως, οἱ δὲ οὐκ ἐκώλυον. κοινὸν οὖν ἦν τὸ ἀδίκημα τοῦ τε τολμῶντος καὶ τῶν οὐκ ἐπεχόντων, οὓς ἀξιοῖς ἐλεεῖν. μᾶλλον δ' εἰς ἐκείνους τὸ πλέον ἔρχεται. ὁ γὰρ τῷ πονηρῷ δοὺς ἀδικεῖν παῦσαι παρὸν μᾶλλον αὐτὸς εἴργασται τὸ πραχθέν. ἂν προδοσίαν αἰσθόμενος μὴ προαναστείλω, δίκην ὀφείλω τοῖς προδοθεῖσιν. ἂν φονεὺς ἐμοῦ συγχωροῦντος δράσῃ τὸ ἔργον, οὔκ εἰμι καθαρός. ἂν Ἀγαμέμνων ὑβρίζων μὴ λυπῇ τὸν στρατόν, ὑπ' ἀμφοτέρων ἠδίκημαι. 91. νόμος δὲ κοινὸς Ἑλλήνων καὶ βαρβάρων ἀμύνεσθαι τὸν ὑπάρξαντα. ἐτιμώμην πρότερον καὶ παρὼν ὠφέλουν. ὑβριζόμην ὕστερον καὶ μεταστὰς ἀμύνομαι. οὔτ' ἀμοι-
R IV 78 βῶν | ἀποστερῶ καὶ δίκην οἶδα λαμβάνειν. λυπεῖ

2 cf. Il. α 56 4 Aristid. p. 607,1. Dem. p. 126, 9; 610,29
15 Od. ω 286

1 *αὐτὸν HVCl* 2 *τούτου* om Plan | *γνώμην Vi* sed *δύναμιν* in marg m² | *θαυμάσει* scripsi e *M* cum Iacobsio *θαυμάζει HVB* *θαυμάζοι VaLaViMa* sed in hoc *σοι* suprascr m³, *Cl* edd *θαυμάζεις* Plan 3 *ἐπιγυναικὶ La* | *τῇ* ante *γυναικὶ* inser *Ma*³ 4 „*praestat utique ἀμύνοιτο B* (Bavar. cod.), *malim tamen ἀμύναιτο*“ Re | *δικαστήριον τίς HVa* 5 *παράγων Vi* sed *παραγαγὼν* in marg m² 8 *τὸν νόμον Vi* | *ἐνυβρίζοντα Va* sed *ἐνυ* in ras m² 11 *διεψεύσθην* reposui e libris *ἐψεύσθην* edd 12 *γονὴν τῶν παίδων μοι M* | *μου HB* | *μὴ M* 13 *καὶ* ante *κάτω MMaCl* 14 *οὐκ ἤνεγκα Ma* sed *υκ ἤνε* in ras m³ | *καὶ* ante *διεταράχθην M* | *δὲ* inserui om libri edd | *θέᾳ* scripsi ex *HVVa* sed in hoc *ωρία* suprascr m², *LaBMaCl* *θεωρίᾳ M Vi* sed in hoc *θέᾳ* in marg m², edd 18 *ἁμαρτόντας Va* | *κοινοὺς H* | *καὶ* post *κοινὴ LaMaCl* 19 *τελευτήν LaMa* sed in hoc *ν* inser m² 20 *οὐκοῦν Ma* sed *ουν* in ras m³

αὗτα λέγειν ἁρμόσει. ἀλλ' οὐ μόνα τοιαῦτα. | οὐ R IV 119 γὰρ μέχρι τούτων ἐδυστυχοῦμεν, ἀλλ' εἴθε τις προλαβὼν εἶπεν ἅπερ ἔδει με λέγειν, ἐγὼ δὲ μόνον ἀκούων ἐδάκρυον. πλὴν τοσοῦτον ἂν εἴποιμι· ἡμῖν, ὦ ἄνδρες, τὰ τῆς οἰκίας ἐνόσει δεινῶς. ἐν λήθῃ μὲν ἦν Ἀγαμέμνων καὶ λόγος ἦν ἀπόντος οὐδείς, οἱ δὲ παῖδες ἀπερριμμένοι ἀντὶ τοῦ πατρὸς ἕτερον ἐπὶ τῆς οἰκίας δρῶντες, Αἴγισθος δ' ἦν, οὐκ οἶδ' ὅπως, ἀντ' Ἀγαμέμνονος τῇ μητρί. καὶ εἴ ποτέ τις ἡμῶν οἷα δὴ παῖς πρὸς μητέρα λέγων ἐφθέγξατό τι τῶν τῆς ἡλικίας ῥημάτων ὧν ἂν εὔξαιτο γνησία μήτηρ ἀκούειν, πλήρης ἦν εὐθὺς τοῦ θυμοῦ καὶ δεινὸν ἠπείλει καὶ τοιοῦτος ἂν ἡμῖν ἀπήντησε λόγος· ὡς ἀπόλοισθε μὲν ὑμεῖς, ἀπόλοιτο δὲ καὶ ὁ φυτεύσας πατήρ, πίπτοι δὲ μαχόμενος καὶ Τρωικὸς ἐκεῖνον δέξαιτο τάφος.

18. Ἀλλ', ὦ πάτερ, εἴθε τοιούτων ἔτυχες καὶ τὴν ἄδικον ταύτην εὐχὴν θεῶν τις ἀκούων ἐπλήρωσεν. οὕτως ἂν ἦμεν εὐδαίμονες. ἔκεισο γὰρ ⟨ἂν⟩ ἐν κατα-

---

2 *μέχρι γὰρ Va* | *μόνον* ante *μέχρι Ma* sed del *Cl* | *εἴθε τις* scripsi e *La* *εἴθέ τις Va* *εἴθε τίς* reliqui libri edd | *προσλαβὼν La* 4 *τοσοῦτον* scripsi ex *HVVaLaBViMaCl* *τοῦτο M* edd | *ὑμῖν ViMa* 6 voce *ἦν* des fol 52ᵛ in *La*, *ἐντὸς ὧδε λείπει φύλλον ἓν καὶ ζήτει τοῦτο εἰς τὸ τρίτον φύλλον τῆς ἀρχῆς* in margine inferiore *y* voce *ἀπόντος* inc fol 53 manu s. XVI suppletum 7 *τοῦ* inserui ex *HLaMViMaCl* om *VVaB* edd

9 *εἴ ποτέ τις* reposui e libris *εἴποτε τίς* edd 10 *λέγων* in marg *Ma* *λέγειν* Mor | *τι* om *Ma* 12 *μὲν* ante *ἦν Ma Cl* 13 *ὑπήντησε MaCl* | *ἀπόλλυσθε HV* *ἀπόλλοισθε MaCl* | *ὑμεῖς* reposui e libris sed *εῖς* in ras *Ma*³ *ἡμεῖς* edd

14 *ἀπόλλυτο HV* *ἀπόλλοιτο VaLaMaCl* | *πίπτει HV* *πίπτει* (οι supra) *Va* 15 *διαδέξαιτο La* sed *δια* praep m¹, *ε* vero in ras m² *διαδέχοιτο Ma* sed *γρ*^αι^ *δέξαιτο* in marg m³, *Cl* | *τάφος La* sed *ς* in ras m² 16 *εἴτε La* 17 *ταύτην εὐχὴν Ma* sed *ην εὐ* in ras m³ | *ταφὴν μᾶλλον ἢ* ante *εὐχὴν* Mor | *τις La* sed *ις* in ras m² *τίς H* | *ἐπλήρωσε Ma* 18 *ἂν* inserui auctore Re om libri edd

λόγῳ τῶν ἀριστέων σὺν Ἀντιλόχῳ, σὺν Αἴαντι, μετ' Ἀχιλλέως τοῦ Θέτιδος, καί σου τῷ τάφῳ πάντες ἂν ἐπέγραψαν Ἕλληνες· Ἀγαμέμνων οὗτος ὁ Μυκηναῖος ὁ στρατηγήσας ἐν Τροίᾳ καὶ ὑπὲρ ἀριστείας πεσών. 19. ἀλλὰ ταῦτα μὲν οὕτω δίκαια παρεῖδεν ἡ Τύχη, ἐπανήρχου δὲ μετὰ Τροίαν. πάντως. καὶ θυσίαν ἀνάγεσθαι μέλλων ἐποίεις καὶ τοὺς θεοὺς ἐκάλεις δοῦναί γέ σοι χρονίῳ μετὰ Τροίαν τὰς Μυκήνας ἰδεῖν καὶ τὸν οἶκον εὐτυχῆ καὶ λοιπὸν ἀκμάζοντας ἤδη τοὺς παῖδας καὶ τὴν γυναῖκα τοσούτου χρόνου τὸν ἄνδρα ποθοῦσαν. οὐ γὰρ ἐλογίζου τὰ ἐπὶ τῆς οἰκίας, R IV 120 οἴμοι, δεινότερα | τῶν ἐπὶ Τροίας ἀτυχημάτων. ἐκεῖ φανερὰ τὰ τῆς μάχης, ἐνταῦθα λανθάνοντες οἱ πολέμιοι. 20. ἀλλ', οἴμοι, πῶς ἂν εἴπω τὰ μετὰ ταῦτα καὶ τὴν μητέρα σιγήσαιμι; μόνος γάρ, ὡς ἔοικε, τῶν κρινομένων ἐγὼ καὶ λέγων καὶ σιωπῶν δυστυχής. πῶς ἂν οὖν εἴποιμι; τράπεζα ἦν ἐκείνη καὶ δαιτυμόνες καὶ ξίφος καὶ μήτηρ καὶ Αἴγισθος, καὶ ἀλάστορές τινες

---

1 Od. γ 112 4 Soph. El. 1. Eur. Or. 574 10 Od. λ 431 17 Od. λ 411 et 419 18 Themist. or. III p. 43 a

---

1 *τῶν* inserui e libris om edd 2 *πάντως La* sed *ως* in ras m², *MaCl* *πάντα B* 4 *καὶ* om *M* Re 5 *οὕτως B* 6 *τὴν* ante *τροίαν Va* ¦ *δὲ* post *πάντως MaCl* et inser *La* 7 *ἄγεσθαι* Mor 8 *γέ* scripsi *τέ VVaLa* sed in hoc eras, *B MViMaCl* edd *τέως H* | *χρονίῳ* scripsi auctore Cobeto Coll. 280 coll. t. II 264, 3 et 285, 1 *χρονίως* libri edd | *τὴν* ante *τροίαν Va* 9 *λοιπὸν* om *HVVa* 10 *καὶ* om *M* | *τὴν γυναῖκα* reposui e libris *γυναῖκα τὴν* Re *γυναῖκα* Mor | *τοσούτω χρόνω Ma* *τοσοῦτον χρόνον* Mor 11 *πονοῦσαν La* 12 *ἀτυχημάτων* scripsi ex *HVaMaCl* *εὐτυχημάτων La* *ἀδικημάτων VBMVi* edd 13 *φανερὰ* om sed *διὰ δηλα·* post *μάχης Va* 14 *ἂν* om *MaCl* | *μεταταῦτα VaLaBVi* 17 *οὖν ἂν BMaCl* 18 *τινες* inserui e libris cum Iacobsio Philostr. 630 (e Mon. 96) om edd

καὶ παλαμναῖοι τῇ πράξει συνεπεμίγνυντο. οὕτως, ὦ θεοί, τὸν Ἀτρέως ἔδει πεσεῖν˚ ὑπὸ γυναικὸς συνοικούσης, ἐξ ἧς παῖδας εἶχεν, ἣν ἐκ παρθενίας ἠγάγετο; ἐπὶ δὲ τούτοις ἔδει τὴν οἰκίαν ἰδεῖν;

21. *Ταῦτα λογιζόμενος ἐδάκρυον μὲν τὸν πατέρα, τῆς δὲ μητρὸς ἐφειδόμην καὶ οὔτε παριδεῖν ἐκεῖνον οὔτε ταύτην ἀμύνασθαι παρεῖχεν ἡ φύσις· μέσος δὴ γίνομαι τοῖν κακοῖν καὶ ἠπόρουν καί μοι πάντα πρὸς τὴν γνώμην ˙εἰσῄει˙ παρίδω τὸν πατέρα; τῆς μητρὸς ἅψωμαι; ἐμαυτὸν ἀνέλω; τίς δὴ καὶ γένωμαι; ὢ κρίσεως ἐκείνης δυστυχοῦς καὶ πανταχόθεν λυπούσης. ἐδόκει δή μοι τὸ πρᾶγμα κρείττονος δεῖσθαι βουλῆς. ἔλεγον γὰρ ὡς ὅσα τῶν βουλευμάτων τὴν τῶν ἀνθρώπων γνώμην νικᾷ, ταῦτα τοῖς θεοῖς ἐπιτρέπειν προσήκει.* 22. *ἐζήτουν δὴ περὶ τούτων οὐ συμβόλοις, οὐ φήμαις, οὐ μαντείαις ἀνθρώπων, καίτοι καὶ διὰ τού-*

---

1 Od. δ 530 7 cf. t. II 485, 7

---

1 *πράξει* scripsi ex *HV* et Mon. 96 cum Iacobsio *τραπέζῃ* reliqui libri sed *πράξει* in marg *Vi*², edd 2 signum interrogationis post *πεσεῖν Vi* | *ὑπὸ* corr *Ma*³ *ἐκ Cl* 3 *ἐξῆς La* | *εἶχεν* scripsi, ut in marg Mor *οἶδεν Va* *εἶδεν* reliqui libri edd | signa interrogationis inserui e *ViMa*, 4 ex *HLaViMa* 6 *παριδεῖν La* et e Bav Re *παρὸν HVVa* sed in hoc *παρὼν* in marg m², *M* *παρὼν BViMa* sed in hoc *παριδεῖν* suprascr m², *Cl* Mor 7 *δὲ H* 8 *γίγνομαι LaM* | *τοῖν κακοῖν* scripsi coll. t. II 18, 15; 342, 12; 485, 7 et t. IV 392, 21 R *τοῖς κακοῖς* libri edd | *καί* — 9 *εἰσῄει* citat Plan fol 105 | *πάντα*] *τόδε καὶ τόδε* Plan 9 *παρίδω* scripsi ex *HVVaLaMViMa* *περίδω B* edd *περείδω Cl* 10 *ἅψομαι τῆς μητρὸς MaCl* | *ἅψομαι HVVa* sed in hoc o in ω corr, *LaBViMaCl* | *τί* M. Schmidt Philol. X 617 auctore Cobeto Var. Lect. 106 cf. p. 399, 14 | *γίνομαι LaMa* 12 *δέ HCl* 13 *ὡς* om *LaM* | *ὅσα* — 14 *προσήκει* citat Macar fol 84 | *ὧν La* | *τῶν* om *MaCl* 15 *συμβούλοις HVVaLaVi* *συμβούλους MaCl* 16 *φήμας MaCl* *φοίβαις HV* | *μαντείας MaCl* | *καὶ* inserui ex *HVBMaCl* om *VaLaMVi* edd

των οἱ θεοὶ σημαίνουσι τὰ δοκοῦντα, ἀλλ᾽ οὐκ ἐκ τούτων ἠξίουν εἰδέναι, ἀλλ᾽ εἰς Δελφοὺς ἀφικόμενος, ὦ Ἄπολλον, ἐγὼ μὲν ἠρώτων, σὺ δὲ προὔτρεπες, καὶ ἐτιμώρησα τῷ πατρὶ τηλικαῦτα δυστυχοῦντι. δεινὸν γάρ, δεινὸν καὶ καθ᾽ αὑτὴν ἡ μοιχεία τῷ τῶν ἀνθρώπων βίῳ λυμαινομένη, χωροῦσα δὲ καὶ διὰ φόνου τῶν οἰκειοτάτων πάντων δὴ κακῶν εἰς ἓν συνελθόντων οὐκ ἂν ἔχοι ὃ μεῖζον, ἥ γε δι᾽ ὑποψίας ἄγει τοὺς βίους καὶ διασπᾷ τὰ γένη καὶ νόθα δείκνυσι καὶ με- R IV 121 *ρίζει τὰς γνώμας ἐκπολεμοῦσα | τὰ φίλτατα κατ᾽ ἀλλήλων.* 23. *ὦ πόσων οἴκων εὐδαιμονίας διέλυσεν. ὦ πόσαι διὰ ταύτης μετέβαλον εὐτυχεῖς παστάδες εἰς θρῆνον. τί δὴ καὶ μέγιστον ἅπαντες νομίζομεν ὧν ἂν ἐργάσαιντο κρείττους γεγονότες οἱ δυσμενεῖς; τὰς τῶν γυναικῶν ὕβρεις καὶ τὰς κατὰ τῶν προσηκόντων σφαγὰς οἶδ᾽ ὅτι πάντες ἂν εἴποιτε. τίνος δὲ χάριν ὅπλα φέρουσι καὶ πολέμων ἀνέχονται καὶ προκινδυνεύειν ἐθέλουσιν ἄνθρωποι; ὅπως ἔχωσι σώφρονας τὰς γυναῖ-*

---

6 Eur. Or. 566 sq. 15 Isocr. Paneg. p. 64 d

---

2 *ἀφικόμην Ma* sed *ἀφικόμενος* in marg m^3, *Cl* 3 *καγὼ MaCl* | *δὲ προὔτρεπες* scripsi *δ᾽* (*δὲ H*) *ἐπέτρεπες* libri edd 4 *ἐτιμώρησα Ma* sed *ἐτ* in ras m^3 | *δεινὸν* — 11 *ἀλλήλων* omissa *γὰρ* particula citant Plan fol 105 et Macar fol 84 | *μὲν* post *δεινὸν* Macar et in marg add *La* 5 *ἡ μοιχεία καὶ καθ᾽ αὑτὴν* Mor | *ἑαυτὴν Va* *αὑτὸ Vi* sed *αὑτὴν* in marg m^2, *MaCl* 6 *δὲ* om *HV* *δὴ Ma* | *διαφόνου M* 7 *δὴ* Mor *δὲ HVVaVi* om *LaBMMaCl* Plan Macar | *τῶν* ante *κακῶν Cl* et in marg *La* 8 *ἔχοι ὃ* scripsi *ἔχοι* (*ἔχοιμι Va*) *τὸ* libri Re *ἔχοιτο* Mor | *ἄλλο* ante *ὃ Vi* | *ἥ γε Ma* sed *εἴ* supra *ἥ* m^3 10 *ἐκπολεμῶσα VaMViMa* sed in hoc *ω* in *ου* corr m^3, *Cl* | *κατ᾽ ἀλλήλων τὰ φίλτατα HVVa* Re 12 *ὦ* — 13 *θρῆνον* citat Plan l. l. | *μετέβαλλον HVVaLa* 15 *κατὰ* inserui ex *HVVaLa* sed in hoc in marg, *BMaCl* om *MVi* edd 16 *οἶδ᾽ Ma* sed *οι* in ras m^3 *εἶδ᾽ Cl* | *ἂν* in ras La^2 17 *καὶ προκινδυνεύειν ἐθέλουσιν* om Mor 18 *οἱ* ante *ἄνθρωποι Vi* | *ἂν* ante *ἔχωσι MaCl* et in marg *La* | *ἔχουσι HV*

κας καὶ διωρισμένους τοὺς παῖδας καὶ πατέρες γνησίως καὶ σύνοικοι καλῶνται. 24. *πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν ἔξω πολεμίους ὅπως ἀμυνώμεθα, πάντα κινεῖν καὶ χρήματα διδόναι καὶ σωμάτων ὑπερορᾶν, τοὺς δ' ἐν μέσῃ τῇ πόλει τὰ τῶν πολεμίων ποιοῦντας τοσούτῳ δεινοτέρους ὅσῳ λανθάνοντας οὐδ' ἂν φυλάξασθαι δύναιτό τις, τοὺς δὲ τοιούτους εἴ τις καταλαβὼν ἀμύνοιτο, δικαστήριον ὁρᾶν καὶ κατηγόρου πειρᾶσθαι, ὥσπερ ἐγκαλούμενον, ὅτι, τὸ ἐφ' ἑαυτῷ, φυλάττει μὲν τὴν σωφροσύνην τῇ πόλει οὐ μόνον τοὺς νῦν ὄντας, ἀλλὰ καὶ τοὺς μέλλοντας ἀσελγεῖς προαναστέλλων τῷ παραδείγματι, ἀπαλλάττει δὲ καὶ αὑτὸν ὀνείδους συνεῖναι τοῖς τοιούτοις εἶναι δόξας οὐκ ἀνεκτόν, ἤδη δὲ καὶ τοὺς πεπονθότας αὐτοὺς εὐεργετεῖ ἐπονειδίστου βίου πέρας αὐτοῖς ἐπιθεὶς καὶ τῆς ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίας ἀναισθήτους ποιῶν;* 25. *ἂν δ' ἄρα τις αὐτοῖς ποτε αἴσθησίς τε καὶ μεταμέλεια τοῦ τολμήματος γίνηται, καὶ τῷ βάρει τῆς διαβολῆς ὁ θάνατος τῆς ζωῆς αἱρετώτερος. τίς γὰρ ἐν | τῇ* R IV 122

---

11 cf. p. 356, 11

---

1 *διωρισμένους*] *ἐγνωσμένους καὶ κεχωρισμένους* suprascr *M*^{y}

---

2 *καλοῦνται HV* *καλοῖντο La* sed *οῖντο* in ras m^2, *Ma* sed *ῶν* supra *οιν* m^2, *Cl* 6 *τοσοῦτο Cl* | *ὅσον LaMaCl* 8 *καὶ* om *V* 9 *ἐγκαλούμενος Ma* sed *νος* in ras m^3 10 *τὴν σωφροσύνην τῇ πόλει* reposui e libris *τῇ σωφροσύνῃ τὴν πόλιν* edd 12 *αὑτὸν* scripsi e *VaViMa* sed in hoc ʽ e ʼ corr m^3 *αὐτὸν* reliqui libri edd 14 *πεποιθότας* Mor 15 voce *ἐπονειδίστου* rursus inc man. saec. X fol 54 in *La* 16 *ἂν* — 19 *αἱρετώτερος* om *LaMViMaCl* Mor 17 *δ'* om *VaB* | *τίς HB* *τὶς Va* | *ποτὲ αὐτοῖς Va* | *αὐτοῖς* om *B* 18 *γίνηται* scripsi *γίνοιτο HVVa* Re *γένοιτο B* 19 *τῆς ζωῆς* om *B*

πόλει τούτους ἰδὼν οὐκ ἀγανακτήσει; καὶ ὁ μὲν ⟨ἂν⟩ ἀποστραφείη τὴν θέαν, ὁ δὲ τοῖς ἀγνοοῦσι δεικνὺς ἐπ' αὐτοῖς ἐνέγκοι τὴν γλῶτταν ἐκεῖνα δήπου λέγων· ἥδε τοῦ δεῖνος ἡ σωφρονεῖν οὐκ ἐπισταμένη, ἡ Ἀγαμέμνονος, φήσει, σύνοικος, τυχὸν γὰρ ἐκ τῶν ἡμετέρων κακῶν τὸ παράδειγμα, ἡ παριδοῦσα τοὺς παῖδας, ἡ ἀνελοῦσα τὸν Ἀγαμέμνονα ὄντος Ὀρέστου παιδός, ὦ θεοί, καὶ παρορῶντος τὰ πεπραγμένα. ταῦτα λέγοντος οὐκ ἂν ἕλοιτό τις ἀποθανεῖν πολλάκις ἢ τούτων ἀκούειν; οὐκ ἂν εὔξαιτο τὴν γῆν αὐτῷ διαστῆναι; τοιούτων ἀπήλλαξα συμφορῶν ἐμαυτὸν ὁμοῦ καὶ τὴν πατρίδα καὶ τὴν ἡνίκα ἐσωφρόνει μητέρα.

26. Ἀλλὰ δίκαιος ἦν, φησίν, Ἀγαμέμνων ταῦτα παθεῖν αἰτούσῃ τῇ Ἀρτέμιδι τὴν Ἰφιγένειαν ἐπιδοὺς καὶ περὶ τὴν Τροίαν βοῶν ὡς τὴν Χρύσου παῖδα προτέραν ἄγει τῆς Κλυταιμνήστρας καί, ἐπειδὴ τῆς Τροίας ἐπανῆλθε, παλλακὴν ἄγων τὴν Κασάνδραν ἐφ' ὕβρει τῆς γυναικός. 27. ἔδει καὶ τοῦτο προστεθῆναι ταῖς Ἀγαμέμνονος συμφοραῖς καὶ πικροτέραν γενέσθαι τοῦ πάθους τὴν

---

11 cf. ad t. II 328, 20; t. III 215, 14 16 Il. α 113. Aesch. Ag. 1393 19 Aesch. Ag. 1395

---

1 ἂν inserui om libri edd 3 αὐτοὺς? | γλῶτταν scripsi ex *HVaBMaCl* γλῶσσαν *VLaMVi* edd 4 ἡ δὲ *Cl* | ἡ reposui ex *HVaLaMaCl* ἢ reliqui libri edd 5 φύσει *Cl* et e Mon. 96 Iacobs Ach T 997 | τυχὼν *Cl* 8 ὦ θεοὶ ὀρέστου παιδὸς *MVi* 10 πολλάκις *Ma* sed άκις in ras m[3] πολλῶν *Cl* | ἀκούειν *Ma* sed γρ ἀκούων in marg m[2] 11 γυναῖκα *Cl* | αὐτῷ scripsi τῷ *Cl* αὐτῷ reliqui libri edd | τούτων *HV* 14 ὁ ante ἀγαμέμνων *B* | τοῦτο *MVi* 15 τε ante ἀρτέμιδι *B* 16 περὶ scripsi ex *HVVaLaMaCl* παρὰ *BMVi* edd 17 ποτέραν *H* | ἄγοι *Vi Ma* 18 ἐπειδὰν Re | ἐπανῆλθεν *Va* 19 ἐπὶ *Ma*

τοῦ κατηγόρου φωνήν. ἀφαιρεῖται γὰρ τηλικαῦτα δυστυχοῦντα καὶ τὸ δοκεῖν ἀδίκως αὐτὸν πεπονθέναι καὶ ἐπιχαίρει κειμένῳ καὶ γίνεται μετ' Αἰγίσθου τῇ γνώμῃ. 28. ἀλλ' οὐ πείσει σωφρονοῦντας, οἶμαι, δικαστὰς ἀδίκοις λόγοις θαρρῶν. δῶμεν γάρ, πρὸς Ἀπόλλωνος, εἰ δοκεῖ, ἡμαρτηκέναι τὸν πατέρα καὶ τοσοῦτον αὐτῷ περιεῖναι δυνάμεως ὡς αἰτοῦσι τοῖς κρείττοσιν ἀντιλέγειν ἐξεῖναι καὶ μὴ τῇ τῶν θεῶν ὑπηρετῆσαι βουλῇ, ἀλλ' ἑκόντα καὶ καθ' αὑτὸν ἐπιδοῦναι τὴν θυγατέρα ἣν ἔτικτεν, ὦ θεοί, καὶ παῖδα προσεῖπε, καὶ προσαγαγεῖν τῷ βωμῷ καὶ πρὸς σφαγὴν ἐπιθεῖναι τὸ ξίφος. ἔστω δὴ ταῦτα καὶ τὰ ἐντεῦθεν σκοπῶμεν. 29. τί οὖν ἔδει τὴν μητέρα ἀνθ' ὧν ἐνεκάλει μείζοσι περιπεπτωκέναι ταῖς ἀτοπίαις ὥσπερ δεινοτέροις κακοῖς τὰ προλαβόντα διορθουμένην; καὶ τίς ὕβρεώς τινα κρίνων καὶ διορθοῦσθαι | βουλόμενος τοῦτον αὐτὸς τοῦ R IV 123 λοιποῦ τὸν προσιόντα πάντα ῥαδίως πατάξει; τίς δὲ κλοπῆς κατηγορῶν φόνου κοινωνεῖν αὐτὸς ἂν ἐθέλοι; ἀλλ' οὐδὲ μοιχείαν τις ἐπάγων ἑτέρῳ καὶ τοῦτον τι-

11 cf. t. I 316, 2; IV 492, 4; Rel. acad. Berol. 1885, 917
13 Eur. Or. 576 sq.

1 τοῦ om *M* 2 καὶ om *M* | αὐτὸν ἀδίκως Mor 3 ἐπιχαίρειν *B* | γίγνεται *M* 7 „*malim* ὥστ'" Re 8 τῶν om *M* | ὑπηρετῆσαι scripsi ὑπηρετεῖσθαι (ὑπηρετῆσθαι *La*) libri edd 9 ἑαυτὸν *B* 10 ἔτεκεν *HVVa* | παῖδα om *Cl* inser *Ma*² παῖδα ⟨πρώτην⟩ coni Porson Adv 255 ed Lips ex Eur. Iph. A. 1229 11 προσαγαγεῖν scripsi προσάγειν libri edd 12 ἐνταῦθα *B* 15 προσλαβόντα Mor signum interrogationis reposui e libris om edd | τίς *Ma* sed ίς in ras m³ 16 διορθοῦσθαι βουλόμενος] διορθούμενος *Va* | τουλοιποῦ *VaBViMa* sed in hoc e τοῦ λοιποῦ corr 17 „*malim* πατάξειε" Re obloquitur Iacobs Lect 95 | τίς *Ma* sed ίς in ras m³ τῆς *Cl* | δὲ om *HV* 18 φόνος *Cl* φωρίου M. Schmidt Philol. X 612 | ἂν αὐτὸς *MCl* | ἐθέλοι (η supra οι) *Va* θέλοι *La* 19 ἐπάγων τίς *B* | τίς *HVaBMViMaCl*

μωρεῖσθαι νομίζων ἐπὶ πολλαῖς τοιαύταις αὐτὸς ἂν ἁλίσκοιτο. 30. πῶς οὖν κακώσεως ἡ μήτηρ ἢ καὶ ὕβρεως κρίνειν ἔχουσα τὸν πατέρα αὐτὴ μᾶλλον τὰ μὴ προσήκοντα διεπράττετο; οὕτω γὰρ εὔφημον ἴσως εἰπεῖν. πῶς δὲ μιᾶς φειδομένη παιδός, οἷα μήτηρ ἀγαθή, τοὺς ἄλλους ᾔσχυνε παῖδας; εἰ γὰρ ἐγκαλεῖν εἶχεν Ἀγαμέμνονι καὶ οἷα πέπονθε λέγειν, ἀλλ' οὐ δήπου καὶ ἡμεῖς αὐτὴν ἠδικοῦμεν ὥστε τῆς τοσαύτης ἀπολαύειν αἰσχύνης καὶ μηδ' ἐλευθέρως ἔχειν εἰς τοὺς ἀπαντῶντας ὁρᾶν. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἥτις ὑπὲρ παιδὸς ἀμύνασθαι βουλομένη τὸν ἀδικοῦντα τραπείη πρὸς μοιχείαν, ἐξ ἧς ἡ τῶν παίδων γονὴ διαφθείρεται. 31. καλήν γε παρὰ τῆς μητρὸς Ἰφιγένεια τὴν χάριν ἔσχεν, εἰ ὑπὲρ ὧν συγγινώσκειν ἐχρῆν τῷ πατρὶ πρὸς ἀνάγκην αὐτὴν ἐπιδόντι, ἐκεῖνον μὲν ἀνεῖλεν οἰκτρῶς, δέον δὲ θρηνεῖν ἀεὶ τὴν ἀπελθοῦσαν, ὁπωσοῦν ᾤχετο, καὶ τοῦ γάμου λοιπὸν μηδὲ προσίεσθαι τοὔνομα τοῦτο μὲν οὐκ ἐποίει, ἀλλ' ἅπερ ἐγὼ μὲν οὐκ ἂν εἴποιμι,

---

1 cf. p. 402, 12

---

1 νομίζων *Ma* sed γρ θέλων in marg m[2] θέλων *M* | αὐτὸς om *HVVa* 2 ἢ om *MaCl* 4 διεπράττετο *Vi* sed διεπράξατο in marg m[2] 6 εἶχεν in ras *V*[2] εἶ *H* 7 Ἀγαμέμνονα Mor 8 ἀδικοῦμεν *HVVaLa* | τῆς inserui e *VVaLaViMaCl* om *HBM* edd | αἰσχύνης ἀπολαύειν *MaCl* 9 μὴ δ' *VaLa ViMaCl* μὴ δὲ *B* | 'λευθέρως *B* ἐλευθέρας *La* sed ας ex ως ras corr *s* 10 γὰρ ἔστιν scripsi e *VaCl* γάρ ἐστιν reliqui libri edd | εἴ τις *MVi* Re 11 ἀμύνεσθαι *MaCl* 12 πρὸς] τὴν Mor 13 παρὰ *La* sed α bis in ras *f*, *Vi* sed περὶ in marg m[2], *Ma* sed ex ὑπὲρ corr m[2], *Cl* περὶ *HV* sed in hoc in παρὰ corr m[2], *Va* 14 εἶχεν *HV* 15 ἐπιδιδόντι *B* | μὲν om *MaCl* 16 ἀεὶ θρηνεῖν *MVi* Mor | ὁπωσοῦν scripsi ὅπως ἂν libri edd sed „*malim* ὅπως ἀπώλετο *ob miserabile mortis genus quo sublata esset*" Re 17 μὴ δὲ *HVaBViMaCl* 18 μὲν (2) om *MaCl*

ἄλλος δέ τις ἴσως, ὡς δι' ἐκείνην οὐκ ἐσωφρόνει. ἆρ' οὖν ἀχθομένης ταῦτα καὶ ζητούσης τὴν παῖδα;

32. *Τί οὖν αἰσχροῖς πράγμασιν αἰτίας οὐ προσηκούσας ἁρμόζεις καὶ τὸν σύλλογον ἡμῖν αὖθις τὸν ἐπὶ Τροίας προφέρεις καὶ τὴν αἰχμάλωτον κόρην; ἐχρῆν γὰρ ἐκεῖνο δήπουθεν ἐνθυμεῖσθαι, ὡς θυμοῦ καιρὸς ἦν ἐκεῖνος καὶ φιλονεικίας οἱ λόγοι, | ὅτε* R IV 124 *τις καὶ τῶν ἄγαν ἐν λόγοις μετρίων ἔφθασέ τι τῶν μὴ προσηκόντων εἰπὼν καί τι προήκατο ῥῆμα παρὰ γνώμην οὕτω κελεύοντος τοῦ θυμοῦ, ὅς γε καὶ τὸ σμικρὸν ἄγαν ἐπαίρει καὶ τὰ μεγάλα ποιεῖ τοῖς λόγοις ἐλάττω.* 33. *οὐ μὴν ἀλλ' εἰ κἀκεῖνά τις ἐπ' ἀληθείας σκοπεῖν ἐθέλοι, εὑρήσει πρὸς ἐπαίνου μᾶλλον ἢ λοιδορίας. ἴστε γὰρ δήπου πάντες ὡς τὰ τῶν ἀγαθῶν φαῦλα καὶ μικρὰ τῇ τῶν μειζόνων ἀντεξετάσει λαμπρότερα δείκνυται. καὶ διὰ τοῦτο πάντες ἄνθρωποι πρὸς τὰς*

5 Il. α 54 12 Dem. p. 323, 25; 384, 27; 538, 4

1 *ἄλλο Ma* | *ὡς* om *Va* 2 *τὸν* Mor | signum interrogationis posui ex *HVaLaViMa* colon reliqui libri edd 3 *αἰσχροῖς Ma* sed *αἰσχρ* in ras m^3 4 *ἁρμόζεις* reposui e libris *ἁρμόττεις* edd 5 *προσφέρεις HVa* sed in hoc *σ* eras, *LaCl* *φέρεις* Mor 6 *δὲ Ma* | *δήπουθεν ἐκεῖνο Va* | *δήπου MVi* 8 *τίς VaLaVi* | *ἄγων Vi* sed *ἄγαν* in marg m^2 | *λόγοις Ma* sed *λό* in ras m^3 9 *καί τι* scripsi e *V* sed *τι* in ras m^2 *καί μην HVa* *καὶ μὴ La* *καὶ BMViMaCl* edd | *προσήκατο La* sed *ο*(2) in ras *s* | *παρὰ Vi* sed *κατὰ* in marg m^2 *περὶ Va M* 10 *ὅς γε* scripsi auctore Iacobsio Lect 95 *ὅτε* libri edd sed „*malim ὃς aut ὅστις*“ Re 11 *μικρὸν M* | *τοῖς λόγοις V* sed *οῖς λόγοις* in ras 3 litt m^2 *λόγοις* om *H* 12 *ἐλάττωσιν Va* sed *ἐλάττω* in ras et *σιν* del m^2 | *κἀκεῖνα τίς HVaLaVi MaCl* | *ἀληθείας* reposui e libris *ἀληθείᾳ* edd 13 *λόγοις* ante *ἐθέλοι HV* sed in hoc del, *Va* sed eras | *ἐθέλει VaCl* | *ἔπαινον HVVa* 14 *ἴστε* — 16 *δείκνυται* citat floril. Neap. fol 285, — 394, 7 *κόσμον* Plan fol 109 | *τὰ* — 394, 7 *κόσμον* citat Macar fol 84^v 15 *σμικρὰ M* 16 *δείκνυνται HV* *γίνεται Ma* *γίνονται Cl* | *δια τοῦτο H* *διατοῦτο VaBViMa*

ὑπερβολὰς τῶν πραγμάτων χωροῦσι τῇ πρὸς ἐκεῖνα παραθέσει τὰ παρόντα σεμνύνειν βουλόμενοι. οἷον πᾶς τις ἂν εἴποι τὸν τεταγμένον τῷ βίῳ καὶ σώφρονα καὶ βδελυττόμενον τοὺς αἰσχροὺς ὥσπερ τινὰ τῶν θεῶν ἐν ἀνθρώποις ἐνδιαιτᾶσθαι οὔτε τούτους καθυβρίζων, εἰ μὴ καὶ μᾶλλον σέβοιτο, κἀκείνῳ συμπληρῶν διὰ τῆς πρὸς τούτους ὁμοιότητος τὸν δέοντα κόσμον. 34. ὁ τοίνυν ἐμὸς πατὴρ τὴν Χρύσου παῖδα κοσμεῖν τῷ λόγῳ ζητῶν γυναικὸς ἀρίστης παράδειγμα τὴν καλὴν μητέρα προὐβάλλετο μὴ χείρω ταύτης ἐκείνην εἰπών, ὥστε καὶ σεμνοτέραν ἐπὶ τῶν Ἑλλήνων ἐποίει. εἰ γὰρ τὴν ὁμοίαν οὕτως ἐθαύμαζε, πόσῳ γε μᾶλλον ἐκείνην πρὸς ἣν ἀπεικάζετο. εἰ δὲ δὴ καὶ πρὸς ὕβριν ἦσαν οἱ λόγοι, δῶμεν γάρ, δῶμεν τούτου χάριν εἰρῆσθαι, ἆρα συμβαλεῖν ἄξιον ἀντὶ τῶν ψιλῶν ἐκείνων ῥημάτων ὅσα πάθη τὴν Ἀγαμέμνονος οἰκίαν ἐπλήρου;

35. Θαυμάζω δὲ τοῦ κατηγόρου μὴ συνιέντος ὅτι
R IV 125 διὰ τούτων | τῶν λόγων μείζω τῇ μητρὶ τὴν κατηγορίαν προσάπτει. τίς γὰρ γυνὴ σωφρονοῦσα τοσ-

9 Il. α 113 cf. p. 390, 16

2 πᾶς *Ma* sed ᾶς in ras m³ πῶς Plan 3 τις *Ma* sed ις in ras m³ 4 αἰσχροὺς *Vi* sed ἐχθροὺς in marg m² ἐχθροὺς *Ma* sed αἰσχροὺς suprascr m³, *Cl* 5 ἐν inserui e *VaLaBM ViMaCl* Plan Macar om *HV* edd | τοῖς ante ἀνθρώποις *MVi* | διαιτᾶσθαι *HVB* Plan Macar | οὔτε *V* sed ου in ras m² 6 μὴ om *Cl* inser *Ma*³ | κἀκείνους *Va* κἀκεῖνο *Vi* κἀκεῖνα Plan 7 ὁμοιότητος om *Cl* inser *Ma*³ 8 τοῦ ante Χρύσου edd delevi coll p. 390, 16; 395, 14 9 „*aut ante* ζητῶν *deest* βουλόμενος, *aut pone* ζητῶν *addendum est sive* ὡς *sive* εἰς“ Re | μητέρα *Ma* sed γρ καὶ γυναῖκα suprascr m² 10 προὐβάλετο *HBM* | μὴ] οὐ *Ma* καὶ *Cl* οὐ μὴν Iacobs Lect 95 | ταύτην ἐκείνης *M* | „*circa* ὥστε *videtur aliquid deesse, e. c.* τοσούτου δεῖ“ Re 12 πόσῳ] τῷ *Ma* 13 δὴ om *B* δεῖ *Cl* 14 δῶμεν(2) *V* sed μεν suprascr m² | ἄρα *HVa* | συμβαλεῖν *B* sed συμ in lac m²

αύτης ἐστὶν ἀλαζονείας μεστὴ ὡς μηδ' ἂν ἑτέραν οἴεσθαί που κρείττω γενέσθαι, ἀλλὰ τοσοῦτον ἀγανακτεῖν, εἴ τις καλὴν ἑτέραν ἐξ ἴσου προσαγορεύει; πρέπων γὰρ γυναικὶ κόσμος οὐ τὸ κάλλος, ἀλλ' ἡ σωφροσύνη. περὶ ἧς ὁ πατὴρ οὐδένα πεποίηται λόγον, ἀλλ' ὥσπερ τι γέρας ἐξαίρετον ἀπέλιπε τῇ μητρί. τοῦτο γὰρ ᾤετο. οὐ γὰρ εἶπε σωφρονεστέραν ἐκείνην ἢ κατ' αὐτό γε τοῦτο παραπλησίαν, ἀλλ' ἐξ ὧν ἄν τις καὶ θεράπαιναν καὶ τὴν τυχοῦσαν ῥᾳδίως θαυμάζοι τὸν ἔπαινον ἐποιεῖτο ἰδέαν λέγων καὶ κάλλος καὶ ὅσα ταῖς χερσὶ διαπράξαιτο. 36. σὺ δὲ ὡς ἐν ἐπαίνου μέρει ζηλοτυποῦσαν ἡμῖν τὴν μητέρα πρὸς αἰχμαλώτους καὶ δυστυχεῖς ἀποφαίνεις νῦν μὲν τὴν Χρύσου, νῦν δὲ τὴν Πριάμου παῖδα προφέρων ὥσπερ ἐγκαλῶν τῷ πατρὶ ὅτι Τροίαν εἷλε καὶ λαφύρων μετείληφε Τρωικῶν. τοῦτο γὰρ δεῖγμα τῆς τῶν ἀγαθῶν ἀρετῆς αἰχμαλώτους ἄγειν καὶ θεραπαίνας τῶν λελυπηκότων τοὺς

12 cf. t. IV 134, 20

1 *ἀλαζονείας* reposui e libris *ἀλαζονίας* edd | *μὴ δ' HVa BViMaCl* 2 *που* scripsi ex *HVVaMaCl* *ποι La* sed *ου* suprascr *y*, *BMVi* edd 3 *ἑτέραν V* sed *τέραν* inser m² | *ἐξίσου VaLaMViMa* | *προσαγορεύοι MaCl* „*malim προσαγορεύῃ aut προσαγορεύοι*" Re, cui oblocutus est Iacobs Add 147 Lect 95 | *πρέπων — 5 σωφροσύνη* omissa *γὰρ* particula citat Macar fol 84ᵛ | *τρόπων H* 4 *γυναικὶ Ma* sed *αικὶ* in ras m³ *γυνῇ Cl* 5 *ὁ* om Re 6 *ὥσπερ τι* scripsi cum Iacobsio Lect 96 *ὥσπέρ τι* libri *ὥσπερ τὸ* edd 9 *ἂν* ante *καὶ La* | *καὶ τὴν τυχοῦσαν Vi* sed *κατὰ τὴν τύχην* in marg m² | *δυστυχοῦσαν* e Wolf Re | *θαυμάζοι* in marg *V²* *θαυμάζει HV* *θαυμάζῃ Va* om Mor 10 *ἰδίαν* Mor sed *εἰδυῖαν* coni 11 *διαπράξαιτο Vi* sed *ατο* suprascr m² | *ἐν* om *Vi* Mor sed hic inserendum coni 13 *τοῦ HVVa* 14 *τοῦ HV* | *προσφέρων La* *φέρων B* | *τῷ* om Re 15 *τὴν* ante *τροίαν B* | *εἴληφε M* *κατείληφε* Mor | *λαφύρων — τρωικῶν* citat Plan fol 105ʳ | *μετείληφε Vi* *μετείληχε La* sed *φ* supra *χ s*

παῖδας. οὑμὸς δὲ πατὴρ ἀντὶ τῶν ἀριστείων ἔγκλημα φέρει, καὶ ξίφη τοῦτον ἐδέξατο μετὰ τροπαίων ἐπανελθόντα. 37. *τίς τῶν ἀπὸ Τροίας Ἑλλήνων τοιούτων ἐπιβατηρίων ἀπήλαυσε χρόνῳ καὶ μόλις τὴν πατρίδα, τὸ γύναιον, τοὺς παῖδας τεθεαμένος; οὐκ ἔστιν οὐδείς. ἀλλ' οἱ μὲν ἄλλοι πανηγυρίζουσιν, αἱ μὲν γυναῖκες διὰ τοὺς ἄνδρας, διὰ δὲ τοὺς πατέρας οἱ παῖδες, καὶ πλείονος ἡδονῆς πρόφασιν τῶν λαφύρων ποιοῦνται τὸ*
R IV 126 *πλῆθος· ἡμεῖς δὲ μόνοι | ξίφει τὸν Ἀτρέως δεδέγμεθα.* 38. *οὕτως ἐθαυμάσαμεν ἐκεῖνον ἐπανελθόντα, καὶ εἰς μόνην ταύτην τὴν οἰκίαν τὰ τῆς Τροίας μετῆλθε κακά. εἰ γάρ τι καὶ τῶν λυπούντων ὁ πατὴρ ἐτύγχανε πράξας, οὐ συμβουλεύειν μᾶλλον ἐχρῆν; οὐ μεταπείθειν πειρᾶσθαι καὶ τῶν παίδων ἀναμιμνήσκειν; πάντως ἂν ἐπεκάμφθη καὶ οἶκτος αὐτὸν ὑπεισῆλθε τῶν λόγων καὶ μετεβέβλητο. νῦν δὲ πρότερον ἀνθ'*

2 Aesch. Eum. 592 4 Synes. ep. 57 p. 196 b. Et. M. s. v. *Βουτρωτός* p. 210, 23 16 cf. t. IV 605, 6 R

1 *οὑμὸς* scripsi cum Iacobsio Ach Tat 912 (e Mon. 96) *οὗμὸς Ma οὐμὸς HVVaLaCl ὁ ἐμὸς BMVi* edd | *ἀριστειῶν VaMViMa* sed in hoc in *ἀριστείων* corr m[3], *Cl* 2 *ἐδέξατο* scripsi cum Iacobsio Add 228 *ἐδέξαντο* libri edd | *τῶν* ante *τροπαίων MaCl* 3 *τῶν* om *Va* | *ἀπὸ Vi* sed *ἐπὶ* in marg m[2] 4 *ἀπήλαυσε* scripsi ex *HVVaLaBViMaCl* coll. p. 406, 14 et t. IV 168, 7 *ἀπέλαυσε M* edd 7 *τοῦτο* (1 et 2) Mor 8 *τὸ* ante *πλῆθος* posui ex *HVVaMaCl*, ante *τῶν LaBMVi* edd 9 *ἡμᾶς δὲ μόνον* Mor | *τὸν ἀτρέως ξίφει MVi* 11 *καὶ* — 12 *κακά* citat Plan fol 105 | *μόνην — οἰκίαν*] *τόνδε* Plan | *μόνον* Mor | *οἰκεῖαν V* | *τῆς Τροίας*] *τοῦδε* Plan 12 *τοι V* 15 *ἐπεκάφθη Vi* sed *καμ* in marg m[2] *ἐκάμφθη Va* | *αὐτὸν* om *Cl* inser *Ma*[3] | *εἰσῆλθε Ma* sed *ὑπ* antepos m[3], *Cl ὑπεισήει Va ὑπῆλθε „codex Parisinus“* (3018) teste Bastio Gregor. Corinth. p. 375 ed. Schaefer 16 *μεταβέβλητο Vi* | *πρότερον La* sed *οὐκ ἄπορον* suprascr *n πότερον Va* sed *γρ πρότερον* in marg m[2] *γρ οὐκ ἄπειρον* *πρῶτον Ma* sed *γρ πρότερον* suprascr m[2] | *ἀνθ' ὅτου* scripsi ex *HVLaBViMa ἀνθότου VaMCl* edd

ὅτου γέγονε ταῦτα. πρὶν γὰρ ἀφικέσθαι τὸν πατέρα καὶ τὴν αἰχμάλωτον ἄγειν ἀδήλου τοῦ μέλλοντος ὄντος Αἴγισθος ἦγεν ἡμῖν τὴν οἰκίαν καὶ πάντα ἦν αὐτὸς τῇ μητρί.

39. Ἀλλὰ κρίνειν ἔδει τὴν μητέρα καὶ δικαστηρίῳ παραδιδόναι. τοῦτο γὰρ καὶ τὸν θεὸν δηλοῦν τιμωρεῖν λέγοντα τῷ πατρί. ἔοικεν ὁ κατήγορος ἀντιλέγειν μόνον ἐσπουδακέναι καὶ πάντα λέγειν ἑτοίμως, εἰ δὲ δικαίως ἢ ἀδίκως, οὐ πάνυ φροντίζειν. νῦν μὲν γὰρ δι' αἰσχρᾶς ἀπολογίας ἐπειρᾶτο καλύπτειν τὰ πεπραγμένα, νῦν δὲ μόλις μετατίθεται καὶ τὴν αἰτίαν ὁμολογῶν ὧν εἰργάσμεθα περὶ τοῦ τρόπου τῆς τιμωρίας ἡμῖν ἀντιλέγει. 40. οὐ μὴν ἀλλ' ἐρέσθαι τοῦτον ἐναντίον ὑμῶν βούλομαι· εἰπέ, πρὸς Διός, πότερον ἐπ' ἀδήλοις ἐγκλήμασιν ἡ μήτηρ ἀνῄρηται; τοῦτο μὲν οὐκ ἂν εἴποι παρ' εἰδόσιν ὑμῖν. τοσοῦτον γὰρ δυστυχοῦμεν ὡς τὰς ἡμετέρας δυσπραγίας πᾶσιν ἐγνῶσθαι. τῶν γὰρ ἐκ τύχης ἐπισήμων, εἴθε δὲ τούτων οὐκ ἦμεν, καὶ τὰ πάθη πᾶσι κηρύττεται. 41. εἰ δὲ ὁμολογῶν τὰ ἐγκλήματα δικα-

---

2 *μέλλοντος Ma* sed *ἑλλον* in ras m³ *με La* 3 *ἡμῶν Ma* sed *ῖν* supra *ῶν* m³ | *ἐπὶ* ante *τὴν* inser M. Schmidt Philol. X 616 coll. Dem. p. 608, 15 7 *τιμωρεῖν δηλοῦν HV* 10 *γὰρ* om *Vi* 11 *καλύπτειν Vi* sed *κρύπτειν* in marg m² *κρύπτειν B* | *κατατίθεται Ma* sed *με* supra *κα* m³ 12 *αἰτίαν Vi* sed *ἀξίαν* in marg m² *ἀξίαν BMaCl* | *ὁμολογῶ H* 13 *τιμωρίας Vi* sed *πονηρίας* in marg m² 14 *ἔρεσθαι HVVaLaViMaCl* | *τούτους* Mor 16 *οὖν* ante *οὐκ La* 17 *τοσοῦτον* — 20 *κηρύττεται* citat Plan fol 105ʳ | *δυσπραγοῦμεν MVi* sed in hoc *δυστυχοῦμεν* in marg m², Re 18 *τῶν* — 20 *κηρύττεται* particula *γὰρ* omissa citat Macar fol 84ᵛ 19 *ἡμεῖς* post *ἐπισήμων M* et inser *Ma*³ Re om reliqui libri sed in lac 11—12 litt *Vi*, Plan Macar Mor delevi | *εἴθε* — *ἦμεν* om Macar 20 *δικαστῶν* om *Cl* inser *Ma*³

στῶν φησι δεῖν ἡμᾶς ἀναμεμενηκέναι ψῆφον, οὐ πάνυ μοι δοκεῖ γινώσκειν τίνος εἵνεκα τὴν ἀρχὴν δικαστήρια συνεκρότησαν ἄνθρωποι. οὐχ ἵνα παρελθόντες τὰ πᾶσι δῆλα κατηγορῶμεν, οὐδεὶς γὰρ δικαστὴς ἅπερ ἐπίσταται R IV 127 *παρ' ἑτέρου λέγοντος μανθάνειν ἐθέλει, ἀλλ'* | *ἵνα τὰ μὴ φανερὰ τῶν ἐγκλημάτων τοῖς ἀγνοοῦσι διὰ τῶν ἐλέγχων γίνηται δῆλα. τὰ μὲν γὰρ ἀφανῆ κρίσιν ἀπαιτεῖ, ἐπὶ δὲ τοῖς προδήλοις μόνη λείπεται τιμωρία.* 42. *εἰ δὲ δὴ καὶ γνοὺς Αἴγισθος τὸ μέλλον κατ' αὐτῶν δικαστήριον καὶ πείρᾳ τὴν τῆς μητρὸς ἐπιστάμενος γνώμην, ὡς ἀναιρεθέντος τοῦ συνοίκου ῥᾳδίως ἤνεγκε καὶ ὡς εἰς ὄνειδος αὐτοῖς ὁ ἐξ Ἀγαμέμνονος παῖς ἐσωζόμην, εἰ ταῦτα λογισάμενος ἔδεισέ τε τὸ μέλλον κἀμὲ προαναρπάζειν ἐγνώκει, οὐκ ἂν προσέθηκε τῷ πατρί, καὶ ἡ μήτηρ ἐπῄνεσεν ἴσως, καὶ τοὐμὸν δικαστήριον ὁ παρ' ἐκείνων ἔφθασε φόνος;* 43. *ἀλλὰ γὰρ τούτων μὲν ἔστω μηδέν, ἔδει δέ με τὴν μητέρα παράγειν εἰς δικαστήριον· τί οὖν ἐχρῆν παρελθόντα λέγειν, ἐπειδή με καὶ κηρύττειν ἀπῄτεις τὰς ἐμαυτοῦ*

---

3 Schol. ad Hermog. rhet. ed. Walz Rhet. t. IV p. 14, 1
14 Eur. Or. 581 sq.

---

1 *δεῖν φησιν MaCl* | *φησι* in marg inser *Va²* | *ἀναμεμενηκέναι Ma* sed *μεμεν* in ras m³ *ἀναβεβηκέναι Cl* *ἀναμεμνηκέναι V* 2 *δοκεῖν Vi* sed *δοκεῖ* in marg m² | *ἕνεκα VaMVi* cf. t. I 269, 17 | *δικαστήριον Ma* 3 *οἱ ἄνθρωποι MaCl* 5 *ἐθέλοι MaCl* 6 *τὰ* inser *La* ſ 7 *δῆλα γένηται Ma* | *γένηται Cl* *γίνεται H* *γένηται Va* (ι suprascr.) | *μὲν* om *MaCl* 9 *μὴ Cl* 12 *ἤνεγκεν MaCl* | *εἰς* om *VaB* inser *Vi²* | *αὐτοῖς ὁ* om *B* 13 *τε* om *HVVa* sed inser *V²Va²* 14 *προσαναρπάζειν Ma* sed *σ* del m³ *προσαρπάζειν Vi* 15 *ἡ* om *Cl* inser *Ma³* | *ἴσως ἐπῄνεσε HVVa* Re 16 *ὁ* scripsi ex *HLaViMaCl* ὃ reliqui libri edd | *ἐκείνου HVVa* | *νόμος Ma* sed *φόνος* suprascr m³, *Cl* | signum interrogationis posui e *LaMVi*, colon reliqui libri edd 17 *τὸν πατέρα Cl* 18 *τοίνυν HVa* 19 *κρύπτειν Vi* sed *κηρύττειν* in marg m²

συμφοράς, ὥσπερ καὶ νῦν οὐδὲ τὴν σιωπὴν ἡμῖν εἰς παραμυθίαν ἀφῆκας, ἀλλὰ καὶ ταύτην ἡμᾶς ἀφείλου μετὰ τῆς τύχης; οὐκοῦν ἐκεῖνα τότε λέγειν ἐχρῆν; ἄνδρες δικασταί, τὰ δεινότατα τῶν ἐν ἀνθρώποις, μοιχεία καὶ φόνος ἐμφύλιος, τὴν ἡμετέραν οἰκίαν κατείληφε. κεῖται μὲν Ἀγαμέμνων ἔνδον ἀνῃρημένος, ὃ μήποτ' ἂν ἤλπισεν ἐκεῖνος παθεῖν, ἡ δὲ μήτηρ, ἀλλὰ τοῦτο μὲν ἴσως αἰσχυνθεὶς ἐσιώπων. 44. *καὶ τίς οὐκ ἂν ἀπήντησέ μοι τῶν δικαστῶν; ὡς ἀγνοοῦσιν ἡμῖν, ὦ παῖ, διαλέγῃ; ἔργων, οὐ λόγων σοι νῦν ὁ καιρός. ἀλλ', ὡς ἔοικεν, ὀκνεῖς τὴν πρᾶξιν καὶ παρορᾷς τὴν μητέρα καὶ πρόσχημά σοι τῆς δειλίας τὸ δικαστήριον. λογίσασθε, πρὸς Διός, τίς ἂν ἐγενόμην τούτων ἀκούων. οὐκ ἂν εὐθὺς κατέδυν καὶ ἰδεῖν εἰς ἀνθρώπους οὐκ ἂν ἠνεσχόμην;* 45. *ὅθεν οἶμαι τὸν Ἀπόλλω καὶ τὰ λανθάνοντα, μήτι γε τὰ πᾶσι πρόδηλα, καλῶς ἐπιστάμενον οὐχ ὡς ἀδήλου τῆς πράξεως οὔσης κατηγορεῖν ὑποθέσθαι, ἀλλ' ἀμφότερα βουλόμενον, ὅπως*

---

5 Pind. Pyth. II 32

---

19 *ὑποθέσθαι*] *συμβουλεῦσαι* suprascr *My*

---

3 *ἐκεῖνα*] *καὶ B* | *λέγειν* in marg *Vi*[2] | *ἐχρῆν* in ras *Ma*[3] 6 *καὶ* ante *κεῖται M* 7 *ἀνῃρημένος ἔνδον Va* | *μήποτε Vi* 9 *ἂν* om *Ma* | *ἀπήτησέ HV* | *τῶν* om *B* 10 *διαλέγη La* sed *η* in ras *n* | signum interrogationis posui e *LaM* colon reliqui libri edd 11 *οὐ*] *καὶ H* | *σοι Ma* sed *μοι* suprascr m[2] om *HV* | *ὁ* om *HV* 12 *ἔοικε κινεῖς MaCl* 14 *τί* M. Schmidt Philol. X 617 cf. p. 387, 10 15 *ἀνθρώπους* scripsi ex *HVVa* sed in hoc *γρ οὐρανοὺς* in marg m[2], *LaBCl* cum Iacobsio Ach T 811 et Philostr 571 (e Mon. 96) *οὐρανοὺς MVi* sed in hoc *ἀνθρώπους* in marg m[2], *Ma* edd 16 *καὶ* ante *τὸν ViMa* sed in hoc del m[3], *Cl* 17 *καὶ* om *Vi* | *μήτοι HVMaCl* | *κακῶς* Re 18 *τῆς* om *V*

οἵ τε ἀσεβοῦντες δίκην ὑπόσχοιεν καὶ τοῦτο πρὸς θεραπείαν ἔσται μᾶλλον τῷ πεπονθότι τὸ τοὺς οἰκειοτάτους εἶναι τοὺς αὐτῷ τιμωροῦντας, ἐμὲ τὸν ἐκεί- R IV 128 *νου παῖδα | καλεῖν πρὸς τὴν πρᾶξιν καὶ τὴν κατὰ τῶν ἀδικούντων ἐνδείκνυσθαι τιμωρίαν. εἰ γὰρ δίδως τὸν Πύθιον εἰδέναι τὰ πεπραγμένα, τὸ δὲ δικαστήριον ἑκατέρῳ τῶν κρινομένων ἄδηλον ἔχει τὸ πέρας, πῶς ἂν ὁμολογουμένων ἐγκλημάτων ἄδηλον τὴν ἐκ τοῦ δικαστηρίου παρέσχετο τιμωρίαν;* 46. *τί δ' ἂν ἐκώλυσε τὸν θεὸν εἰδότα με τῷ χρησμῷ μέλλειν, ὡς αὐτός που φῄς, ἀπατᾶσθαι καὶ τὰ δεινότατα πράττειν ἀντὶ τοῦ τιμωρεῖν τὸ δικάζεσθαι μετειληφότα σαφῶς οὑτωσὶ λέγειν· κρῖνον τὴν μητέρα καὶ κατηγόρει καὶ τὴν ἐκ τῶν δικαζόντων ἀνάμενε ψῆφον; οὐ γὰρ ἂν εἰδὼς τὸ μέλλον παρεῖδεν ἄτοπον πρᾶξιν ὥσπερ σαφεστέρου φειδόμενος ῥήματος καὶ ταῦτα μέλλων αὐτὸς τῶν ἐσομένων ἀποφέρεσθαι τὴν αἰτίαν. παντὸς γὰρ πράγματος ὁ τὴν πρόφασιν παρασχὼν οὗτος, οἶμαι, τῶν ἐκβησομένων αἴτιος ἂν εἴη δικαίως.* 47. *πῶς οὖν*

---

2 cf. t. II 326, 12 sq. 10 Aesch. Eum. 584

---

2 *μᾶλλον ἔσται Ma* 3 *αὐτῶ Ma* 5 *ἐνδείκνυσθαι La* sed *ἐδέξασθαι* suprascr *s* *δέξασθαι Ma* sed *ἐνδείξασθαι* in marg, *Cl* sed *ἐνδείκνυσθαι* in marg 7 *ἑκατέρῳ* scripsi e *Ma* auctore Re („*malim ἑκατέρῳ*") *ἑκατέρων* reliqui libri edd | *γινομένων Ma* sed *κρι* supra *γι* m³, *Cl* 8 *τοῦ* om *Cl* inser *Ma*³ 11 *αὐτοῦ BLa* sed in hoc *τοῦ* in *τὸς* corr *f*, *Vi* | *φὴς H VaCl*Mor *φῆς La* 12 *ἀντὶ — μετειληφότα* in formam mutat *ἀντὶ τοῦδε μετείληφε τόδε* Plan fol 105 | *δικάζεσθαι τὸ τιμωρεῖν* Re 13 *κρῖνον* scripsi e *LaCl* *κρίνον* reliqui libri edd cf. t. III 186, 16; IV 143, 3 14 *ἐκ* om *M* 15 *εἰδὼς ἂν M* Mor 17 *παντὸς — 19 δικαίως* citat Macar fol 84ᵛ 18 *γὰρ*] *οἶμαι* Macar | *οὕτως Cl* | *ἂν* ante *οἶμαι MaCl* | *οἶμαι Ma* sed *οἰ* in ras m³ 19 *ἐκβεβησομένων HV*

δέον τὸ τοῦ πατρὸς πάθος ὡς ἐνῆν μάλιστα θεραπεύειν ἕτερον ἂν ἀδίκως παρεῖδε γενέσθαι ὥσπερ ἐφηδόμενος τῇ συνεχείᾳ τῶν φόνων; οὔπω, πρὸς Διός, λογισμὸν λαμβάνεις ὡς τοῦ θεοῦ μᾶλλον κατηγορεῖς καὶ μονονουχὶ βοᾷς, ἀλλ' οὐκ ἐμὸς ὁ λόγος, ὦ Πύθιε, ὡς ἠδίκησεν Ἀπόλλων, ὡς ἐναγῆ πεποίηκε φόνον, ὡς αἴτιος κακῶν τῇ μητρὶ καὶ μετ' ἐκείνην ἐμοί;

48. *Οὐκοῦν ταύτην προβάλλομαι μεγίστην ἀπολογίαν, ὥς γε μετ' ἐκείνου κρίνομαι τήμερον καὶ λεγόμενος ἡμαρτηκέναι κοινωνὸν ἔχω τῶν πλημμελημάτων τὸν Πύθιον. τοῦτον σύμβουλον ἔχων οὔτε δικαστηρίοις ἐνοχλεῖν προσῆκον ἡγούμην οὔτε δήμου πρόσταγμα μένειν, ὡς ἂν ὁ κατήγορος εἴποι. εἰ γὰρ μὴ παῖς ἦν Ἀγαμέμνονος μηδὲ προσήκων κατὰ μηδὲν τῷ πεπτωκότι μηδὲ περὶ τῆς μητρὸς παντὸς ἂν οἰκειότερον ἐβουλευσάμην, ἀλλὰ ξένος ποθὲν ἥκων, καί με δόξαν | αὐτῷ πρὸς τὴν πρᾶξιν Ἀπόλλων ἐκάλει, οὐκ* R IV 129 *ἔδει δήπουθεν τοῖς τοῦ θεοῦ πειθαρχεῖν ἐπιτάγμασιν,*

---

4 Eur. Or. 28. 594 sq.

---

1 *ἐνῆν*] *νῦν HV* | *θεραπεύσειν Ma* sed *σ* del m[3], *Cl* 2 *ἐφηδόμενος V* sed *η* ex *ει* corr m[2] 3 num *ἐπὶ λογισμὸν* ut p. 409, 17? at cf. p. 407, 1 6 *ἀπόλλω La* 7 *αἴτιος Ma* sed *αἴτι* in ras m[3] | *ἐκείνην Ma* sed *σ* supra *ν* m[3] 9 *ὅσγε H VVaMVi* Re | *τήμερον* scripsi ex *HVVaLaMaCl* *σήμερον BMVi* edd 10 *πλημελημάτων VaMViMa* 11 *οὔτε* scripsi *οὐ τὸ* libri edd | *δικαστηρίοις* reposui e *VVaLaBMViMa Cl* *δικαστήριον H* edd 12 *ἐνοχλοῦν V* | *προσήκειν* (ο͂ν supra) *Ma* *προσήκειν Cl* | *οὐδὲ Va* *εἰ δὲ HV* | *δήμου Ma* sed *οι* supra *ου* m[3] | *πρόσταγμα* scripsi e *Ma* sed *πρᾶγμα* suprascr m[3], *Cl* *πρᾶγμα V* *πράγματα* reliqui libri edd sed „*malim προστάγματα*“ Re 13 *εἴπῃ Va* 14 *μὴ δὲ HVaB* *μὴ Ma* sed in *μὴ δὲ* corr m[3], *Cl* | *προσῆκον HVCl* | *καταμηδὲν Vi* 15 *μὴ δὲ HVa BViMaCl* | *περὶ* om *Vi* | *πάντως HVVa* sed in hoc in *παντὸς* corr m[2] | *ἀνοικειότερον La* 16 *ἐβουλεύσαμεν* Mor

ἀλλὰ συμβούλους ἀναμένειν ἑτέρους ὥσπερ κριτὰς τῆς ἐκείνου ποιούμενον γνώμης; εἰ μὲν γὰρ ταὐτὰ λέξειν ἔμελλον, τί πλέον ἐντεῦθεν ὑπῆρχεν; εἰ δὲ τὴν ἐναντίαν Ἀπόλλωνι ψῆφον ἐκφέρειν, τίνι με προστίθεσθαι ἔδει; εἰπέ, πρὸς Διός· τουτὶ λέγε μόνον, καὶ σιωπήσομαι.

49. *Ἀλλὰ γὰρ δέδοικα, δέδοικα, εἰρήσεται γὰρ πρὸς ὑμᾶς, ὦ ἄνδρες, μὴ ὁ κατήγορος ἡμῖν οὐ πάνυ τι σωφρονεῖν παρεσκεύασται, ἀλλὰ μιμεῖσθαι τὸν Αἴγισθον καὶ τὸ παράδειγμα δεδιὼς τῆς πονηρίας ἐν ἑτέρων κατηγορίαις μελλούσης ἑαυτῷ πονηρίας ἄδειαν εὐτρεπίζει. οὐ γὰρ ἂν οὕτω προθύμως παρίστατο τοῖς ἐπ' ἀσελγείᾳ καὶ τοῖς δεινοτάτοις ἑαλωκόσι καὶ παρ' ὧν τεθνηκότων μηδεμίαν ἔχει κέρδους ἐλπίδα, εἰ μή τινος τῶν καθ' αὑτὸν προὐνοεῖτο.* 50. *ὅπερ ὑμῖν οὐχὶ προσῆκον, ὦ ἄνδρες, τοῖς εἰς ὑμᾶς ἁμαρτησομένοις καὶ τὴν τῶν ὑμετέρων*

---

10 Dem. p. 12, 29   12 cf. p. 392, 1

---

1 *τοὺς* ante *τῆς* *Ma* sed del m[3], *Cl*   2 *ταῦτα* *HVLaB* *Ma* sed in hoc ˋ supra *α* add m[3], *Cl* *ταὐτὰ* *Va*   3 *ἤμελλον* *HCl* | *ἐνταῦθα* *Ma* sed in *ἐντεῦθεν* corr m[3], *Cl* | *ἐναντίον* *Vi*   4 *ἐκφέρειν* om *MVi*   5 *δεῖ* *Ma* sed *ἒ* praepos m[3], *Cl* | *διὸς* *Vi* sed *θεῶν* in marg m[2] *θεῶν* *B* | *λέγε μόνον*] *λεγόμενον* *HVMa* sed in hoc *λέγε μόνον* suprascr m[3], *Cl* *τὸ λεγόμενον* *Va* *μόνον* *M* Re | *αὐτός* post *σιωπήσομαι* *Va*   7 *δέδοικα* (2) om *H* del *Vi*[2]*Ma*[3] | *δὲ* *V*   8 *ἡμῖν* scripsi ex *HVVaLaBMa* *Cl* *ὑμῖν* *MVi* edd | *τοι* *BCl* *τὸ* *Ma*   10 *ἑτέρων* *Ma* sed *ων* in ras m[3]   11 *εὐτρεπίζει* reposui e libris (sed *ει* in *η* corr *My* *εὐτρεπίζειν* *B*) *προευτρεπίζει* edd   12 *οὕτως* *VaMaCl*   13 *παρὰ* *Ma* sed *γρ* *παρ' ὧν* suprascr m[3], *Cl* | *μὴ δὲ μίαν* *HVVaCl*   14 *ἔχειν* *HVVaVi* sed in hoc *ει* supra *ειν* m[2], *Ma* sed *ν* suprascr m[3] | *ἐλπίδα* scripsi ex *HVVaLaBMa* sed in hoc *γρ' ὠφέλειαν* in marg m[3], *Cl* *ὠφέλειαν* *MVi* sed in hoc *ἐλπίδα* in marg m[2], edd   15 *ἡμῖν* *ViMa* sed in hoc *ὑ* supra *η* m[3], *Cl* | *οὐδὲ* *HVVa* | *προσῆκον* scripsi e *Ma* *προσῆκεν* reliqui libri sed *ον* supra *εν* *La*[n], edd   16 *ἡμᾶς* *ViMaCl* | *ἁμαρτησομένους* *La* *ἁμαρτησαμένοις* *Vi* | *ἡμετέρων* *MaCl*

γυναικῶν σωφροσύνην πρόφασιν διδόναι δι' ἧς ἂν ῥᾳδίως γένοιτο ταῦτα. τίς γὰρ οὐκ ἔσται πάλιν Αἴγισθος τῶν φύσει μὲν πονηρῶν, σωφρονεῖν δὲ νῦν διὰ τοὺς νόμους βιαζομένων, ὅταν ἴδωσιν ἐξ ὑμῶν προελθοῦσαν τὴν ἄδειαν ἐν οἷς ἔστι κυρίους ἢ μὴ τῆς πόλεως ὑπάρχειν τοὺς νόμους; οὐ γὰρ ἐγὼ κρίνομαι τοσοῦτον ὅσον ὑμεῖς δοκιμάζεσθε, πῶς ἔχετε πρὸς τὸ μισεῖν πονηρίαν καὶ ἀποδέχεσθαι τοὺς τῆς σωφροσύνης ἐρῶντας. καὶ ἁπλῶς εἰπεῖν, διὰ μιᾶς ψήφου ταύτης τὰ τῆς πόλεως κινδυνεύεται δίκαια πρὸς τὸ εἶναι ταῦτα καὶ ἀνῃρῆσθαι.

51. *Σκοπεῖτε δὲ κἀκεῖνο. ὑμῶν ἴσως πολλοὶ τῶν ἐπ' Ἴλιον στρατευσαμένων ἐγένοντο, καὶ εἴ τις ὑμᾶς ἔροιτο τὴν αἰτίαν | τοῦ τότε πολέμου, εἴποιτ' ἂν* R IV 130
μηδὲν ἀναμείναντες ὅτι σωφρονεῖν οὐκ ἐβούλοντο Τρῶες. πῶς οὖν οὐκ αἰσχρόν, εἰ τότε μὲν πλεῖν ἡγεῖσθε καὶ τῶν οἰκείων ἀπεῖναι καὶ πίπτειν ἐπ' ἀλλοτρίας, ἢν δέῃ, ἵνα σωφρονεῖν διδάξητε τοὺς βαρβάρους, νυνὶ δὲ τῆς αὐτῆς ὑμῖν προφάσεως οὐκ ἐν

---

10 Dem. p. 432, 26 16 sq. Eur. Or. 565 sq.

---

1 *σωφροσύνης Vi* | *ἂν* om *Ma* sed post *ῥᾳδίως* inser m³, *Cl* 2 *γὰρ* om *B* 3 *νῦν* inserui e *LaBMaCl* om *HVVaMVi* sed in hoc in marg inser m², edd 5 *κύριος Ma* sed in *κυρίους* corr m³, *Cl* | *μὴ* om Re quod inserendum viderunt Iacobs Add 183 et Sintenis 7 *τοιοῦτον H* | *δοκιμάζεσθαι LaMa* sed in hoc *αι* in *ε* corr m³ | *ἔχητε V* 8 *ἀποδέχεσθαι* scripsi e *VVaBViMa Cl* *ἀποδέχεσθε HLaM* sed in hoc *ε*(3) in *αι* corr *y*, edd sed „*malim καὶ εἰ ἀποδέχεσθε*“ Re 10 *κινδυνεύεται* scripsi ex *H VVaLaMa* sed in hoc *κινδυνεύει* suprascr m³, *Cl* *κινδυνεύει BMVi* edd | *πρὸς τὸ εἶναι*] *προσεῖναι Vi* 13 *ἐπίλιον La* 15 *ἠβούλοντο HVLaMMa* sed in hoc *ἠ* in ras m³ 16 *οὖν* om *Cl* inser *Ma*³ 17 *ἡγεῖσθαι V* sed *αι* in *ε* corr m² | *ἐπὶ* Mor 19 *ἡμῖν MaCl*

ὅπλοις, οὐκ ἐν ἀποδημίᾳ μακρᾷ κειμένης, ἀλλ' ἐν ψήφῳ μόνῃ καὶ τῷ τὰ δίκαια κρῖναι καὶ προσέτι τούτῳ τῷ τοὺς πολίτας γενέσθαι σωφρονεστέρους, ᾧ μάλιστα διαφέρειν τῶν βαρβάρων δοκοῦμεν, εἰ τὰ νῦν παρίδοιτε τὸ πρᾶγμα δι' ὃ τότε κινδυνεύειν ἠθέλετε; δόξετε γὰρ οὐδὲ τότε τοῦ καλοῦ ποιούμενοι λόγον, ἀλλὰ πλεονεξίας ἕνεκα καὶ τῶν μὴ προσηκόντων ἐφιέμενοι τὴν στρατείαν πεποιῆσθαι, Ἑλένη δὲ καὶ μοιχεία καὶ Πάρις πρόφασις ἦν ἄλλως καὶ μάτην ἐλέγετο. 52. *οἶμαι δὲ καὶ τοὺς ἐκεῖ τετελευτηκότας τῶν Ἑλλήνων, εἴ τις αἴσθησις, τὰ παρ' ἡμῶν ἐγνωκότας ἡλίκον δακρύσαι ἄν, εἰ ὑπὲρ ὧν ἀποθνήσκειν εἵλοντο μαχόμενοι τοῖς βαρβάροις, ταῦτα παρ' ἡμῖν ἀνέδην ἐν μέσῃ πράττεται τῇ Ἑλλάδι κἂν εἰσπράξηταί τις δίκην, τοῦτον εὐθὺς εἰς μέσους ἄγουσι δικαστὰς καὶ κατηγορεῖ μὲν ὁ βουλόμενος, οἱ δὲ παρορῶσι.*

---

1 *οὐκ*] *οὐδ' HV* 2 *τὸ Vi* | *κρίναι HVaViMaCl* | *προσέτι LaMa* sed in *πρόσεστι* corr *La*^{y} *Ma*^{3} 3 *τὸ Vi* 4 *τῶν βαρβάρων διαφέρειν MVi* Mor | *εἰ τὰ νῦν Ma* sed *ὰ ν* in ras m^{3} *εἶτα νῦν MViCl* *τα νῦν HVVa* sed in hoc *γρ εἶτα νῦν* in marg m^{2} 5 *παρίδοιτε* scripsi e *Va* *παρίδητε* reliqui libri sed *η* ex *οι* corr *B*, *η* in *οι* corr *M*^{y}, edd | *διὸ HLaMa* sed in hoc in *δι' ὃ* corr m^{3}, *Cl* | *προείλεσθε Ma* sed *γρ ἠθέλετε* suprascr m^{3}, *Cl* 6 *γὰρ* inserui ex *HVVaLaBViMa* sed in hoc del m^{3}, *Cl* om *M* edd | *οὐ Va* | *τοῖς καλοῦσι H* 7 *εἵνεκα B* *ἕνεκεν Cl* | *μὴ* om *Cl* inser *Ma*^{3} 8 *τὴν* om *Va* | *στρατίαν V* *στρατιὰν LaMaCl* | *ποιεῖσθαι Vi* sed *πεποιῆσθαι* in marg m^{2} 10 *ἑλλήνων Vi* sed *ἕλληνας* in marg m^{2} *ἕλληνας B*
11 *αἴσθησις Va* sed *σις* in ras m^{2} | num *θαυμάσιον ἡλίκον* scribendum coll. Dem. p. 348, 24 et 469, 18? at cf. p. 380, 11
12 *δακρύσαι ἂν* scripsi *δακρύσαιεν HVVaBViMa* sed in hoc *αιεν* in ras m^{3}, *Cl* *δακρύσαι LaM* edd cf. ad t. II 355, 17
13 *ὑμῖν BMa* sed in hoc *υ* ex *η* corr m^{3} 14 *ἀνέδην* scripsi ex *HV* sed in hoc *αι* suprascr m^{2}, *La* *ἀναίδην* reliqui libri sed *αι* in ras *M*, edd cf. t. II 174, 9; IV 476, 12
15 *δίκην* om *LaBMViMaCl* Mor cf. t. II 144, 3 | *μέσους* et *δικαστὰς* scripsi ex *HVa* sed in hoc *ον* supra *ους* et *ῶν* supra

53. *Καίτοι οὐδ' ἀξία τῶν ἀδικημάτων τιμωρία δόξει τοῖς εὖ φρονοῦσι λογιζομένοις ἅπερ εἴποι τις ἄν, κἂν ἐγὼ σιωπήσω, μοιχείαν καὶ φόνον κατὰ τοῦ συνοίκου, κατ' Ἀγαμέμνονος, οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς προσθήκην, οἴκου τε τοῦ πρὶν εὐδαίμονος ἐρημίαν καὶ παίδων ὕβριν καὶ τὴν εἰς τὸν μέλλοντα χρόνον αἰσχύνην πρὸς μίαν τῶν τηλικαῦτα τετολμηκότων ἀναίρεσιν. οἱ γὰρ τοιοῦτοι πολλάκις, εἴπερ ἐνῆν, οὐχ ἅπαξ ἀπολωλότες μόλις ἂν τύχοιεν τῆς ἀξίας.* 54. *ποῦ δὲ φήσει τις δίκαιον εἶναι φόνον τὸν | τοιοῦτον* R IV 131 *προσαγορεύειν, ἀλλ' οὐ τιμωρίαν δικαίαν καὶ τοῖς ἐφορῶσι τὰ τοιαῦτα θεοῖς ἀντ' ἄλλου τινὸς ἀνακειμένην; εἰ γὰρ ἀρετὴ τούτοις ἀρέσκει καὶ τὰ πραττόμενα κόσμῳ, δῆλον ὡς τοῖς ἐναντίοις ἀγανακτοῦσι καὶ βούλοιντ' ἂν μάλιστα μὲν μὴ γενέσθαι τι τῶν οὐχ ὁσίων, εἰ δὲ μή, τοὺς γοῦν δεδρακότας τιμωρουμένους τῷ παραδείγματι σωφρονίζειν τοὺς ἄλλους καὶ γνῶναι*

ὰς m², *LaB* *μέσον* et *δικαστῶν VMVi* edd *μέσον* et *δικαστὰς Ma* sed *ους* supra *ον* et *ὰς* in *ῶν* corr m³ *μέσον* et *δικασταὶ Cl* 16 *κατηγορεῖται HV* sed in hoc *ται* del m², *Va* *κατηγορεῖν Cl*

2 *ἂν εἴποι τίς MVi* Mor 3 *σιωπήσομαι HV* *σιωπήσωμαι VaMaCl* | *καὶ* om *Ma* 5 *ἐρημία Vi* 7 *προςμίαν La* | *τὴν* ante *ἀναίρεσιν B* 8 *ἐνῆν* scripsi *ἦσαν HV* sed in hoc *γρ' ἦν* in marg m², *VaLaBViMaCl* *ἦν M* edd 10 *φησὶ τίς HVVa Ma* sed in hoc ` eras et ´ supra *η* m³, *Cl* *φησί τις La* | *δίκαιος La* sed *ν* supra *ς f*, *B* | *τὸ HVaVi* 11 *δίκαιον HVaLaViMa* sed in hoc in *δικαίαν* corr m³, *Cl* 12 *τὰ τοιαῦτα* scripsi ex *HVVaLaBMa* sed in hoc in marg inser, *Cl* *ταῦτα MVi* edd | *ἀνακειμένην ἀντ' ἄλλου τινὸς MVi* Mor | *ἄλλου τινὸς*] *ἀλλαγῆς* Iacobs Lect 96 App Pors 325 13 *εἰ* — 14 *ἀγανακτοῦσι* omissa particula *γὰρ* citat Macar fol 84ᵛ | *τούτοις*] *θεῷ* Macar 14 *δῆλον ὅτι Va* *δηλονότι HV* | *ἀγανακτεῖ* Macar 15 *μὴ γενέσθαι τι*] *μηδέν τι γενέσθαι HVVa* | *γίγνεσθαι MVi* 16 *τιμωρουμένους La* sed *οι* supra *ους f* *τιμωρούμενον Ma* sed *μένους* suprascr m³

καλῶς ὡς ἄρα δίκη τις θεῶν ἐν ἀφανεῖ κειμένη κατοπτεύει τἀνθρώπινα καὶ τοὺς λυποῦντας ἀμύνεται. ὅθεν καὶ τῶν πόλεων αἷς μάλιστα σωφροσύνη τιμᾶται καὶ οὐκ ἐν ἡδονῇ τὰ φαῦλα, πάντα πρὸς εὐδαιμονίαν χωρεῖ, εἰρήνη καὶ γῆς εὐφορία καὶ γένη διωρισμένα καὶ παίδων γοναὶ τῇ παρ' ἀλλήλων διαδοχῇ μέχρι παντὸς ἀκωλύτως ἀεὶ προιοῦσαι, πόλεμοι δὲ καὶ νόσοι κοιναὶ καὶ ὅσα τῇ τῶν ἀνθρώπων φύσει λυμαίνεται ἐκείνους ἔχει, εἴ τις πόλις τῇ τῶν ἐνοικούντων ἀσελγείᾳ τὰ τῶν θεῶν τεμένη μὴ καθαρὰ διασώζει. 55. *καὶ μάρτυς ἡ Τροία. πρὸ τῆς Ἀλεξάνδρου μοιχείας εὐδαίμων καὶ πόλις, οὐ νῦν, οἴχεται γὰρ καὶ ἦν ποτε ταῦτα, καὶ πρόσχημα τῆς Ἀσίας πρότερον οὖσα, ἐπειδὴ ἑνὸς ἀνδρὸς ἀπήλαυσεν ἀτοπίας, ἀνήρπασται τοῖς δεινοῖς*

13 Her. V 28. Aristid. Panath. t. I p. 158, 8 Dind.

13 *πρόσχημα τὸ καλλώπισμα, ὡς ἐνταῦθα καὶ Ἀριστείδης ἐν τῷ Παναθηναικῷ τὸ τῆς Ἑλλάδος [εὐ]πρόσχημα καθαρῶς ἀνῄρηται* (= t. I p. 187, 8 Dind.). *λέγεται πρόσχημα καὶ ἡ πρόφασις καὶ τὸ οἱονεὶ προκάλυμμα. B* (cf. Thom. M. s. v. p. 285, 14 sq.)

1 *τίς HLaVi* | *κατοπτεύει* scripsi e *VaLaBMViMaCl* *κατοπτεύοι HV* edd 2 *τἀνθρώπεια MaCl* *ἀνθρώπινα* Mor 3 *καὶ* (1) — 10 *διασώζει* citat Macar fol 84ᵛ | *ἐν* ante *αἷς* (*οἷς H V*) *HVVa* | *αἷς* in ras *Ma*³ 4 *πάντως V* 5 *χωρεῖ* scripsi *ὁρᾷ* (*ὁρᾶν Vi* sed *ὁρᾶ* suprascr m²) libri Macar edd 7 *ἀεὶ* inserui e libris Macar om edd | *προσιοῦσαι LaMaCl* | *πολέμιοι H* 8 *τὴν* et *φύσιν HVVa* 11 *ἡ* inserui e libris cum Iacobsio Add 326 om edd punctum post *Τροία* posui ex *H*, comma reliqui libri edd | *πρὸς M* sed *ς* eras, Re quod correxerunt Iacobs et Sintenis | *τοῦ* ante *ἀλεξάνδρου B* 12 *οὐκ ἦν* in ras *Ma*³ sed *γρ οὐ νῦν* in marg m³ *ἦν νῦν Cl* | *γε* post *νῦν* inser *Laf* | *γὰρ οἴχεται Ma* sed in *οἴχεται γὰρ* corr m³, *Cl* 13 *πρόσχημα Ma* sed *σχη* in ras m³ | *δὲ* post *ἐπειδὴ HVVa* sed in hoc eras *δ'* Mor del Re 14 *ἀπήλαυσεν V* sed *ν* del m² *ἀπήλαυσαν Va* *ἀπέλαυσεν Cl* cf. p. 396, 4

καὶ κεῖται παράδειγμα δυστυχίας. εἰ δὲ λαβόντες οἱ Τρῶες σώφρονα λογισμὸν τὸν μὲν ἀδικοῦντα διέφθειραν ὡς ἐναγῆ καὶ ποινήν τινα συνεπαγόμενον τῇ πατρίδι, ἀποδεδώκεσαν δὲ τὴν Ἑλένην τοῖς ὑβρισμένοις ἀφοσιοῦντες πρὸς τοὺς θεοὺς τὸ καθ' αὑτοὺς καὶ τὴν πόλιν, οὐδὲν ἂν ἐκώλυσε καὶ νῦν ἑστάναι τὴν Τροίαν. 56. *καίτοι μέχρι μοιχείας ἐκείνοις τὸ ἔγκλημα, καὶ φόνος τοῖς Ἀλεξάνδρου πλημμελήμασιν οὐ προσῆν.*
| *ὧν ἀμφοτέρων ἡμῖν ὑπαρξάντων, εἰ μὴ δικαία* R IV 132
τιμωρία τοῦ μύσους τὴν πόλιν ἀπήλλαξε, σκοπεῖτε, πρὸς Διός, εἰς τί ποτ' ἂν ἦν ἐλπὶς ἡμᾶς ἀφικέσθαι. ἆρ' οὐ μέχρι τῶν δεινοτάτων; καὶ χρησμὸς ἂν ἐπὶ τούτοις ἐκήρυττε τὴν αἰτίαν, ὡς κεῖται μὲν Ἀγαμέμνων, ὁ δὲ τιμωρῶν οὐδείς. εἶτα τούτων ἐπικειμένων τίνι προσήκειν ἂν ἡγεῖσθε τὸ πρᾶγμα καὶ τίνι ταῖς μέμψεσιν ἐπεφέρεσθε καλοῦντες ἄνανδρον καὶ τὴν τιμωρίαν ἀνατιθέντες; οὐχ ὅτῳ πατὴρ μὲν ὁ ταῦτα παθών, δυστυχὴς δὲ αὐτὸς ἐν αἰσχύνῃ μετ' ἐκεῖνον;

---

5 Plat. leg. XI p. 873 B. Euthyphr. p. 4 C   16 Thuc. III 23, 3

---

1 *δυστυχέστερον V* | *λαμβάνοντες Vi* sed *λαβόντες* in marg m^2 3 *πόρνην B* et in marg Vi^2 4 *ἀποδεδώκεσαν* scripsi *ἀποδεδώκασι HVVaLaBMVi* edd *ἀπέδωκαν MaCl* | *δὲ* om *B*
5 *τὸ καθ' αὑτοὺς καὶ τὴν πόλιν* scripsi ex *HVVaLaBM Cl* *καὶ τὴν πόλιν καὶ τὸ καθ' αὑτοὺς MVi* edd   6 *ἂν* et *τὴν* om *Cl* inser Ma^3 8 *πλημελήμασιν VaMViMaCl* 10 *μίσους HVMa* sed in hoc *σ* in ras m^3, *Cl* | *ἀπήλλαξεν Ma*
11 *ἂν Vi* sed *ἦν* in marg m^2 om *HVLaBMaCl* Mor | *ἦν ἐλπὶς* om *Vi* | *ἡμῖν Va*   12 *οὖν Vi*   13 *ἐκήρυττεν Ma* | *μὲν* inser Ma^3 14 *τιμωρῶν δὲ Va* | *προσήκειν Va* sed post *ἡγεῖσθε* in marg m^2 *προσήκει VLa* *πρ σήκη H* *προσῆκεν Ma* sed *ήκειν* suprascr m^3, *Cl*   15 *ἡγεῖσθαι VMa* sed in hoc *ε* supra *αι* m^3, *Cl* | *τὸ πρᾶγμα* om *Cl* inser Ma^3 | *τίνι LaMa* sed *α* supra *ι* La/Ma^3 16 *ἐπιφέρεσθε BM* *ἐπιφέρεσθαι MaCl* | *μωρίαν MaCl*   17 *οὐ τούτῳ ὦ VVa*

57. Ἡ δὲ μήτηρ, ἐγὼ μὲν αὖθις καὶ λέγειν ὀκνῶ, ἀλλ οὕτως ἔδοξε τῷ κατηγόρῳ καὶ τῆς ἀνάγκης πάλιν ὁ λόγος, αὕτη τοίνυν, ὥσπερ οὐκ ἀρκουμένη τοῖς προλαβοῦσιν, ἔτι πρὸς ἐκείνοις ἐβουλεύσατο μετ' Αἰγίσθου τὸν φόνον. αὕτη μονονουχὶ τὸ ξίφος ἐγύμνου, τὴν δεξιὰν ἀνέσχεν, ἐπήνεγκε τὴν πληγήν, γύναιον, ὦ θεοί, κατ' ἀνδρὸς συνοικοῦντος αὐτῇ, νενικηκότος, μόλις ὀφθέντος, μόλις ἀπηλλαγμένου τῶν ἔξω κακῶν. οὐκ ἐλογίσατο παρὰ τὴν πρᾶξιν· ἐγὼ τὸν ἄνδρα τὸν ἐμαυτῆς, ὅς με παρθένον ἠγάγετο, παίδων ὄντων, μηδὲν ἐγκαλεῖν ἔχουσα, παρὰ τὴν πατρῴαν ἑστίαν; ἐνταῦθα μετ' ἐκείνου γαμήλιον εἶδον λαμπάδα. εἶτα νῦν ἀντὶ ταύτης αἰρόμενον ἴδω ξίφος; καὶ παρὰ τὴν παστάδα θεάσομαι πεπτωκότα; ποίοις ὄμμασιν ἴδω; πῶς φέρῃ τὴν τόλμαν ἡ θέα; 58. τούτων οὐδὲν εἰς νοῦν εἰσῆλθεν, ἀλλ' ἐτόλμα καὶ διεπράξατο. καὶ κεῖσαι νῦν, ὦ πάτερ, οἰκτρῶς. ὡς ἀνομοίαν εἶδες ταύτην τὴν ἡμέραν ἢ ὅτε τὴν ἐπὶ Τροίας ἡγήσω. τότε βασιλεὺς ἀνηγορεύθης

---

4 Od. δ 92. Eur. El. 9 5 Aesch. Eum. 582 9 cf. ad t. IV 135, 1 17 Od. λ 420 | Soph. El. 102

---

1 αὖθις inser *Va*^{2} 2 καὶ — 3 λόγος in marg *H* 3 αὖθις *M* | ἀρνουμένη Mor 4 προσκείμενον *Ma* sed πρὸς ἐκείνοις suprascr m^3 προσκειμένοις *Cl* 9 περὶ *HVLa* κατὰ *Va* sed παρὰ suprascr m^2 10 με om Mor 11 περὶ *HV* om *Va* | πατρῷαν *HVaLa* 12 ἐνταῦθα reposui e libris ἔνθα edd | ἦδον *Ma* sed η in ει corr m^3 13 εἶτα νῦν] εἶτ' *MaCl* 14 περὶ *VaMaCl* | θεάσομεν *Ma* sed εν in αι corr m^3 15 φέρῃ scripsi φέροι *Vi* φέρει reliqui libri edd 16 πῶς αἱ χεῖρες ὑπηρετήσουσι· post θέα; *M* | εἰς νοῦν οὐδὲν *HVVa* Re | εἰσῆλθεν scripsi ἐπῆλθεν libri edd 17 καὶ (2) inser *Ma*^{3} 18 ὡς — 409, 2 φήμη citat Plan fol 105 | ἀνομοίαν *Ma* sed οι in ras m^3 ἀνομίαν *VViCl* | τὴν om *VaM* 19 τὴν om Mor „*malim* τῆς *scil.* ὁδοῦ *vel* στρατείας“ Re

κοινὸς καὶ ἀπεβλέπου καὶ τὴν Ἑλλάδα ἦγες καὶ περὶ σοῦ πάντα κατεῖχεν ἡ | φήμη. ἦλθες εἰς Τροίαν R IV 133 καὶ πολέμους εἶδες καὶ μάχας καὶ τὴν Ἕκτορος οὐκ εὐτυχῶς διέφυγες δεξιάν, ἀλλ' ἐπανιόντος Ἐριννύες ἡγήσαντο. 59. εἴθε σε μετ' Ὀδυσσέως ἀπήγαγον αὖραι καὶ πανταχοῦ πλανώμενος μᾶλλον εὐτύχεις ἢ τὴν οἰκίαν ἰδών. νῦν δὲ σὺ μὲν ἐπανῆλθες θᾶττον τοῦ δέοντος ὥσπερ πρὸς τὸ παθεῖν ἠπειγμένος, ὁ δὲ Ὀδυσσεὺς ὅσον ἐπὶ τῇ γυναικὶ κατ' οἶκον εὐτυχῶν πόρρω ποι φέρεται. ἀλλ' ἐπανέλθοι ποτὲ καὶ φανείη τῇ Πηνελόπῃ καὶ θεάσαιτο πῶς οἱ μνηστῆρες τὴν οἰκίαν κατειληφότες γυναικὸς ἡττήθησαν σώφρονος.

60. Ἀλλὰ δακρύων μὲν ἴσως καὶ αὖθις ἔσται καιρός, ὑμεῖς δέ, ὦ ἄνδρες, ὅσοι πατέρες ἐστὲ καὶ παῖδας ἔχετε καὶ γυναικῶν σωφροσύνης λόγος ὑμῖν ὅσοι τε παῖδες εὐτυχῶν πατέρων καὶ μητέρας ἔχετε σώφρονας, ἐπὶ λογισμὸν τὸν ἡμέτερον πατέρα λαβόντες καὶ τὴν ἐμὴν ὑπὲρ ἐκείνου σπουδὴν παρθένον τε ταύτην Ἠλέκτραν σὺν ἐμοὶ δυστυχοῦσαν ἥτις ἕστηκεν ἀνακαλουμένη τὸν πατέρα καὶ δακρύων οὐκ ἀπαλλάττεται, ταῦτα

1 Arist. Eccl. 726 sq. 9 Dem. p. 278, 12 | Eur. Or. 588 19 Soph. El. 137

1 κοινὸς om *M* κοινῶς *Ma* | „*malim* καὶ ἡ περὶ σοῦ“ Re 2 πάντως Plan 4 ἐπανιόντος *Va* sed ι supra ος m[2] ἐπανιόντι *MVi* Re | ἐρριννύες *Va* sed ´ in ˜ corr m[2] ἐρινύες *La* ἐρριννύες *Vi* 5 μετοδυσσέως *La* 6 μᾶλλον scripsi ex *HVVaLaBMaCl* πάντως *MVi* Mor et e Bav. Re sed adnotat: „*non male utrumque copules* πάντως μᾶλλον ἂν εὐτύχεις“ | ηὐτύχεις *V* 8 ἠπειγμένος *Ma* sed in ἐπειγόμενος corr m[3] ἐπεισμένος *Va* 9 κατ' οἶκον *Ma* sed κατ' οἶ in ras m[3] τοσοῦτον *Cl* 10 που *H* 11 πῶς οἱ] πόσοι *MVi* 13 καὶ ἴσως *Va* | καὶ om Mor 15 ἔχετε *Ma* sed ἕ in ras m[3] | γυναικὸς *Ma Cl* | ἡμῖν *V* 17 λογισμὸν scripsi e *HVVa* sed in hoc ὸν in ῶν corr, *B* λογισμοῦ *LaVi* sed in hoc μὸν suprascr m[2], *Ma* sed ὸν suprascr m[3], *Cl* edd 20 ἀπαλλάσσεται *MaCl*

λογισάμενοι καὶ ὡς οἰκτρὸν ταῖς ἡμετέραις περιπεσεῖν συμφοραῖς καὶ δόξαντες ὑμῖν παρεστάναι τὸν Ἀπόλλω τὸν Πύθιον καὶ κρίσιν ἐφορᾶν τὴν παροῦσαν καὶ χαλεπαίνειν εἰκότως, εἰ τοῖς ἐκείνου πεισθεὶς ἐπιτάγμασι πείσομαί τι τῶν οὐχ ὁσίων, ψῆφον ἐνέγκατε σήμερον πρέπουσαν εὐσεβείᾳ καὶ σωφροσύνῃ καὶ νόμοις.

---

κακόν. καὶ δεῖ δή που τὸν οὐχὶ βουλόμενον εἰκότως φαίνεσθαι μὴ βεβουλημένον. εἰ δὲ οἱ λογισμοὶ πρὸς τὴν πρᾶξιν ἐνάγοιεν, ὁ δὲ μάχοιτο, δικαίως ἂν ὅ γε τοιοῦτος καταναγκάζοιτο. σκόπει γάρ. ἐν ταῖς εἰσφοραῖς οἱ μὲν ἑτοίμως εἰσφέρουσιν, οἵ δ' ἥδιστ' ἂν μὴ θεῖεν, ἀλλ' ὅμως οὐδεὶς ἀνέξεται. 16. Θηβαῖοι δὲ δικαίως ἂν μεθ' ὑμῶν πολεμοῦντες ἔδοσαν αὑτοὺς τῷ Μήδῳ καὶ συνεπεστράτευον. οὐκοῦν τὰ προσήκοντα μὴ βουληθεῖσι μεταμέλει νῦν καί εἰσιν ἀθλιώτατοι πάντων ἀνθρώπων ἐξ ὧν οὐκ ἠθέλησαν. πάλιν ἥκοντος ἐκ Δελφῶν τοῦ ξυλίνου τείχους καὶ σοῦ τὸν νοῦν εὑρόντος τῶν λογίων καὶ τὰς τριήρεις ἐν τῷ τείχει τούτῳ δηλοῦσθαι λέγοντος καὶ παραινοῦντος ἐκλείπειν τὴν πόλιν ἦσαν οἱ μὴ βουλόμενοι τοῦτο. καὶ καταμείναντες ὡς δὴ τῆς ἀκροπόλεως ξύλοις τετειχισμένης ἀπώλοντο κακῶς οἵ μὴ βουληθέντες.

---

6 Her. VII 233 11 cf. p. 498, 15. Her. VII 141 sq. Aristid. pro IV viris t. II p. 249, 12 sq. ed. Dind. 15 Her. VII 142

---

1 καὶ] εἰ *Ma* | εἰκότως om *I* 2 μὴ inserui e *CMaL* sed in hoc eras, *I*, ut negationem postulavit Gasda om *BLau* edd | βεβουλημένον] βεβουλημένου (sed η in ευ corr m²) καλῶς ἔργον ποιεῖν *I* | δ' *MaB* | οἱ μοι *Ma* sed μοι in μὲν corr m² 3 οἱ *Ma* sed in ὁ corr m² | μάχοιντο *Ma* sed ν eras | ὅ γε *Ma* sed ὃ corr m² ὁ *Lau* 5 οἱ(2) scripsi οἳ *CBLLau* Re οἵ *MaI* Mor 6 ἀφέξεται Gasda | δὲ om *CMa* 7 ἡμῶν *Ma* | αὑτοὺς scripsi e *CLI* αὐτοὺς *MaBLau* edd | δήμῳ *C* 8 συνεστράτευον *ILau* | οὐκ οὖν *Lau* | βουληθεῖσι scripsi e *CMaBILau* βουληθέντες *L* sed θέντες in ras m², edd Iacobs Lect 116

9 μεταμέλει scripsi e *C* cum Iacobsio μετάμελοι *I* μεταμέλοι reliqui libri edd μεταμέλον coni et καὶ del Re μεταμέλονται Gasda 14 ἦσαν, οἳ Re 15 ξύλοις in ras *L²* πύργοις *ILau* | ἀπώλοντο, κακῶς μὴ vel ἀπώλοντο κακῶς, κακῶς μὴ coni Re 16 οἱ μὴ βουληθέντες *L* sed μὴ suprascr, *I* sed γρ οἱ μὴ βουληθέντες ἐξελθεῖν δῆλον suprascr m² βουληθέντες *Ma* sed ου et θ corr m² et γρ οἱ μὴ βουληθέντες in marg m³ οἱ βουληθέντες *Lau* οὐ βουληθέντες *CB* οἷα μὴ βουληθέντες coni Iacobs Lect 117 („*utpote non volentes*“)

17. *Ὅταν οὖν λέγῃς δεινὸν εἶναι τὸ τὴν οἰκίαν ἄκοντα κομίσασθαι καὶ τιμωρίας διαφέρειν οὐδέν, μάνθανε πολλὰ τῶν ἀκουσίων τοῖς ἠναγκασμένοις λυσιτελήσαντα. ὁρᾷς τοὺς παῖδας τοὺς κομιδῇ τοὺς ἄκοντας ἑλκομένους εἰς τὰ διδασκαλεῖα; οὗτοι καταρῶνται μὲν τοῖς παιδαγωγοῖς, ἄκοντες δὲ γιγνόμενοι βελτίους ὕστερον ἐπαινοῦσι τὰς ἀνάγκας.* 18. *καὶ τί λέγω τοὺς παῖδας; ἀλλὰ τὴν μεγάλην ταύτην καὶ θαυμαστὴν ναυμαχίαν πῶς συνήγαγες; ἆρ' ἑκόντων Ἑλλήνων καὶ βουλομένων συμπλέκεσθαι; καὶ μὴν ἐδέδοκτο φεύγειν καὶ ζητεῖν αἰσχρὰν σωτηρίαν,* | R IV 379 *ἀλλ' ὅμως ταῦτα ἐγνωκότας ἔδειξας ἐξαίφνης ἐν μέσῳ τῶν βαρβάρων ὥστ' ἀνάγκην εἶναι ναυμαχεῖν. καὶ οἷς ἔδρων οὐχὶ βουληθέντες ἐνίκων καὶ ὧν ἔλαβον ἄν, εἰ προῄσθοντο, παρὰ σοῦ δίκην, ἀντὶ τούτων σὲ σωτῆρα τῆς Ἑλλάδος καλοῦσιν. οὕτως οὐδὲν θαυμαστὸν τὸ αὐτὸ καὶ βαρὺ τοῖς ποιοῦσιν εἶναι καὶ λυσιτελέστατον. καὶ νῦν μή μοι τοῦτο λέγε μόνον, ὡς οὐκ ἂν βουλοίμην καὶ ἄκοντι χαριζόμενος ἐν οἷς χαρίζῃ λυπεῖς, ἀλλ' εἰ μὴ καλὸν ἀκολουθῆσαι τοῖς τῷ πατρὶ δοκοῦσι καὶ δοῦναι χάριν ἐν τῷ λαβεῖν.*

19. *Τί δὲ καὶ τοσοῦτον μεμφόμενος ἥκεις ἐναντιω-*

---

4 Dem. p. 539, 24 10 cf. p. 72, 3 et 73, 8. Her. VIII 75 sq.

---

1 *οἰκείαν I* 3 *τοῖς ἀκουσίοις I* | *τοῖς* om *I* 4 *λυσιτελήσοντα B* | *τοὺς*(1) om *L* sed in ras 4 litt in qua *ους* m[2] *τοὺς*(3) om *I* num delendum? 5 *εἰς φροντιστήριον I* 6 *γινόμενοι I* 9 *συνήγαγεν I* sed *γες* suprascr m[2] | *ἑκόντων* scripsi cum Iacobsio Add 201 Lect 117 Cobeto Coll 293 *ἑκόντων τῶν Ma* *ἐκ τῶν* reliqui libri edd 10 *ἑλλήνων Lau* sed *λην* in ras m[2] *ἐθελόντων* Gasda | *καὶ*(1) om in ras 1 litt *L* 14 *ἄν* om *I* 15 *προίσταντο I* 16 *ἐλπίδος ILau* 17 *καὶ βαρὺ* post *ποιοῦσι Ma*, post *εἶναι B* 18 *μή τι τοιοῦτο I* 20 *κακὸν I* 22 comma post *δὲ CMaBLLau* edd delevi cum Iacobsio

σόμενος; ἀντεῖπόν σου ταῖς δημηγορίαις; ἤλγησα τοῖς κατορθώμασιν; ἐφθόνησα τοῖς ἐπαίνοις; ἐξήνεγκά τι πρὸς τοὺς ἐναντίους τῶν ἀπορρήτων; εἰπὲ τὸ ἀδίκημα. ἔλεγξόν με πονηρὸν περὶ σεαυτόν.

20. *Ἀπεκήρυξάς με, φησί, καὶ τῆς οἰκίας ἐξέβαλες. λυπηρὸν τοῦτο, Θεμιστόκλεις, καὶ βαρὺ τοῖς παθοῦσιν. ἀνῃρήσθω τοίνυν τοῦτο τὸ λυπηρὸν τήμερον. εἰ μὲν γὰρ οὐκ ἠνιῶμεν τότε, τί χαλεπαίνεις; εἰ δ' ἐλυποῦμεν, ἐνταῦθα στήτω τὸ πρᾶγμα. σὺ δὲ ποιεῖς ἄτοπον ἐν ἐγκλήματι μὲν προφέρων τὴν ἀποκήρυξιν, αὐτὴν δὲ ταύτην ὅπως μενεῖ ποιῶν καὶ δι' ὁμοίας ὀργῆς ἀμφότερα λαμβάνων, τό τε τῆς οἰκίας ἀπελθεῖν τό τε αὖθις ἐκεῖσε ἄγεσθαι, ὥσπερ ἂν εἴ τις τὸν ὧν ἀπεστέρησε χρημάτων ταῦτα ἀποδιδόντα πάλιν δυσμενῆ κρίνοι παραπλησίως ἔν τε ἐκείνῳ καὶ τούτῳ.*

21. *Χωρὶς δὲ τούτων, ὅταν τὴν ἀποκήρυξιν λέγῃ, πόθεν ἐπὶ ταύτην ἦλθον, ἐρωτᾶτε αὐτόν. κἂν μὲν ὠμότητα ἐμὴν εὕρητε καὶ θυμὸν λόγον οὐκ ἔχοντα, ἐξέστω Θεμιστοκλεῖ μὴ μόνον φεύγειν τὴν οἰκίαν, ἀλλὰ*

---

10 cf. t. I 276, 4. Dem. p. 311, 2

Anth Pal III 296 | *ἐναντιωσόμενος* praemisso *κείμενον* in marg *Ma*[3] *ἐναντιωσάμενος I*

1 *σου* scripsi e *MaB* cum Gasda *σοι* reliqui libri edd *τῆς δημηγορίας ILau* 3 *τῶν* om *I* | *ἀπορρήτων I* sed *γρ ἀπόρρητον* suprascr m[2] 4 *δεῖξον C* | *σεαυτῷ C* 5 *ἐξέβαλλες I* sed *λ* secundum inser m[2], Re 6 *καὶ βαρὺ θεμιστόκλεις I* 7 *πυθοῦσιν I* *παθοῦσι CMaL* edd 8 *ἠνιῶμεν* scripsi e *C* coll. p. 469, 3 *ἠνίων* reliqui libri edd | *ἐλυπούμην ILau* *ἐλύπουν* Cobet Coll 293 10 *ἐν* inserui auctore Re („*f. ἐν ἐγκλήματι id est ἐν ἐγκλήματος μέρει, aut ὡς ἔγκλημά τι*") om libri edd 11 *μενεῖ* scripsi cum Gasda *μένοι B* *μένῃ CMaLI* edd *μέλλῃ Lau* | *ποιῶν L* sed *ι* in ras m[3] 12 *τότε LLau* 13 *τ' Ma B* | *ἂν* om *MaILau* | *τὸν*] *τῶν ILau* | *ἂν* post *ὧν CILau* 17 *ἦλθον* scripsi e *CB* coll. p. 463, 21 et 473, 7 *ἦλθεν MaLILau* edd

καὶ δίκην ἑτέραν ἣν βούλεται λαμβάνειν· ἂν δὲ παρὰ τούτῳ τὸ τῆς αἰτίας ᾖ καὶ ὁ μὲν ἀναγκάσας ὁ παῖς, ὁ δὲ ἠναγκασμένος ἐγώ, συγγνώμην ἐχέτω τοῖς βιασθεῖσιν ἡμῖν. 22. *ἢ σὺ νομίζεις, Θεμιστόκλεις, ὅτι μισότεκνός τις ὢν ἐγὼ καὶ Σκύθης τὸν τρόπον καὶ τῆς φύσεως ἀλιτήριος καὶ τὸ μή σοι συνοικεῖν | εὐδαιμονίαν* R IV 380 *τιθέμενος ἐδεήθην τότε δικαστῶν; οὐκ ἔστιν. ἀνὴρ Ἕλλην, Ἀθηναῖος, τῆς ἡμερωτάτης πόλεως, ἐν τοῖς ἤθεσι τῆς δημοκρατίας τραφείς, ὃν ἐγέννησα, ὃν ἀνέθρεψα, ὃν ἐν ταῖς ἐμαυτοῦ χερσὶν οὐκ ὀλιγάκις ἤνεγκα, ἐν ᾧ τὰς τοῦ γήρως εἶχον ἐπικουρίας, τοῦτον ὁρῶν εὔτακτον, κόσμιον, σώφρονα, τοῖς ὅλοις ἄμεμπτον ἐμίσουν. ἐξήλαυνον, ἐποίουν ἀλλότριον; ποῖον φάρμακον πιών; ἐκ ποίας μανίας κατ' ἐμαυτοῦ φέρων τὴν πληγήν;* 23. *οὐκ*

---

4 Aeschin. p. 64, 41 Andoc. myst. 51 p. 7, 44 6 Arist. Eq. 445. Thuc. I 126, 7. 7 Plat. rep. IV p. 430 B

---

6 *ἀλιτήριος· ἀνόσιος. ὁ ἐνεχόμενος μιάσματι καὶ ἐξημαρτηκὼς εἰς θεούς. ἐκλήθη δὲ ἀπὸ τούτου. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν.· παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. παράγεται δὲ ἀπὸ τοῦ ἀλιτραίνειν ὃ ἔστιν ἁμαρτάνειν B* (cf. Suid. s. v. *ἀλιτήριοι*)

---

1 *περὶ C* 2 *ᾖ* scripsi *ἡ C ἦν* reliqui libri edd 6 *ἀλιτήριος MaI* | *μὴ σοὶ CB* 7 *ἡγούμενος CMaB* 9 *τοῖς* ante *τῆς CMa* | *ἀνέθρεψα* scripsi e *MaBL* sed in hoc *ἀνεθρ* in ras m², *Lau* cum Cobeto Coll 293 *ἀνέθρεψεν* (α suprascr.) *I ἔθρεψα C ἐνέτρεψα* edd sed *ἔτρεψα* coni Re 10 *ἐπὶ Ma* | *ἐμαυτοῦ I* sed γρ *ἑαυτοῦ* suprascr m² | *ἤνεγκεν* (α suprascr.) et 11 *εἶχεν* (ο suprascr.) *I* 11 *ἐπικουρίας Ma* sed *κουρίας* corr m² 12 *σώφρονα, κόσμιον I* | *ἐμίσουν L* sed *ἐμί* in ras m² *ἐμίσει* (ουν suprascr.) et 13 *ἐξήλαυνεν* (ον suprascr.) et *ἐποίει* (ουν suprascr.) *I* 13 *λαυνον — ἐκ* in marg add *Ma*⁴ 14 *ἐμοῦ CMa*

ἦν ἀγριώτερος ἐγὼ τῶν θηρίων, οὐκ ἦν οἷος παραβῆναι τῆς φύσεως τὸν νόμον ὃν ἐκεῖνα τηρεῖ στέργοντα, κηδόμενα, προπολεμοῦντα τῶν τέκνων. οὐδ' ἠγνόουν ὅτι πᾶσα ἀποκήρυξις κοινὴ τοῦ τε ἀπιόντος τοῦ τε ἀπελαύνοντός ἐστι λύπη. ὥσπερ γὰρ ὁ λοιδορῶν ἐκεῖνον τὸν ἔξω τῆς οἰκίας ἂν εἴποι, οὕτως ὁ τοῦτον καὶ οὗτος ἂν εἴποι τὸν τοιοῦδε πατέρα. 24. πῶς οὖν ταῦτα ἑκὼν ὑπέμεινα; οὐχ ἑκών, ὦ ἄνδρες Ἀθηναῖοι, μὰ τοὺς θεούς· ἀλλὰ τί δὴ παθών; αὐτὸν ἐρωτησάτω Θεμιστοκλῆς, οἶδε γάρ, καὶ ῥαδίως ἀποκρίναιτ' ἂν αὐτὸς αὑτῷ. τί οὖν ἐχρῆν με ποιεῖν; ἐπαινεῖν τὰ ἁμαρτήματα καὶ παρακαλεῖν ἐπ' αὐτῶν διατρίβειν καὶ χορηγεῖν εἰς αὐτά; καὶ τίς οὐκ ἂν ἔκρινέ με δικαίως; πῶς δ' οὐκ ἂν οὗτος αὐτὸς πρὸ τῶν ἄλλων ἁπάντων, εἰ κατέχειν δέον παρεῖχον εἰς ἃ μὴ προσῆκεν ἄδειαν, καὶ βελτίω ποιεῖν, ἐγὼ δὲ προσετίθην τοῖς χείροσι; 25. τίς δ' ἂν ἔδοξα περὶ τὸν δῆμον εἶναι ῥάθυμος ὢν ἐν τοῖς ἐμαυτοῦ καὶ κακός; τίς δ' ἂν φίλου παίδων ἐπίτροπος πονηρὸς τῶν ἐμαυτοῦ γεγονώς; πατρὸς δὴ ποιῶν ἔργον ἐπηνώρθουν τὸν υἱόν. καὶ τὸ μὲν ὄνομα

---

1 comma post θηρίων posui colon *ILau* signum interrogationis reliqui libri edd | οἷος scripsi auctore Gasda ὡς libri edd 2 στέργοντα — 3 τέκνων] οὐδὲ γὰρ ἐκεῖνα φέρει τὴν τῶν παίδων στέρησιν *I* 3 οὐκ *I* 4 τ' (1 et 2) *C* 5 ὥσπερ — 7 πατέρα labem contraxisse censet Gasda 6 οὗτος *Ma* | τοῦτον *Lau* sed ο(2) in ras m² 7 οὕτως *L* sed ex οὗτος corr m², *ILau* num αὐτὸς? | τοῦ ante τοιοῦδε *Lau* sed τοῦ τοι in ras m², in marg inser *Ma*⁴ edd delevi 8 αὐτὰ *C* 9 αὐτὸν *Lau* 10 καὶ om *B* | ἀποκρίναιτο *C* 11 αὑτῷ reposui e *C BL* sed in hoc ' in ras m², *ILau* αὐτῷ *Ma* edd 12 αὐτὰ *I* 13 ταῦτα *MaB* 14 αὐτὸς *L* sed αὐ in ras m² | καὶ ante πρὸ *L* et inser *Ma*⁴ edd delevi 15 εἰς ἃ scripsi e *B* ὡς ἂν *CILau* ἃ *Ma* ὧν in ras *L*² edd 16 num ποιεῖν ⟨δέον⟩ ἐγὼ προσετίθην? | προσετίθην *I* sed ν add m² 17 δὲ *B* edd 19 ἐμαυτοῦ scripsi e *CMaBILau* ἐμῶν *L* edd | δὲ *B*

ἀηδές, ἀποκήρυξις, τὸ δὲ ἔργον καλόν, ἐπανόρθωσις. πεῖθε τούτους ἢ ὡς ἐν καλοῖς |τότε διετρίβομεν ἢ ὡς οὐ κωλύειν ἀπὸ τῶν φαυλοτέρων ἔδει. εἰ δὲ μισοῦντος τὰ τοιαῦτα εἶναι φήσεις, ἐν τοῖς μισοῦσιν, οἶμαι, καὶ τοὺς διδασκάλους θήσομεν, οἳ σκύτος κάθηνται φέροντες καὶ τοὺς ἀργοτέρους τῶν νέων ἐπεγείρουσι πληγαῖς καὶ οὐδεὶς αὐτοῖς τῶν πατέρων | χαλεπαίνει, R IV 381 *ἀλλ' ἴσασιν οὐχ ἧττον χάριν τῶν πληγῶν ἢ τῶν μαθήσεων.* 26. *ἀλλ' οὐδὲ γὰρ τοὺς οἰκέτας, ὅταν πέδαις, ὦ Θεμιστόκλεις, καὶ μύλωνι κολάζωμεν, οὐκ ἀπολλύναι βουλόμενοι ταῦτα ποιοῦμεν, ἀλλ' ὅπως ἂν ἀμείνοσι τούτοις χρησαίμεθα. καὶ οὕτω πανταχοῦ τοῦτο τῶν κηδομένων ἐστίν, ὥσθ' οἱ πάντων εἶναι δοκοῦντες ἡμερώτατοι τροφεῖς καὶ βοῇ καὶ ἀπειλῇ καὶ τῷ ῥαπίσαι καὶ πολλοῖς ἑτέροις ἃ τρέφουσι λυποῦσι καὶ διὰ τῶν δακρύων τῶν ἐφ' ἑκάστῳ τούτων φερομένων εἰς τὴν τῶν βελτιόνων ἐγκαθιστᾶσι συνήθειαν.* 27. *τί οὖν ἠδίκουν ἀλγῶν μὲν ἐφ' οἷς ἠτύχουν, πειρώμενος δὲ λῦσαι τοῦτο τὸ δυσχερές; οὐ κοινὸν Ἑλλήνων καὶ*

---

6 cf. t. IV 186, 2 sq.

---

2 *πεῖθε τούτους* scripsi auctore Re *πείθῃ τούτοις* libri sed in *πεῖθε τούτους* corr L^2, edd *πεῖθε ἐν τούτοις* Iacobs Lect 117 | *ἢ* inserui e *CMaILau* om *BL* edd | *διατρίβων* Iacobs | *ἐγκαλεῖς C* | *κακοῖς I* 3 *ἀποφαυλοτέρων I* | *μισοῦντος* reposui e *CBLILau* cum Iacobsio Gasda Cobeto Coll 293 coll. p. 497, 20 *μισοῦντα Ma* edd 5 *σκῦτος I* cf. t. II 151, 20; IV 186, 4 8 *ἧττον* scripsi e *CILau* *ἧττω MaBL* sed in hoc ʹ et *ω* in ras m^2, edd 9 *ἀλλ'* om *Ma* | *οὐδὲ* om *Ma* *οὐ C* *καὶ B* 10 *ὦ θεμιστόκλεις πέδαις C* | *μύλωνι* cf. ad t. II 543, 10 | *κολάζωμεν* reposui e *CMaLLau* *κολάζομεν B* edd *κολάζοιμεν I* 12 *τούτοις* reposui e *CBLILau* *τούτους Ma* edd | *χρησώμεθα Ma* et Gasda at cf. t. II 21, 9 | *τοῦτο* om *B* 14 *ἡμερώτεροι C* 17 *ἐγκαθιστῶσι BI* sed in hoc *ω* ex *α* corr m^2 19 *λῦσαι* (*λύσαι BI*) *τοῦτο* scripsi e *CMaBILau* *τοῦτο λῦσαι L* edd

βαρβάρων αὐτοῖς καὶ παισὶ τὰ βελτίω προξενεῖν; οὐ τοὺς μὲν ἀναμαρτήτους τῶν παίδων ἐπαινεῖν, τοὺς δὲ ὀλισθαίνοντας παιδεύειν; οἱ δὲ νομοθέται, πρὸς Διός, οὐ πατέρων ὡς ἀληθῶς γνώμῃ χρώμενοι τὰς τιμωρίας ἔγραψαν ἢ ζῶντας ποιοῦντες βελτίους ἢ μὴ δυναμένοις δέξασθαι μεταβολὴν ἀμείνω κρίνοντες τὸν θάνατον; 28. λέγεται δὲ καὶ τοὺς θεοὺς τοῖς ἀδικοῦσιν ἐπιπέμπειν ζημίας ὑφ' ὧν ἐπὶ τὸ τὰ δίκαια τιμᾶν προτρέπονται. καίτοι τοὺς θεούς, ὧν ἄνθρωποι κτήματα, ποῦ προσῆκόν ἐστιν οἴεσθαι τὰ αὑτῶν ἐθέλειν φθείρειν; ἀλλ' ὅμως κολάζουσιν. οὐκοῦν προνοουμένων ὁ λογισμός. οὐδεὶς δέ, οἶμαι, νοῦν ἔχων τοῖς οὕτω διακειμένοις ἀφεὶς εἰδέναι χάριν ἐπιτιμᾷ.

29. Ναί φησιν, ἀλλ' ἐξῆν ἄλλως ἐπανορθοῦν, ῥήμασι πικροῖς, λόγοις ἀνιαροῖς, ὀργῇ μεγάλῃ, θυμῷ πολλῷ. καὶ τί τούτων οὐκ ἀνάλωται; τί δὲ οὐ πέπρακται; τί δὲ παραλέλειπται; πόσαι μὲν ταῦτα ἔσχον ἡμέραι, πόσαι δὲ νύκτες βοῶντος, ἀγανακτοῦντος, ἀπειλοῦντος, στένοντος, ὡς ἀποκηρύξω λέγοντος μέν, μέλλοντος δέ; ἀλλὰ γὰρ οὐκ ἔχω τί χρήσωμαι. λυπεῖν τε γὰρ οὐκ ἐθέλω τουτονὶ καὶ δι' ὧν ἀπολογοῦμαι, ἀνάγκη τοῦτο συμβαίνειν. ὅπερ οὖν ἐξ ἀρχῆς ἐδεήθην, ἔστω μοι παρρησία. μόνως γὰρ ἂν οὕτω τύχοιμι τῶν

1 αὐτοῖς scripsi e *CBL* sed in hoc ʽ in ras m², *I* αὑτοῖς *MaLau* edd | τοῖς ante παισὶ *I* 5 δυναμένους *CBILau* 8 ζημίας scripsi e *CBLLau* ut coni Re ζημίαν *MaI* edd | ἐφ' *Lau* | ἐπὶ τὸ om *I* 9 οἱ ante ἄνθρωποι *C* | κτήματά που *C*
10 αὐτῶν scripsi e *C* αὑτῶν reliqui libri sed ' in ʽ corr *I*², edd 11 κομίζουσιν *Ma* sed γρ κολάζουσιν in marg m⁴ | οὐκ οὖν *Lau* 12 οὕτως ἠδικημένοις *Ma* 17 καὶ post δὲ in ras *I*² 18 ἐμοῦ post βοῶντος inserendum coni Gasda at cf. t. II 91, 12; 454, 14; IV 89, 18; 104, 11; 348, 17 20 χρήσωμαι scripsi cum Gasda χρήσομαι libri edd 22 τοῦτο ἀνάγκη *CMaB* | ἐξαρχῆς *CMaBL* edd 23 ἂν om *C*

διαλλαγῶν. 30. *ἀναμνήσθητι τοίνυν ὡς οὐκ εὐθὺς | συνῆψα ταῖς πρώταις αἰτίαις τὴν ἀποκήρυξιν,* R IV 382 *ἀλλ' ἠρξάμην μὲν ἐκ δεήσεων, προὔβην δὲ εἰς βλέμμα χαλεπόν, ἔπειτα εἰς ῥῆμα, τρίτον ἐπὶ τούτοις, οὐκ ἐκοινώνησα τραπέζης, οὐ προσεφθεγξάμην, εἶθ' ὡς ἄν τις ἀπειπών, παρέδωκα τοῖς οἰκείοις τὰς νουθεσίας. τοῦ πράγματος δ' οὐ λήγοντος ἦλθον ἐπὶ τὸ μόνον δυνάμενον κωλύσαι τὴν νόσον, οὐχ ἵνα ἀποστερήσαιμι τῶν πατρῴων τοῦτον, ἀλλ' ἵνα ἀγαθὸς κληρονόμος φανείη.* 31. *καὶ οὐκ ἔδοξα τοῖς δικασταῖς ληρεῖν οὐδ' ἀδικεῖν ἐν τῷ μιμεῖσθαι τοὺς ἰατρούς. τί οὖν ἐστι τὸ ἐκείνων; ὅταν μὲν εἴκῃ τὰ πάθη τοῖς φαρμάκοις, οὕτως ἀπίασι καὶ πλέον οὐδὲν ἐνοχλοῦσιν· ἐπειδὰν δὲ μεῖζον ᾖ τὸ κακὸν τῆς ἀπ' ἐκείνων βοηθείας, ἔκαυσαν, ἔτεμον, οὐδὲν ὤκνησαν τῶν ἀλγεῖν μὲν ποιούντων, τοῦ δεινοῦ δὲ κρατούντων. καὶ ἡμῖν τοίνυν εἰ μὲν ἀπέχρη τὰ ἄλλα, τοῖς προτέροις ἂν ἐχρώμεθα μόνοις· καλούμενοι δὲ ἐπὶ μείζω τί ἐμέλλομεν ποιεῖν; οὐχ ὧν ἐμεμνήμην ἰατρῶν ἄρτι, τούτοις ἀκολουθεῖν, ὧν τοῖς ἀρρωστοῦσιν οὐδὲν οὔτε λυπηρότερον οὔτε χρησιμώτερον;* 32. *ὁρῶ δέ τι παραπλήσιον καὶ περὶ τοὺς*

---

1 *διαλλαγῶν Ma* sed *ῆς* supra *ῶν* | ante *ἀναμνήσθητι* ras 4—5 litt *Lau* 7 *δ'* inserui *δὲ* ante *πράγματος* Gasda om libri edd 8 *κωλῦσαι CMaBLLau* edd at cf. t. I 272, 5; 402, 3; 487, 12; t. II 260, 8; 411, 5; t. III 211, 8; 285, 18; t. V 116, 12 | *κωλύσαιμι I* sed *γρ ἀποστερήσαιμι* suprascr m[2] 9 *τοῦτον τῶν πατρῴων I* | *τούτων B* 10 *οὐκ C* 11 *ἔστι C* | *τὸ* scripsi e *CBILau* *τὰ MaL* edd 12 *οὕτως* scripsi *οὕτω* libri edd 13 *ἀπίασι* scripsi cum Gasda coll Soph. Phil. 1067. Ant. 315. Eur. Alc. 680. Soph. Oed. Col. 1279 *ποιοῦσι* (*ποιοῦσιν B*) libri edd | *καὶ — ἐνοχλοῦσιν* om *B* | *πάλιν I* 15 voce *ἀλγεῖν* incipit *Cr* fol. 15[r] sed pauca dispici queunt 16 *ἀπέχρῃ Ma* sed *ε* corr m[4] 17 *πραοτέροις Ma* 20 *λυπηρότερον L* sed *ρότερον* e *ρὸν* corr m[2] *λυπηρὸν CMaBILau* 21 *τι* cum ras 3 litt *C*

ἵππους συμβαῖνον. καὶ γὰρ ἐκείνων τὰς ἀταξίας ὁ ἱππεύων πρῶτον μὲν πειρᾶται φωνῇ κατασχεῖν, ἔπειτα μάστιγι, τούτων δὲ οὐκ ἀποχρώντων τῷ χαλινῷ τὴν γνάθον καθήμαξεν, ὁ δ' ἐσωφρόνησε. καὶ οὐδεὶς αὐτόν φησι λυμαίνεσθαι τὸ θρέμμα τούτοις, ἀλλ' εἶναι διδάσκαλον ἵππου σπουδαῖον. 33. εἰς ταῦτα καὶ τὰ τῆς ἀποκηρύξεως, ὦ Θεμιστόκλεις, φέρει, τὴν ἀταξίαν ἀποθέσθαι τὸν νέον καὶ γενέσθαι καλὸν κἀγαθόν. τοῦτο οἱ πατέρες ζητοῦσι, τοῦτο πρὸ τῶν πατέρων ὁ νόμος. οὐ γὰρ δή που κατὰ τῶν γενῶν ἐγράφη διασπῶν τε αὐτὰ καὶ τέμνων. οὐ γὰρ τοῦτ' ἔργον νόμου βλάπτειν τοὺς θεμένους, ἀλλ' εὖ ποιεῖν, οὐδ' ἵνα αὐτὸς ἀντὶ τῶν ἐκβαλλομένων γίγνοιτο τῶν χρημάτων κύριος, γελοῖον γάρ, ἀλλ' ὅπως ἐπανίοιεν εἰς τὸν πατρῷον οἶκον ὑγιαινούσαις ταῖς γνώμαις. σημεῖον δέ, οὐ γὰρ
R IV 383 ἄλυτον | ἔγραψεν εἶναι τὴν ἀποκήρυξιν, ἀλλ' οἷς ἐκβάλλειν, τούτοις ἔδωκεν ἀπολαβεῖν καὶ τοῖς αὐτοῖς ἀποστῆναί τε τῆς τοῦ πατρὸς τάξεως καὶ πάλιν αὐτὴν κομίσασθαι.

---

4 Plat. Phaedr. p. 254 E

---

1 ὁ ἱππεύων τὰς ἀταξίας *I* 2 τῇ ante φωνῇ *I* 4 ὁ δ' scripsi cum Iacobsio Lect 117 ὅδ' libri edd | καθήμαξε καὶ ὧδ' Iacobs Add 127 | αὐτῶν *C* 5 τὸ θρέμμα τούτοις λυμαίνεσθαι *I* 6 ἵππου reposui e libris ἵππον *Cr* edd ἵππων coni Re 8 τῶν νέων *I* sed in τὸν νέον corr m[2] 10 γὰρ om *C* | νεῶν *Ma* 11 αὐτὸν *Lau* | καὶ γὰρ οὐ τοῦτ' *I* 12 χρωμένους *L* sed χρω in ras 14 ὅπως reposui e *Ma BLILau*, ut coni Re ὅπερ *Cr* edd ὥσπερ *C* | ἐπανίοιμεν *Ma* sed εν supra μεν m[4] | πατρῶον *I* 15 ὑγιαινούσῃ *Ma* | οὐδὲ *I* 16 ἔγραψεν εἶναι scripsi e *CMaBLILau* ἔγραψε *Cr* edd 17 „*fort.* τούτοις ἔδωκε καὶ ἀπολαβεῖν *scil.* τοὺς παῖδας. *Alias si* οἷς *non ad* γονεῦσι *referatur, sed ad* ῥήμασι, *tum leg. erit* ἐμβάλλει [leg. ἐκβάλλει]. *quibus verbis eiicit h. e. eiiciendi liberos facultatem dat patribus, iisdem verbis etiam eos resumendi dat facultatem*" Re

34. *Ἀλλ' εἰσὶν οἳ παίδων κακίας εὐχερῶς ἤνεγκαν. οὐ λέγεις μοι πατέρας, ὦ Θεμιστόκλεις, ἀλλ' ἐχθροὺς καὶ πολεμίους καὶ ὧν ἐγέννησαν ὀλέθρους καὶ οὓς ἐγὼ φαίην ἂν εἶναι τῶν ἀνδροφόνων κακίους, οὓς οὐδὲ τὰ δίκαια τῆς φύσεως ἠνάγκασε γενέσθαι χρηστούς. σὺ μὲν οὖν φὴς εἶναί τινας οἳ παισὶν ἐπέτρεψαν ὅ τι βούλονται δρᾶν, εὕροι δ' ἄν τις ἴσως καὶ παιδὸς πατέρα προαγωγόν, εἰ καὶ μὴ παρ' ἡμῖν, μὴ γὰρ εἴη τις τοιοῦτος Ἀθήνησιν, ἀλλ' ἑτέρωθι.* 35. *τί οὖν; παρὰ τοῦτο τοὺς πονηροὺς μιμησόμεθα; καὶ σὺ μὲν οὐκ ἐμιμοῦ τοὺς δειλοὺς τῶν στρατηγῶν, ἐμὲ δὲ ἠξίους τοὺς κακοὺς τῶν πατέρων; καὶ μὴν τοῖς μὲν τῶν οὐκ εὖ πεφυκότων πατράσι κἂν συγγνοίη τις οὐκ ἀποκηρύττουσιν εἰδόσιν ὡς ἀμήχανον μεταστῆσαι τὴν φύσιν καὶ ποιῆσαι μεγάλην ἐκ μικρᾶς· ἡμῖν δὲ ὑπὲρ μεγίστων ἦν, ὦ Θεμιστόκλεις, ὁ λόγος τῆς σῆς φύσεως, ἣ μαντεύεσθαι παρεῖχεν ἃ δὴ δέδεικται. οὔκουν ἄξιον ἦν αὐτὴν παριδεῖν ἀπολλυμένην παρ' ἐμοί;* 36. *πάντως δὲ καὶ τοὺς γεωργοὺς ὁρᾷς οὐ τὸν αὐτὸν ὑπὲρ ἁπάσης γῆς ἔχοντας λόγον, ἀλλὰ τῆς μὲν λεπτῆς ἀμελοῦντας, τὴν δ' ἀγαθὴν ἐκκαθαίροντας. ἴσασι γὰρ τὴν*

---

4 *ἂν ἐγὼ φαίην I* 5 *ἠνάγκασαν C* 6 *φὴς* libri edd cf. ad p. 33, 7 8 *πατέρα* om *B* | *ἡμῖν* reposui e libris, ut coni Re *ἡμῶν* edd 9 *τίς Cr τὶς ILau* | *τοιοῦτος* om *Ma* 10 signum interrogationis om *CILau* punctum *Ma* | *τοῦτο* inser *Ma*[4] | *μιμούμεθα C* 12 *δειλοὺς I* | *μὴ Ma* 13 *τῶν* om *I* inser *Ma*[2] | *κἂν* inserui e *C* *καὶ Ma* om reliqui libri edd | *ἂν* post *τις Ma* 14 vocibus *εἰδόσιν ὡς* desinit *Cr* fol 15[r] quae in folio 15[v] exstant erasa sunt ut dispici iam non queant 17 *δὴ* inserui e *MaBILau* om *CL* edd | *δέδοκται L* sed o in *ει* corr m[2], *ILau* 18 *ἣν αὐτὴν C* *ἢ ναύτην LILau* | *ἢ ναῦν* post *αὐτὴν* libri edd delevi auctore Iacobsio Lect 117 ut orta e dittographia duarum vocum antecedentium *ἣ ναῦν* (*ceu tamquam*) coni Re | *ἐμοὶ* ex *ἐμοῦ* corr *Lau* | signum interrogationis posui colon libri edd

μὲν οὐδὲν ἢ μικρὸν ἀντὶ τῶν πόνων παρέχουσαν, τὴν δὲ λαμπρῶς ἀμειβομένην τὰς περὶ αὐτὴν σπουδάς. ἐμιμούμην δὴ τοὺς γεωργοὺς περὶ τὴν σὴν φύσιν διὰ τῆς ἀποκηρύξεως καὶ κατ' ἐκείνους ἐθεράπευον τὰς τῆς φορᾶς ἀφορμάς, ὅπως ἀναδοθεῖεν εὖ καὶ καλῶς οἱ R IV 384 *καρποὶ τῶν ἐμποδισμάτων ἀπαλλαγέντες | ἁπάντων.* 37. *ἀντὶ τούτων οὖν ἀγανακτεῖς καὶ τῶν ἔργων μοι μαρτυρούντων οὐ συγχωρεῖς ταῦτα πεπρᾶχθαι καλῶς; εἰ μὲν γὰρ μὴ συνήνεγκέ σοι τῆς παιδείας ὁ τρόπος, μάλιστα μέν, ὦ ἄνδρες δικασταί, τί τοῦτο πρὸς τὸν ὀνῆσαι προαιρούμενον; εἰ γὰρ ὁ μὲν διδάσκαλος ἐπιμελοῖτο τοῦ χοροῦ καὶ δι' ὧν ἂν ὡς ἄριστ' ἐπιδιδοῖ δεικνύοι, μαλακίζοιντο δὲ οἱ χορευταὶ καὶ μὴ προσέχοιεν ἢ καὶ νὴ Δί' ἐρίζοιεν πρὸς ἀλλήλους ἀντὶ τοῦ συμπνεῖν, οὐ τοῦ διδάξαι βουληθέντος τοῦτο ἔγκλημα, τῶν δὲ οὐκ ἐθελησάντων μαθεῖν.* 38. *νῦν δ' οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν ὡς οὐκ ἔτυχον τοῦ σκοποῦ. τετύχηκα γὰρ τῶν θεῶν συλλαβόντων ὑπὲρ ἅπαντα τοξότην. παρὰ γὰρ τῆς λυπηρᾶς ἐκείνης ἀποκηρύξεως,*

---

1 *μικρὸν* scripsi e *CMaBLLau* *μικρὰν I* edd 2 *παρ' C* 3 *τοὺς γεωργοὺς L* Mor et coni Gasda, nisi *αὐτοὺς* scribatur *τὸν γεωργὸν CMaBILau* *γεωργοὺς* om Re *τούτους* coni Sintenis | *τὴν φύσιν τὴν σὴν C* | *σὴν* om *L* 4 *καὶ* om *Ma* 5 *συμφορᾶς C* | *ἂν δοθεῖεν C* 7 *γοῦν C* 9 *συνήνεγκε I* sed ʹ supra ε eras | *σοι* eras *I* 11 *γὰρ ὁ μὲν* scripsi e *CMaBILau* *μὲν γὰρ ὁ L* edd 12 *ἐπεμελεῖτο B* | *ἂν* om *B* | *ἄριστα διδοῖ CMa* sed in hoc ος supra α(2) m[4], *BILau* 13 *δεικνύη C* *δεικνύει B* 14 *καὶ* om *C* | *δία I* 15 *διαλάξαι* (λ supra) *I* *διαλλάξαι Ma* *διαλέξαι Lau* 17 *δὲ I* | *τοῦ* reposui e libris, ut coni Re *ποῦ* Mor *που* Re 18 *τετύχηκα L* sed α in ras m[2] | *συλλαβόντων* scripsi e *CMaBLLau* Par 3018 cum Bastio append. ep. crit. ed. Schaefer Lipsiae 1809 p. 41 coll. p. 276, 8 *συμβαλόντων I* *συμβαλλόντων* edd 19 *παρὰ* in ras *L[2]* | *γὰρ* inserui e *CMaBILau* om *L* edd

ὦ Θεμιστόκλεις, πάντα ἡμῖν τὰ πανταχοῦ γῆς καὶ θαλάττης θαυμαζόμενα, οἱ περὶ τῶν ἐκ Λαυρίου χρημάτων λόγοι δι' ὧν ἔπεισας Ἀθηναίους ἀντὶ τοῦ νέμεσθαι ναῦς ποιεῖν, ὁ τοῦ Μαραθῶνι τροπαίου ζῆλος, ῥημάτων ἐξήγησις, ναυμαχίαι δύο περὶ Εὔβοιαν καὶ νῖκαι, ψήφισμα μετοικίζον εἰς τὴν θάλατταν τὴν πόλιν, ὁ τῶν ἔργων κολοφών, ἡ Σαλαμίς, περὶ ἣν τὴν Ἀσίαν ἐβάπτισας. 39. *σὺ τὸν νομισθέντα θεὸν τῷ πλήθει τῆς δυνάμεως ἣν ἦγε, τὸν ἀναλώσαντα πινομένους ποταμούς, τὸν ὑπὸ γῆν μὲν δείξαντα θάλατταν, τριήρεις δὲ πλεούσας δι' ὀρῶν μέσων, τὸν τὰ τῶν νεφῶν πρὸς τὸν ἥλιον ἐργαζόμενον τοῖς βέλεσι, σὺ τοῦτον ἀνέστησας μὲν ἐκ τοῦ θρόνου ναυμαχῶν, ἠνάγκασας δὲ πλεῦσαι τὸν τοῦ τρέμοντος πλοῦν.*

40. *Τούτων ἴσθι μὲν καὶ τῇ σαυτοῦ σοφίᾳ καὶ τοῖς ἀνέμοις χάριν, ἴσθι δὲ καὶ τῇ τοῦ πατρὸς ὀργῇ.*

---

3 Her. VII 144. Aristid. t. II p. 231, 11 4 Her. VII 143 5 Her. VIII 11 et 16. Aristid. l. l. p. 251, 22 6 Her. VIII 61 7 Her. VII 21 9 cf. p. 499, 2. Her. VII 21 10 cf. p. 499, 4. Her. VII 22. Aristid. p. 242, 1 11 Her. VII 226. Aristid. p. 242, 3 sq. 12 cf. p. 499, 3 13 Her. VIII 90 14 Aristid. p. 239, 7 sq.

---

1 *πάντα*] *ταῦτα* coni Gasda 2 *περὶ* inserui e *CB* ut coni Re om reliqui libri edd | *λαβρίου Lau λαυτίου I Λαυρείου* coni Re 3 *οἱ* ante *λόγοι Ma* sed del | *λόγιοι I* 4 *ποιεῖν* om *C* inser *Ma*[4] | *ἐν* ante *μαραθῶνι MaB* cf. p. 464, 17 | *μαραθῶνι L* sed *ι* inser m[2] | *τρόπαιον I* 5 *ἡ τῶν* ante *ῥημάτων* Gasda *χρημάτων* libri sed *χρ* in *ῥ* corr *L*[2] corr Mor | *αἱ* ante *ναυμαχίαι* Gasda | *ὑπὲρ I* 6 *νίκαι* libri edd | *καὶ* ante *ψήφισμα CI*, *τὸ* Gasda *ψήφισμα L* sed *ψη* in ras m[2] *ψηφίσματα B* | *μετοικίζοντα B* | *θάλασσαν LI* 7 *καὶ* ante *ἡ L* sed eras, *I Lau* 10 „*ὑπὸ aut delendum aut cum ὁπλίταις permutandum*" Jacobs Add 354 *ὑπὲρ* coni Gasda | *θάλατταν* scripsi e *MaB* *θάλασσαν* reliqui libri edd 11 *πλεούσας L* sed *λε* in ras m[2] 12 *τὸν* om *MaI* 13 *τοίνυν* ante *τοῦτον C* | *θρόνου L* sed *θ* in ras m[2] *χρόνου CMa* sed in hoc *γρ θρόνου* suprascr m[4], *BILau* 16 *ἀνέμοις* scripsi e *CMaB* *ἐμοῖς LILau* edd

καὶ νόμιζε σπέρμα τούτων γενέσθαι τὴν ἀποκήρυξιν. ἦν ὥρα πεπαῦσθαι. οὐ γὰρ ἀπὸ τῶν πρώτων ἔδει, R IV 385 *φησίν, ἢ | δευτέρων ἢ τρίτων; πάνυ γε. καὶ παρ' ἐμοί γε ἐπέπαυτο καὶ τῇ ἐμῇ ψήφῳ μετῆν σοι τῆς οἰκίας. ἔχαιρον γὰρ ἐφ' ἑκάστῳ καὶ ἠβρυνόμην, ὥσπερ ἂν εἰ παρ' ἐμοῦ ταῦτα ἐξιὼν ἔπραττες, καὶ πρὸς τοὺς συνήθεις ταῦτ' ἔλεγον· ὁ παῖς μοι νενίκηκε, καὶ πάλιν· ὁ παῖς μοι κεκράτηκε. τοὐμοῦ παιδὸς ὁ μέγας ἥττηται στόλος. εἶπεν οὖν οὑμὸς υἱὸς καὶ πέπεικε. πείσας τὸ ἔργον προσέθηκεν. εὔδαιμον ἀπέφηνε τοῖς κατορθώμασι τὸ γένος.* 41. *ταῦτα ἔλεγον, ταῦτα ἤκουον. καί τινες προσιόντες μοι καὶ μεμνημένοι τῶν σῶν ἀντὶ τοῦ Θεμιστοκλέους τὸν παῖδα τὸν ἐμὸν ὠνόμαζον παρ' ἐμοῦ τοῦ προσρήματος τὰς ἀρχὰς εἰληφότες. δικαστήριον δὲ ὁρᾶν καὶ δικαστὰς καθίζειν καὶ καλεῖν ἐπὶ τὸν οἶκον τῶν μικρῶν τούτων οὐκ ἐδίδου τὰ μείζω καιρόν, πυκνὴ γὰρ ἡ διαδοχὴ τῶν φροντίδων καὶ πόνων. καὶ παρεδίδου σε τὰ βουλεύματα μὲν ἔργοις, ἔργα δὲ πάλιν*

---

3 *τρίτων*] *ἐπαύσω δηλονότι* suprascr *I*[2]

---

sed „*aut delenda sunt vocabula καὶ τοῖς ἐμοῖς aut deest aliquid*" Re *θεοῖς* coni Iacobs Lect 118 et Sintenis *ἔργοις* Cobet Coll 294 | *ἴσως I* | *στοργῇ L*

1 *γεγενῆσθαι MaB* 2 *ἔδει* om *I* 3 *τῶν* ante *δευτέρων L* edd delevi 4 *πέπαυτο Ma* 5 *ἠβρυνόμην MaLI Lau* cf. ad t. II 265, 7 et 327, 9 6 *ἐμοὶ C* 7 *ταῦτα CMa* | *νενίκηκε* scripsi e *CB* *νενίκηκεν* reliqui libri edd | *καὶ πάλιν* inserui e *C* *πάλιν MaB* om *LILau* edd 8 *τοὐμοῦ* scripsi e *CI* *τοῦ ἐμοῦ* reliqui libri edd 9 *οὖν* inser *Ma*[4] | *οὑμὸς* scripsi *ὁὐμὸς L* *οὐμὸς CBILau* *ὁ ἐμὸς Ma* edd 10 *πέπεικε* reposui e libris (*πέπεικεν Ma*) *πεποίηκε* edd 12 *ταῦτ'* (2) *I* 13 *μοι* inserui e *CMaBILau* om *L* edd | *μεμνημένοι C* | *τοῦ* et 14 *τὸν* (1 et 2) om *I* 16 *λαλεῖν Ma* 19 *ἔργα I* sed *γ* inser m[2]

βουλεύμασι, καὶ ἐῴκεις νηὶ κῦμα τὸ μὲν διαφευγούσῃ, πρὸς δὲ τὸ μαχομένῃ. καὶ ἦν ἀνάγκη τοὺς μὲν ἐρωτᾶν, τοῖς δὲ ἀποκρίνεσθαι, τοῖς δὲ προστάττειν, τοὺς δὲ καλεῖν, τοὺς δὲ ἐκπέμπειν, καὶ τοῖς μὲν ἐπιτιμᾶν, τοὺς δὲ ἐπαινεῖν, τοῖς δὲ πιστεύειν, τοῖς δὲ ἀπιστεῖν, τοὺς μὲν ὑφορᾶσθαι, τοῖς δὲ θαρρεῖν, τοῖς μὲν ἅπερ ἐφρόνεις λέγειν, πρὸς δὲ τοὺς ἀπάτῃ χρῆσθαι. καὶ οὐδεὶς ἂν ἐξαριθμήσειεν ἃ τότε σου τὴν γνώμην καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰ ὦτα ἐζήτει. ᾧ τοίνυν οὐκ ἐνῆν ὑπὸ πλήθους τῶν περιεστηκότων πραγμάτων οὐδ᾽ ἀναπνεῖν, τούτῳ προσῆκε προστιθέναι φορτίον, λόγους ἀναβολὴν δεχομένους; καὶ τοῖς οὐκ ἐπείγουσι τὰ κατεπείγοντα βλάπτειν ἔδει; καὶ τίς οὐκ ἂν ἔφησέ με μηδὲ καιρὸν εἰδέναι; 42. *διὰ τοῦτο τὴν συνέχειαν ἐκείνην τῶν πραγμάτων οὐδενὶ διακόψας μετὰ τὴν βασιλέως φυγὴν τῷ καιρῷ χρῶμαι. οὐδὲ γάρ, εἰ παλαιστὴς ὢν ἐτύγχανέ μοι Θεμιστοκλῆς, εἶτ᾽* | *ἐν τῷ τῆς ἀποκηρύξεως* R IV 386 *ἠγωνίζετο χρόνῳ, ἐγὼ δ᾽ ἐθεώμην, ὁ δὲ ἐπῃνεῖτο μέν, οὔπω δὲ εἶχε τὸν στέφανον, εἰσελθὼν ἂν εἰς τὸν ἀγῶνα τὴν ἀποκύρυξιν ἔλυον πρᾶγμα ἐμβαλὼν πολὺ τῶν ἐν ταῖς χερσὶ κεχωρισμένον, ἀλλὰ τοῦτ᾽ ἂν εἰκότως ἐποίουν ἐπὶ τῷ κηρύγματι. τοῦτ᾽ οὖν καὶ νῦν ἐπὶ τῷ στεφάνῳ ποιῶ, στέφανον γὰρ ἔγωγε καλῶ σὸν τὸν βασιλέως δρασμόν.*

7 cf. ad p. 72, 2

1 *βουλεύμασιν L* | *φευγούσῃ C* 2 *πρὸς* om *I* *τὸ* (*πρὸς* supra) *Ma* 6 *τοὺς* e *τοῖς*(1) corr *B* | *ἐφρόνει B* 7 *καὶ* om *CMa* 8 *σου* scripsi e *C* *σοι* reliqui libri edd 10 vocibus *τῶν περιεστηκότων* rursus inc *Cr* fol 43ᵛ 13 *ἔφησεν Cr* 15 *φυγὴν Ma* sed *σι* suprascr m² *σιγὴν LILau* 18 *ὅδ᾽ I* 19 inde a voce *στέφανον* scriptura in *Cr* valde evanuit 21 *κεχωρισμένων C* 22 *τοῦτο BL* sed in hoc *ο* e *᾽* corr 23 *τῷ* inser *Ma²* | *καλῶ σὸν* scripsi e *Ma* sed *σοι* supra *σου* m³, *BILau* *καλῶ σοι L* sed *οι* in ras m², edd *κολοσσὸν C*

43. *Εἶξον δή, πρὸς τῶν θεῶν, πρὸς τῶν ναυμαχιῶν, πρὸς τοῦ Πυθίου, πρὸς Ἰάκχου, πρὸς Βορέου, πρὸς τῆς θείας Σαλαμῖνος, σβέσον τὴν ὀργήν, γνώρισον τὸν πατέρα. πατὴρ ἐγὼ σός, εἰ καὶ παρωξύνθην ποτέ. οὐ γὰρ τὸ παρ' ἐμοῦ σε γεγονέναι δύναται λυθῆναι νόμῳ, ἀλλὰ κἂν πάντα συγχυθῇ, Νεοκλῆς σε γεγέννηκεν, ὦ παῖ, καὶ τοῦτο οὐκ ἂν ἄλλως σχοίη ποτέ.* 44. *πατέρα οὖν ἀνιῶν θεοῖς οἴει κεχαρισμένα ποιεῖν; οὐκ οἶσθ' ὅτι μεθ' ἡμῶν ἑστήκασιν ἐν ταῖς πρὸς τὰ τέκνα διαφοραῖς; οὐκ ἤκουσας Ὁμήρου τοιοῦτόν τι λέγοντος; θεῶν δὲ καὶ τῆς παρ' ἐκείνων εὐνοίας ἅπασι μὲν ἀνθρώποις οἶμαι δεῖν, μάλιστα δὲ τοῖς τὰ μέγιστα πράττουσιν ὑμῖν, ἐπεὶ καὶ νῦν συμμαχίαν ἴσμεν δαιμόνων Ἐλευσινόθεν ἀφικομένων τῇ πόλει. ταύτης τοίνυν μηδαμῶς σαυτὸν ἀποστερήσῃς πρὸς τὰ λοιπὰ τῶν ἔργων.* 45. *ἀλλὰ μηδὲ παρὰ τοῖς ἀνθρώποις τὴν χείρω δόξαν ἐνέγκῃ. τίς γὰρ οὐκ ἐρεῖ*

---

2 Her. VIII 65. Plut. Them. 15. Aristid. t. II p. 282, 18 | Her. VII 189 3 Her. VII 141—143. Anth. Pal. XIV 93. Aristid. l. l. p. 282, 13 11 Il. ι 453 sq.; ο 204; Od. β 134; λ 280 14 cf. ad l. 2 17 Plat. leg. VI p. 762 A

---

1 *ἧξον MaI* sed in hoc *ἧ* in *εἶ* corr m^2 2 *τοῦ* ante *ἰάκχου L* sed eras, *ILau* | *τοῦ* ante *βορέου I* 4 *γὰρ* ante *ἐγὼ C* | *σὸς Ma* sed *ς* e *ν* corr m^2 5 *οὐ* — 8 *ποτέ* praemisso *κείμενον* in marg *L*^{2} 6 *συγχυθῇ* scripsi e *CMaBILau* *συγχοῖς* in marg *L*^{2} *συγχῇς* edd *συγχέῃς* Gasda 7 *γεγέννηκεν* reposui e libris (sed scriptura in *Cr* incerta) cum Gasda *γεγένηκεν* edd 8 *οἴην Ma* sed *γρ οἴει* suprascr m^3 | *κεχωρισμένα Ma* 10 *ἀκήκοας CMa* 12 *δεῖ L* sed *ν* add m^2, *Lau*, fortasse recte | *δὲ τοῖς τὰ* om *C* 13 *τοῖς τὰ* om *Ma* | *τὴν* ante *νῦν C* 14 *δαιμόνων ἴσμεν Ma* | *ἔλευσιν ὅθεν CLau* *ἔλευσιν I* | *ἀφικομένων* scripsi cum Gasda *ἀφικνουμένων* libri edd 15 *τοίνυν* reposui e *CrCMaBILau* *νῦν L* edd | *σαυτὸν* om *I* *αὐτὸν Lau* 16 *μὴ δὲ BILau* 17 *ἐνέγκῃς CB*

τῶν πρεσβυτέρων πρὸς τὸν πλησίον; ὁρᾷς τὸν ὑβριστήν; ὁρᾷς τὴν ὑπερηφανίαν; ἐπῆρεν αὐτὸν ἡ Σαλαμίς. ἐξώγκωται τῇ νίκῃ. τὸν πατέρα διαπτύει. τοῦ γένους ὑπερφρονεῖ. νῦν μὲν ὁ πατὴρ αὐτῷ φαῦλόν τι φαίνεται, μικρὸν δὲ ὕστερον ἐγὼ καὶ σὺ οἱ γείτονες, εἶτ' ἄλλοι πλείους. τούτους μὴ ποιήσῃς κατὰ σοῦ γενέσθαι τοὺς λόγους. 46. ἀλλ', ὃ δοκεῖ σπανιώτατον εἶναι, σωφρονῶν ἐν ταῖς εὐπραξίαις φάνηθι, ὥστ' ἀμφοτέρωθεν εὐδοκιμεῖν εἶναί σοι, τῇ τε τῶν βαρβάρων φθορᾷ τῇ τ' ἐπιεικείᾳ τῶν τρόπων. εἰ γὰρ μέτοικος ἦν, εἰ γὰρ ξένος, εἰ γὰρ ἀπελεύθερος, ἐδεόμην δὲ οὕτω δίκαια, πατὴρ ὢν οὐκ ἂν εἰκότως ἐτύγχανον; 47. νῦν μέν, ὦ Θεμιστόκλεις, ἔχεις ἅπαντας ὑπιόντας καὶ θεραπεύοντας, ἄρτι γὰρ ἐκ μεγάλων | ἥκεις, νόμιζε δὲ παρὰ τοῖς αὐτοῖς R IV 387
τούτοις ἀνθρώποις καὶ φθόνον εἶναι πρὸς τὸν εἰργασμένον, ὃς νῦν μὲν κρύπτεται, καιρὸν δὲ ἀναμένει. παρελώμεθα δὴ τούτων τοὺς τοιούτους τῶν λόγων· τὸν σκληρόν, τὸν ἀγνώμονα, τὸν ἀδιάλλακτον, τὸν ἐχθρὸν τῆς οἰκίας. μὴ τοίνυν δεδόσθω χώρα τοῖς ἀηδεστέροις τῶν λόγων, ἀλλ' ἔστων ἅπαντες εὔφημοι καὶ λαβὴ μηδεμία τινὶ τῶν κακοηθεστέρων. 48. τοῦτο καὶ Ξέρξην εἰς Σοῦσα κομισθὲν ἀνιάσει. νῦν μὲν

3 Her. VI 126 19 Dem. p. 100, 13; 135, 12; 702, 11

10 τῆσ et φθορᾶσ *L* sed σ bis add m² | φορᾶ *C* | τε *ILau* 13 „*fort.* ἀπετύγχανον repulsam ferrem" Re 16 πρὸς τὸν εἰργασμένον scripsi e *CBILau* πρὸς τὸν εἰργασμένων *Ma* τῶν εἰργασμένων *L* sed τῶν in ras et ω ex ο corr m² 18 τοῦτον *CMa* | τοῖς τοιούτοις *Ma* 19 δὲ post τὸν(1) *CBL* 21 ἀκηδεστέροις Re 22 μηδεμία τινὶ] μηδενὶ *LILau* 23 ξέρξη *I* | σοῦσαν *Ma* ὦτα *Lau*

γάρ αὐτόν, ὡς εἰκός, οἱ παραμυθούμενοι λέγουσιν ὡς ἐκεῖνος μέντοι Θεμιστοκλῆς ὁ παρ' Ἕλλησι λαμπρὸς κακὸς εἶναι παρὰ τῶν δικαστῶν κατέγνωσται καὶ τῆς τοῦ πατρὸς οἰκίας ἀπεκλείσθη· εἰ δὲ πύθοιτό σε καὶ ταύτην κεκομισμένον, ἑτέρα τοῦτο τῷ Πέρσῃ συμφορά. 49. καὶ μήν, εἰ μὲν δι' εὐτυχίας τὸν λοιπὸν πορεύσῃ βίον, καλὸν αἰτίας ἁπάσης σαυτὸν καθαρεύειν· εἰ δ' ἀνάγκη τι καὶ προσπταῖσαι, χαλεπὸν γὰρ ἄνθρωπον διὰ τέλους εὐτυχεῖν, τὸ δοκεῖν τῆς νῦν ἀτιμίας ὑπέχειν δίκην διαφύγωμεν. 50. πῶς με βούλει νῦν ἀπελθεῖν ἀτιμασθέντα; καρτεροῦντα καὶ φέροντα καὶ φαιδρόν; οὐκ ἂν δυναίμην. ἀλλὰ σκυθρωπὸν καὶ δακρύοντα καὶ συνεσταλμένον; εἶτ' οὐ δεινὸν ἐμοὶ σὲ τούτων αἴτιον καταστῆναι, Νεοκλεῖ Θεμιστοκλέα; αὐτὴν οἷον τὴν οἰκίαν φωνὴν λαβοῦσαν δεῖσθαί σου καὶ ἱκετεύειν· ἐγώ σε ἐδεξάμην τικτόμενον, ὦ παῖ, καὶ παρ' ἐμοὶ τὴν πρώτην ἔρρηξας φωνὴν καὶ τὸν ἥλιον εἶδες καὶ μαστοῦ μετέσχες καὶ τῆς ἄλλης τροφῆς καὶ γραμμάτων ἥψω καὶ τὴν πρώτην ἡλικίαν διεγένου. καὶ τῶν δυσχερῶν ἐκείνων

---

8 cf. t. II 143, 3. Her. III 40, 1

---

1 ὡς om *CMaBILau* | λέγουσιν scripsi e *CMaBILau* λέγοιεν *L* edd (γὰρ) ἂν — λέγοιεν „*nisi λέγειν scriptum fuit*" Iacobs Lect 118 5 ταύτην κεκομισμένον scripsi e *BLau*, ut coni Re ταύτην κεκομισμένην *C* ταύτῃ κεκομισμένον *Ma* ταύτῃ κεκοσμημένον *IL* sed in hoc κο in ras m², edd τοῦτο *L* sed e τούτῳ corr m² 6 εὐτυχίας *L* sed εὐ in ras m² 8 σαυτὸν scripsi e *C* αὐτὸν *MaBLI* sed in hoc in σαυτὸν corr m², edd αὑτὸν *Lau* 10 διαφύγωμεν *L* sed υ in ras m² 13 καὶ (2) om Re | γε *Ma* 14 καταστῆναι om *ILau* inser *L²* | αὐτὴν — 16 ἱκετεύειν om *I* 15 οἰκείαν *Ma* sed ει in ι corr m² 16 ἱκετεύειν *Ma* sed γρ οἰκετεύειν in marg m³ 19 τροφῆς *L* sed τρο in ras m² 20 διεγένου scripsi cum Cobeto Coll 294 et Sinteni ἐγένου libri edd sed „*aut deest hic*

συμπεσόντων ἤλγουν καί σε ἤλπιζον ἀπολήψεσθαι πάλιν. ἥκει δὴ τὸ προσδοκώμενον καὶ τὸν εἰσάγοντα ἔχεις. μὴ τοίνυν ἀντίτεινε μηδὲ τὸν ἐμοὶ κόσμον ὀφειλόμενον ἑτέρα οἰκία καρπούσθω τις.

51. *Ταῦτα αἰδεσθεὶς | τὰ ῥήματα βάδιζε οἴ-* R IV 388 *καδε μετ' ἐμοῦ. κἂν ἐπὶ τὴν Ἀσίαν πλέῃς καὶ τοὺς αὐτοὺς ἀντεπάγῃς τῇ βαρβάρῳ κινδύνους, ἀπὸ τῆς πατρῴας ἐξελθὼν οἰκίας ἐπίβαινε τῆς νεώς, κἂν ἐπανελθὼν ⟨τὸ⟩ ἀριστεῖον λάβῃς, ἐνταῦθα τοῦτο ἄγε.*

52. *Εἴθε σοι καὶ ἡ μήτηρ, ὦ Θεμιστόκλεις, περιῆν, ὡς οὐκ ἂν πολλῶν ἐδεόμην λόγων. νῦν δ' ἡ τότε τοῦ καιροῦ δυσκολία καὶ τοῦτο μετὰ τῶν ἄλλων ἠδίκησεν. ἀλλ' ὅμως, εἴ τις αἴσθησις τοῖς ἀπελθοῦσι, συνησθήσεται καὶ κοινωνήσει τῆς ἑορτῆς.*

---

8 Dem. p. 118, 7. Thuc. II 97, 3

---

aliquid, aut voc. hoc in vitio cubat. sententia postulat διῆγες aut tale quid" Re

1 *καί σε* scripsi e *C* *καὶ σὲ* reliqui libri edd | *ἀπολείψεσθαι Lau* 3 *μὴ δὲ BLILau* 4 *ἑτέρᾳ οἰκίᾳ C* 5 *τίς· ταῦτα Cr* 6 *βάδιζε* reposui e *CMaBLI*, ut coni Re *δίκαζε Lau* edd 7 *πλεύσῃς Lau* 8 *τῷ CB* 9 *ἀπελθὼν B* 10 *τὸ* inserui auctore Gasda coll Her. VIII 11 om libri edd | *λάβῃς I* sed *γρ λαμβάνῃς* suprascr m² 15 *συνθήσεται Lau* *συνθήσει τὲ I*

X.

Ἐκ τοῦ ἐναντίου ὁ Θεμιστοκλῆς.

R IV 388 1. Ὤιμην μέν, ὦ ἄνδρες δικασταί, αὖθις κατηγορήσοντά μου Νεοκλέα καὶ τῶν πρότερον ἐκείνων πολὺ μείζους αἰτίας ἐποίσοντα πρὸς τουτὶ συλλέξαι τὸ δικαστήριον ὑμᾶς, ἐκ γὰρ ὧν ἐπεπόνθειν ταῦτα ἐλπίζειν εἶχον· ἐπεὶ δὲ βραδέως ἀνέμνησεν ἑαυτὸν ὡς ἐξ αὐτοῦ γενοίμην καὶ φιλάνθρωπος εἶναι πρὸς ἐμέ φησι, ταύτης μὲν αὐτῷ τῆς δόξης οὐ φθονῶ, ἀλλ' ἔστω πατέρων πρᾳότατος καὶ καλείσθω τοῦτο παρ' ὑμῖν, ἐμὲ δὲ ἐπὶ τῆς συνηθείας ἐν ᾗ κατέστησεν αὐτὸς ἐάτω καὶ τὸν ἄλλον διάγειν χρόνον, ὡς μὴ κατ' ἄμφω λυποίη, τότε μὲν ἐκβάλλων ὠμῶς, νῦν δὲ οὐ βουλόμενον εἰσάγων.

Cr = Codex Hierosolymitanus Sanctae Crucis 57
C = Chisianus R VI 43
B = Barberinus II 41
L = Laurentianus LVII 23
I = Hierosolymitanus S. Sepulcri 79
Lau = Laurentianus LIX 30

---

1 *ἑτέρα μελέτη ἀπολογητικὴ ὡς ἀπὸ προσώπου θεμιστοκλέους πρὸς τὸν ἑαυτοῦ πατέρα νεοκλέα, ἐν ᾗ καὶ ἐνίσταται καὶ αἰτεῖ μὴ οἴκαδε μετὰ τοῦ πατρὸς ἀπελθεῖν δύσκολον μᾶλλον δὴ μωρὸν φάσκων μετὰ τὴν ἀποκήρυξιν εἰς τὴν πατρικὴν οἰκίαν ἐλθεῖν I* | *μελέτη* ante *ἐκ* edd delevi | comma post *ἐναντίου* Mor, punctum *CBLLau* Re delevi 2 *αὖθις* non post *δικασταί*, sed post *μὲν CB*, post *ἄνδρες LLau* *αὐτὸς C* | *κατηγορήσαντα Cr* sed *α*(2) in *ο* corr ras, *I* 5 *ἐπεπόνθειν Lau* sed *ειν* ex *ει* corr m² | *ταῦτ' I* 9 *πραότατος I* | $\overset{η}{ὑ}$*μῖν I*

2. *Οὗτος μὲν οὖν τὴν ἐμὴν δόξαν ἐλάττωμα πρὸς τὸν ἀγῶνα νενόμικεν ἑαυτῷ, ἐγὼ δὲ τὸ τοῦ πατρὸς ὄνομα καὶ τὸ πατέρας ὑμᾶς εἶναι τοὺς δικάζοντας δέδοικα. ἔστι γὰρ φόβος οὐ μικρὸς μὴ τοῖς δικαίοις αὐτοῖς περιὼν καὶ δεικνύειν ἔχων ὡς εἰκότως ἂν διωθοίμην ἐφ' ἅπερ οὗτος καλεῖ δόξω τραχύς | τις* R IV 389 *εἶναι καὶ χαλεπὸς ταῖς προσηγορίαις ὑμῶν τὸ πρᾶγμα κρινόντων. δεῖ δέ, οἶμαι, τούς γε βουλομένους ὀρθὴν θέσθαι τὴν ψῆφον πάντα ἀνελόντας ἐκ μέσου πρὸς ἓν ἐκεῖνο βλέπειν, πότερος δικαιότερα λέγει, κἂν μὲν εὑρίσκητε τοῦτον, τούτῳ δοῦναι τὰς ψήφους, ἂν δὲ ἐμέ, ἐμοί.*

3. *Εἰ μὲν οὖν ἦν μοι καλόν τε καὶ συμφέρον τὸ τὴν τοῦ παιδὸς καὶ τὴν ἀρχαίαν κομίσασθαι τάξιν, οὐκ ἂν οὗτος ἧκέ με παρακαλῶν καὶ δεόμενος δοῦναί μοι χάριν, ἀλλ' αὐτὸς ἂν τὴν ὑπὲρ τούτων ἐποιούμην σπουδὴν καὶ προσέπεμπον ἂν τοὺς μάλιστα αὐτῷ χρωμένους δι' ἐκείνων ἀξιῶν μοι γενέσθαι τὰς διαλλαγάς· νῦν δὲ ἐξ αὐτῶν ὧν αὐτὸς μὲν βούλεται παρασχεῖν, ἐγὼ δὲ ὀκνῶ λαβεῖν σκέψασθε, ὦ ἄνδρες δικασταί, τὴν θαυμαστὴν δωρεάν. εἰ γὰρ μηδεὶς ἂν εὖ φρονῶν φύγοι τὸ λυσιτελοῦν, μαρτύριον ὑμῖν ἔστω τοῦ μὴ*

---

5 cf. t. 157, 5

---

1 *ἐλάττονα Cr* 4 *μοι* ante *μὴ* inserendum coni Gasda 5 *περιὼν L* sed *ρι* in ras m² *περὶ ὧν ILau* 6 *καθ' I* | *καλεῖ* scripsi e *CBLILau* *κινεῖ Cr* *κινοῖ* edd 8 inde a voce *ὀρθὴν* scriptura in *Cr* fere abrasa 11 *ἂν* scripsi e *CBILau* *ἐὰν L* edd 13 *ἦν μοι* scripsi e *CrC* *ἦν B* *τι LILau* edd sed *ἦν τι* coni Re 14 *καὶ τὴν* in ras *L²* | *κομίσαι I* 15 *με* om *C* 16 num *οἱ* scribendum coll p. 491, 20? 18 *γίνεσθαι C* 19 *δ' CL* edd 21 *ἂν* om *I* 22 „*fort. τοῦ μή με οἴεσθαι λυσιτελεῖν ἐμοὶ συνοικεῖν*" Re *τοῦ οἷον μὲν*

συνοικεῖν με Νεοκλεῖ τῷδε τὸ ταῦτα ἐφ' ὧν νῦν εἰμι προτιμᾶν ὧν οὗτος δίδωσι. καὶ μηδὲ ἐμὲ βλάψαντες ἀντιστῆτε κατὰ τῶν ἐμοὶ συμφερόντων.

4. Δοκεῖ δέ μοι Νεοκλῆς οὐχ ἅ φησιν ἐθέλειν οὐδ' ἐπιθυμεῖν αὖθις ἡμᾶς συνελθεῖν, πάλαι γάρ μου κατέγνωκε τὴν ἐσχάτην κακίαν, ἀλλ' ἡ μὲν ἐπὶ τὸν οἶκον παράκλησίς ἐστι παραπέτασμα, τὸ δὲ τῆς σπουδῆς ἀπολογία τις περὶ τῶν εἰς ἐμὲ πεπραγμένων πρὸς ὑμᾶς τε καὶ τοὺς ἄλλους Ἕλληνας. αἰσθάνεται γὰρ τῶν τε πολιτῶν πολλοὺς τῶν τε Ἑλλήνων οὐκ ὀλίγους κατηγοροῦντάς τε αὐτοῦ καὶ τοιαῦτα λέγοντας· οἷον ἄρα ἠδίκησεν ἐν παιδὶ Νεοκλῆς. ὡς ἄγριος καὶ θηριώδης καὶ προδότης τό γε αὑτοῦ μέρος τῆς
R IV 390 τῶν Ἑλλήνων σωτηρίας. τοῦτον ἡγήσατο | κακὸν οὕτως ὄντα ἀγαθόν, τοῦτον ἀποκηρύξεως ἄξιον, ὃν καὶ ποιήσασθαι υἱὸν μέγα κέρδος ἄν τις ἡγήσαιτο νοῦν ἔχων. 5. καὶ πολλὰ

---

7 Dem. p. 1107, 1   13 cf. p. 319, 19; t. IV 289, 14

ἦν συνοικεῖν coni Iacobs Lect 118 at post μὴ inserendum nisi tantum cogitatione repetendum λυσιτελεῖν | με inserui e *CrB* μοι *C* om *LILau* edd

2 οὗτος scripsi e *CrCB* αὐτὸς *LILau* edd | μηδὲ scripsi μήτε libri sed τε eras *I*, edd | ὑμεῖς ante ἐμὲ *L* edd delevi ἐμοί *I* 3 ἀντιστῆτε scripsi ἀναστῆτε libri edd sed „*malim* ἂν στῆτε (*ne resistatis meis emolumentis*)" Re ἀναστήσητε coni Gasda

4 δέ scripsi e *CBILau* τε *L* edd 7 παράκλησίς ἐστι scripsi ἐστὶ παράκλησις *CBILau* ἤδη παράκλησις *L* sed ἤδη in ras, edd et Iacobs Add 19 pro ἤδη „*malim* ἥδε" Re probante Iacobsio Anth Pal III 257 | „*malim* τῶδε" Re 8 καὶ ante vel τε post ἀπολογία inserendum coni Gasda 11 αὐτοῦ scripsi αὑτοῦ libri edd | τὰ ante τοιαῦτα *BL* edd delevi 12 παιδὶ scripsi cum Gasda παισὶ libri edd | verba inde a voce ἄγριος aegre in *Cr* dispici queunt 13 τό γε αὐτοῦ μέρος om *C* 15 τὸν ante οὕτως inser, sed ὄντα om *I* 17 ἡγήσαιτο scripsi auctore Gasda ἡγήσατο libri edd

πρὸς τούτοις ἕτερα λέγεται μέν, ὦ ἄνδρες δικασταί, παρ' ἄλλων, ταράττει δὲ τοῦτον καὶ ποιεῖ δεδοικέναι μὴ τούτων εἷς καὶ αὐτὸς γένωμαι τῶν αἰτιωμένων καὶ πρὸς τὸν δῆμον οἷα ἔπαθον διαλεχθῶ. διὰ ταῦτά μοι μεταδίδωσι τῆς οἰκίας. ἀλλὰ θάρρει, Νεόκλεις, ὅτι οὔτ' αὐτὸς ἐκείνων ἐν μέρει κατηγορίας οὔτ' ἐμνήσθην οὔτε μνησθήσομαι τῶν τε ἄλλων ὅσους ἂν οἷός τε ὦ παύσω τούτων τῶν λόγων. σύ τε μηδὲν ὢν οὐκ ἐθέλεις ἀνάγκῃ ποίει τόν τε τοῦ βίου τύπον ἐφ' οὗ νῦν εἰμι μένειν ἀκίνητον ἔα, ὡς νῦν ἀδύνατά τε ζητεῖς καὶ λόγους οὓς αὐτὸς διῆλθες σιγᾶσθαί σοι κρεῖττον κἀμὲ καταναγκάζεις εἰπεῖν ἐφ' οἷς οὐχ ἡδέως διακείσῃ.

6. Ὁρᾶτε δέ. παῖς ἐγενόμην ἐγὼ τούτῳ παρ' ὑμῖν, ὦ ἄνδρες δικασταί. καὶ ἴσως μὲν εὐθὺς ἠχθέσθη πρὸς τὸν τόκον ὡς ἂν ἐκ βελτιόνων παιδοποιεῖσθαι δυνάμενος. τοῦτο μὲν οὖν οὐκ ἐγκαλῶ, μεγάλων γὰρ αὐτὸν ἀξιῶν οὐκ ἠδίκει, ἐκεῖνο δέ, ὅτι γνώμης οὕτως ἔχων μή τινος αἰσχύνης τῷ πράγματι προσούσης οὐκ ἐξέθηκεν οὐδ' ἔρριψεν ἑτέροις ἀνελέσθαι καὶ τρέφειν, οἳ τῆς ἐμῆς ἴσως ἂν ἠνέσχοντο κακίας, ἀλλ' εἶχεν αὐτὸς καὶ ἔτρεφεν ἐπὶ δεινοτέροις τοῖς μέλλουσι. 7. τὰ μὲν

15 cf. p. 461, 18 sq. | cf. p. t. I 202, 7

2 καὶ ante τοῦτον *C* 4 διαταῦτά *B* 5 θαρρεῖ νεοκλῆς *ILau* 6 αὐτὸς om Re 8 τούτων τῶν] τοιούτων *C* τῶν τοιούτων *B* 9 γε post νῦν *B*, τὲ *I* 11 τε post αὐτός *C* | κρείττονας *CBILau* at κρεῖττον *Cr* 13 διήγησις in marg rubr *I* 14 εὐθὺς om *ILau* 15 ἐκ βελτιόνων *I* sed γρ οὐκ ἐκ βελτιόνων suprascr m² | παιδοποιῆσαι *C* | voce δυνάμενος des fol 42ʳ *Cr* 16 αὐτὸν scripsi αὑτὸν libri sed ' in ʽ corr *I*², edd 17 ἐκεῖνο scripsi e *CBLLau*, ut coni Re ἐκεῖνος *I* edd 18 μή scripsi καὶ libri edd | τίνος *C* „*sententia postulat* οὐδεμιᾶς" Re | ἐξέθηκας οὐκ ἔρριψα *C* 19 τρέφεσθαι *I* 20 ἠνείχοντο *CB* 21 χειροτέροις *I*

οὖν πρῶτα καὶ τὰ παρ' αὐτὸν τοῦ γάλακτος τὸν χρόνον οὐκ ἂν εἰδέναι φαίην, ἀλλ' ἐπειδὴ πρὸς μαθήσεων ἡλικίαν ἧκον, ἔπεμπέ με πρὸς τοὺς διδασκάλους, ὁμολογῶ, ἤρεσκε δ' αὐτῷ τῶν ἐμῶν οὐδὲν οὐδ' ὅσα παρὰ τῶν ἄλλων ἐπῃνεῖτο. τῆς φύσεως δὲ δοκούσης τι πλέον τῶν ἄλλων ἔχειν καὶ παρὰ τοῖς συμφοιτηταῖς ὄντος τούτου τοῦ λόγου καὶ κατὰ τὴν ἄλλην πόλιν, ὡς εὐφυέστατος ἄρ' ἐγώ, καὶ τοῦ διδασκάλου τοῦτο βοῶντος καὶ προστιθέντος γε μεγάλων ἔσεσθαί με δημιουργὸν ἢ χρηστῶν ἢ τῶν ἑτέρων, οὐ γὰρ ἀρνοῦμαι, δέδειγμαι γὰρ | R IV 391 ἴσως κακοῦ μὲν αἴτιος οὐδενός, ἀγαθῶν δὲ μεγάλων, τοῦ δὲ φιλοτιμεῖσθαι πρὸς τοὺς ἄλλους πατέρας ἢ χάριν εἰδέναι τοῖς θεοῖς τῆς κατὰ τὴν φύσιν τύχης ὡς πλεῖστον ἀπεῖχε. 8. παρετήρει δὲ νύκτα καὶ ἡμέραν, εἴ που δοίην αὐτῷ πρὸς ὀργὴν ἡντινοῦν ἀφορμὴν καὶ λαβών με πεπονθότα τι τῶν συμβαινόντων νέοις οὐκ αἰτιασάμενος, οὐ μεμψάμενος, οὐχ ὅσοις ἐχρῆν εἰς τὸ μεταστῆσαι χρησάμενος πολλά τε τῶν δικαστηρίων ἐμέμνητο καὶ μίαν ἀπαλλαγὴν ἔφασκεν ὁρᾶν τὴν ἀποκήρυξιν πολλὰ μὲν ἐμοῦ λέγον-

---

8 cf. p. 462, 10 16 cf. p. 463, 7

---

3 ἔπεμπέν edd | πρὸς τοὺς διδασκάλους scripsi e *BLau* coll p. 462, 4 et 10 πρὸς τοῦ διδασκάλου *I* edd ὡς τοῦ διδασκάλου *C* εἰς διδασκάλου *L* sed εἰς in ras 5 litt m[2], εἰς τοῦ διδασκάλου aut πρὸς τὸν διδάσκαλον Gasda 6 ἔχειν τῶν ἄλλων *I* | τῶν ἄλλων] ἑτέρων *CB* 7 ἄλλην om *I* 9 με post ἔσεσθαί inserui e libris (μοι *B*), ut post γε inserendum coni Re, cum γε commutandum Gasda om edd 10 τῶν ante χρηστῶν edd delevi 11 γὰρ om *C* | κακοῦ reposui e libris, ut coni Gasda καλοῦ edd | αἴτιος κακοῦ μὲν *B* 12 δὲ (2) inserui e *CBILau* om *L* edd 14 πλεῖστα *C* | ἀπεῖχεν *B* 16 ἀφορμὴν ἡντινοῦν *I* | με scripsi νέον libri edd 17 τοῖς ante νέοις *B* 18 ἐξῆν *C* | πολλά τε τῶν scripsi πολλὰ δὲ τοῦ τῶν *CBILau* om (in ras 12 litt) *L* edd

τος καὶ ὑπισχνουμένου, πολλὰ δὲ τῶν οἰκείων καὶ φίλων ποῖ φέρῃ, Νεόκλεις; τί τῷ πνεύματι τῆς ὀργῆς ἐνδίδως; τί τὰ τῶν νέων πάσχεις τηλικοῦτος ὤν; νῦν μὲν ὑπὸ θυμοῦ τὸ παραστὰν ἡγῇ βέλτιστον, ὕστερον δὲ γνώσῃ σαυτῷ πεπολεμηκώς. ἀποστερεῖς τὸν οἶκον οὕτω γενναίας φύσεως καὶ θησαυρὸν τοσοῦτον ἐκβάλλων σωφρονεῖν δοκεῖς; οὐκ ἐπισχήσεις; οὐκ ἐν σαυτῷ γενήσῃ; 9. πολλὰ τοιαῦτα ἐλέγετο μάτην, ὦ ἄνδρες δικασταί. ληρεῖν γὰρ ἡγεῖτο τοὺς κατέχοντας καὶ μόνος αὐτὸς εὖ φρονεῖν καὶ δεῖν ἐλευθερῶσαι τὴν οἰκίαν τοῦ νοσήματος. αἰσθομένης δὲ τῆς μητρὸς καὶ ἐκπλαγείσης καὶ πρὸς τὰ γόνατα αὐτῷ προσπεσούσης καὶ ἱκετευούσης ἢ μὴ ταῦτα ποιεῖν ἢ καὶ αὐτὴν προσεκβάλλειν, μᾶλλον δὲ ἀποκτεῖναι γυναικὸς ἔφη ταῦτα εἶναι φλυαρούσης, τῷ δὲ οἴκῳ λυσιτελεῖν ἕτερα. καὶ καλῶς ἔλεγεν. οὐ γὰρ ἄν τι μεῖζον ὠφέλησεν αὐτὸν ἢ παιδὸς ἀπαλλαττόμενος πονηροῦ. 10. ἧκεν ἐπὶ τούτοις εἰς τὸ δικαστήριον, εἶπέ με κακῶς ὅσα ἠθέλησεν. ἐσίγων ἐγὼ λόγον ἔχων μέν, ἀντειπεῖν δὲ οὐ βουλόμενος, αὐτῷ τούτῳ πρώτῳ δεικνὺς ὡς εἰπεῖν κακός. καὶ ἅμα ἐνεθυμούμην ὡς, εἰ καὶ τὸ

---

2 Aesch. Prom. 884

---

2 *ποῦ ILau πῆ C* | *φέρῃ L* sed *ῃ* in ras m² *φέρεις I* ῃ *φέρεις Lau* 4 *τοῦ* ante *θυμοῦ B* 9 *σεαυτοῦ* Cobet Misc 146 at cf. t. IV p. 662, 19 R | *ἐγένετο C* 10 *λέγοντας I* 12 *αἰσθανομένης C* 13 *αὐτοῦ I* 14 *τοιαῦτα B* 15 *ἔφη ταῦτα εἶναι* scripsi e *CBI* *εἶναι ταῦτα ἔφη LLau* edd 16 *ἑτέρα L* sed in *ἕτερα* corr m² 18 *αὐτὸν* libri sed ’ in ‘ corr *L²I²* corr Mor 19 *εἶπε I* sed *ε*(2) in ras m² | *με* om *I* | *ὁπόσα C* 21 *πρῶτον I*

παρὸν διαφύγοιμι, πάλιν ἐπ' ἄλλοις τισὶν ἥξει φέρων ἀποκήρυξιν. ῥᾴδιον γὰρ εἶναι μισοῦντι πατρὶ συνθεῖναι κατὰ παιδὸς αἰτίας. ἄμεινον οὖν εἶναι μεταστάντα R IV 392 ζῆν ὅπως ἂν συμβαίνῃ | ἢ πράγματα ἔχειν καθ' ἑκάστην ἡμέραν καὶ ἀπειλῶν ἀκούειν καὶ συζῆν ἀποκηρύξεως φόβῳ οἴκοθεν. 11. τοῦ δὲ μὲν πολλὰ εἰπόντος, ἐμοῦ δὲ οὐ φθεγγομένου τὸ εἰκὸς ἐγίνετο παρὰ τῶν δικαζόντων καὶ κατεψηφίσαντο. εἶθ' οὗτος μὲν ἀπῄει φαιδρός τε καὶ γεγηθώς, ὥσπερ οἱ τὰ τρόπαια ἱστάντες, ἐγὼ δὲ μετρίως φέρων τὴν τύχην. καὶ οὐκ ἂν φαίην ὡς ἠπόρουν τῶν ὑποδεχομένων οὐδ' ὡς ἤλεγξεν ὁ καιρὸς τοὺς φάσκοντας εἶναι φίλους, ἦσαν γὰρ ὡς ἀληθῶς κἀν ταῖς συμφοραῖς. καὶ τοσοῦτον ἀπέσχε τοῦ δυνηθῆναι πεῖσαι φυγεῖν τὰς μετ' ἐμοῦ διατριβὰς τοὺς ἡλικιώτας ὥσθ' οἱ πολλοὶ τῶν γένει λαμπρῶν ἐρρῶσθαι τοῖς αὐτῶν φράσαντες γυμνασίοις εἰς Κυνόσαργες ἔτρεχον. ἐφ' οὓς ὅπως οὐ παρώξυνε τοὺς πατέρας οὑτοσὶ Νεοκλῆς οὐδὲ ἔπεισεν ἀποκηρύξαι λέγων ὅτι διαφθερῶ τοὺς υἱεῖς αὐτοῖς καὶ ἐμαυτῷ ποιήσω παραπλησίους τεθαύμακα. 12. ἐγὼ μὲν οὖν

---

17 Plut. Them. 1. cf. Dem. or. XXIII § 213

---

1 ἐν τούτῳ ante διαφύγοιμι *C* et in ras 2 litt *L*² edd delevi τοῦτον (Neoclem) coni Re 2 ante ἀποκήρυξιν ras 2 litt *L* 4 συμβαίνοι *C* | καθ' ἑκάστην *L* sed ' ' add m² 6 τοῦ δὲ μὲν πολλὰ εἰπόντος scripsi e *B* τοῦδε (sed ` supra ε *Lau*²) μὲν (μὴν *C*) πολλοῦ (πολοῦ *I*) ῥηθέντος *CILau* πολλῶν μὲν οὖν παρὰ τοῦδε ῥηθεντων *L* sed πολλῶν μὲν οὖν παρὰ τοῦδε in ras m², edd 7 ἐγίγνετο *BLau* 8 οὕτως *Lau* 11 ὑποδεξομένων Cobet Coll 261 coll t. IV 686, 5 R 13 ὡς om *C* 15 ὥστ' edd | γένει om *I* 16 αὑτῶν scripsi e *CI* αὐτῶν *BLLau* edd 17 οὐκ ἔσθ' ante ὅπως *I* 19 διαφθείρω *C* | τοῖς υἱοῖς *Lau* | αὐτῶν *I* 20 τεθαύμακα om *I*

ἐπεμελούμην ἐμαυτοῦ τό τε σῶμα καὶ τὴν ψυχὴν γυμνάζων, οὗτος δὲ ὡς ἥδιστα διῆγεν. ἡ δὲ μήτηρ ἠσθένει, τῶν δὲ ἰατρῶν λεγόντων ὡς λύπῃ τῇ κατ' ἐμὲ κάμνοι καὶ οὐκ ἂν διαφύγοι, τούτων οὕτως ἐχόντων σιγήσας οὗτος ἀφῆκε τὴν μητέρα τῇ νόσῳ καὶ δυοῖν ἀπήλλακτο κακοῖν, ἐμοῦ τε κἀκείνης. χρόνος μετὰ ταῦτα πολὺς καὶ γράμματα μυρία καὶ Νεοκλῆς ὁ αὐτός.

13. *Ἀλλὰ νῦν μεταβάλλεται καὶ καλεῖ με πρὸς αὐτὸν καὶ ἀγαπᾶν φησι καὶ ἔχειν βούλεται. τί ταῦτα; γέρων ἀνὴρ οὐκ ἐπὶ τῶν αὐτῶν μένει; οὐδ' ἃ καλῶς ἔκρινεν ἔχειν τηρεῖ; οὐ δείκνυσι βεβαιότητα τρόπων; οὐ δέδοικε μή τις αὐτὸν Εὔριπον ἐν σκώμματι καλέσῃ; ἀλλ' εἰ μὲν τῶν νεωτέρων τις τοῦτ' ἐπεπόνθει, κάκιστος ἂν ἦν καὶ κατηγόρεις εὐθὺς καὶ ἀπεκήρυττες· αὐτὸς δὲ τοῖς δευτέροις τὰ πρότερα διαβάλλων οὐκ αἰσχύνῃ; ἔα γνῶσιν καλὴν καὶ προσήκουσάν σοι μένειν καὶ μὴ τὴν εὐδοξίαν ἣν ἐκτήσω διὰ τῆς ἀποκηρύξεως ἀνέλῃς.*

14. *Χάριν δὲ ἣν δίδως οὐ δέχομαι. ἧς γὰρ οὐδὲν δέομαι, ταύτην οὐχ ὁρῶ διότι δεῖ λαμβάνειν.* | R IV 393

3 cf. ad p. 504, 19   4 Thuc. II 49, 4   13 cf. ad t. II 566, 13; t. IV 191, 29 R

1 *ἑαυτοῦ I*   2 *οὑτοσὶ C*   4 *κάμνει C*   6 *ἀπήλλακτο* scripsi cum Gasda *ἀπήλλακται* libri edd   7 *μεταταῦτα BL* Mor | *ὁ* om *CBLau*   10 *αὑτὸν* libri edd | verbis *τί ταῦτα* incipit *Cr* fol 12ᵛ sed pleraque abrasa sunt   12 *τηρεῖν Cr* | *οὐ δείκνυσι*] *ὁ δείλαιος Cr*   13 *ἐν σκώμμασιν* (*σκώμματι C*) *εὔριπον CrC* | *καλέσῃ* scripsi e *CI*, ut coni Re *καλέσαι BLau* *καλέσει L* edd et tuetur Iacobs Lect 118 Ach Tat 973   14 *τοῦτ' ἐπεπόνθει* scripsi e *CBILau* *ἐπεπόνθει τοῦτο L* edd   15 *καὶ*(1)] *καίτοι C*   16 *πρότερα* scripsi e *BILau* *τρόπαια C* *πρῶτα L* edd   18 ante *τὴν* ras 2 litt *I*   19 *ἀνέλῃς* om *C* *ἀνέλοις I*   21 *λαβεῖν C*

οἶμαι δέ, οὐδὲ χάρις τοῦτό γέ ἐστιν ὅπερ ἄκοντα δεῖ λαβεῖν. ᾧ γὰρ λύπη συνέζευκται, πολὺ τοῦτο τῇ φύσει τῆς χάριτος ἀποστατεῖ. οἷον εἴ τις ἐξ ἀριστείας ἥκων αἰτοίη τιμῆς τυχεῖν τινος, ὁ δῆμος δὲ τοῦτο μὴ διδοίη, πλέθρα δὲ γῆς ἤ τι τοιοῦτον, ἆρ' οὐκ ἄν σοι δοκεῖ φυγεῖν τὸ τὴν γῆν λαβεῖν, εἰ δ' αὖ ἀναγκάζοιτο, διχόθεν ἀλγήσειν, ἔκ τε τοῦ μὴ τυχεῖν ὧν ἐβούλετο καὶ λαβεῖν ὑπ' ἀνάγκης οὗ μηδὲν ἔχρηζε; σαφῶς γὰρ τοῦτο τιμωρία τίς ἐστιν ὃ μὴ κατὰ νοῦν τῳ γίγνεται.

15. Εἰ μὲν οὖν ἐγκαλεῖ μοί τι καὶ νῦν Νεοκλῆς καὶ δίκην ἀπαιτεῖν ἐθέλει, τί τοῦτο ἔστιν εἰπάτω· εἰ δ' οὐδὲν αἰτιᾶσθαι δύναιτ' ἄν, μή με κολαζέτω τῷ τοῦ δοκεῖν χαρίζεσθαι σχήματι. χωρὶς δὲ τούτων, τὸ μὲν οἴκαδέ με καλεῖν τούτου, τὸ δ' ὑπακούειν ἢ μὴ τουτὶ τοῦ καλουμένου. δράσας τοίνυν ὅπερ ἦν αὐτοῦ καὶ τῆς ἐμῆς εἰς τὸ μὴ πείθεσθαι τοῖς καλοῦσιν ἐξουσίας ἀνεχέσθω καὶ μὴ τὸ μὴ πείθεσθαί με νομιζέτω θαυμαστόν, ἀλλ' εἰ τῆς ὕβρεως ἐκείνης [οὐκ] ἐπιλελησμένος εἰπόμην.

16. Ἡμάρτανες γάρ φησι καὶ τοῦτ' ἐποίει τὴν ἀποκήρυξιν. μόνος, ὦ Νεόκλεις, ἐγώ, τῶν δ'

1 οἶμαι — 2 λαβεῖν om *C* | γ' *L* | ὅπερ scripsi ἦν libri edd ὃ vel ὅ τι Gasda 2 λαμβάνειν *Cr* in quo inde ab hac voce iam nihil legi potest 3 οἷον in marg *L*² 4 τιμῆς inserui e *C* coll p. 552, 11 om reliqui libri edd | τινὸς om *C* | διδοίη scripsi διδοῖ *C* διδώη *BILau* δᾴη *L* edd 5 δὲ om *Lau* | δοκεῖ scripsi e *Lau* cum Gasda δοκῇ *CBIL* edd 8 ἔχρηζε *BLLau* edd 9 τοῦτο scripsi οὑτωσὶ libri edd | κατανοῦν *Lau* | τῷ *ILau* | γίνεται *I* 10 οὖν om *B* | μοι καὶ νῦν τὶ *I* | νῦν om *B* 11 ἐθέλοι *B* 12 δύναιτ' reposui e libris sed αιτ' in ras *L*² δύναιτο edd | ἄν delendum censet Iacobs Lect 118 at cf. p. 447, 9 15 τουτίδε *C* | αὐτοῦ *L* sed ου in ras m² αὐτῷ *B Lau* 16 καὶ in ras *L*² | πείθεσθαι *L* sed σθαι in ras m² 17 μὴ(2) inser *L*² om *CBILau* | τοῖς καλοῦσι ante νομιζέτω edd delevi 18 οὐκ cancellavi cum Sinteni 20 ἡμάρτανες reposui e *CLILau* ἡμάρτανε *B* edd

ἄλλων νέων οὐδείς; οὐ ταῦτ' ἔστι τῆς νεότητος ἐπιεικῶς ἐκφέρεσθαι τῶν προσηκόντων ἀγνοῆσαί ⟨τέ⟩ τι τῶν πρεπόντων; οὐ τούτοις ἡ συγγνώμη παρὰ πάντων ἕτοιμος, οὐ μόνον τῶν πατέρων, ἀλλὰ καὶ τῶν ἄλλων, [καὶ] τῶν πολιτῶν καὶ ξένων; ὧν οὐκ ὀλίγοι πολλὰς πολλάκις προπετείας ἤνεγκαν εἰς ἓν μόνον βλέψαντες, τὴν ἡλικίαν. 17. *καὶ οὐ μόνον τοῖς ἐλευθέροις, ἀλλὰ καὶ δούλοις ἤδη που τοῦτο τὸ δίκαιον συγγνώμην ἐνήνοχε. καί τις, οἶμαι, δεσπότης πρᾴως ἔχων ὤφθη πρὸς ἁμαρτίαν οἰκέτου νέου. ἔοικε γὰρ ἡ μὲν νεότης θαλάττῃ κεκινημένῃ, τὸ γῆρας δὲ γαλήνης ἡσυχίᾳ. καὶ τοῦτο οὐ παρὰ μὲν ἡμῖν οὕτω νενόμισται, συγγνώμης δὲ ἀπεστέρηται παρὰ τοῖς βαρβάροις, ἀλλ' ὅπουπερ ἀνθρώπων γένος, ἐκεῖ καὶ παραίτησις τοῖς νεωτέροις ὁ χρόνος.* 18. *φέρε, εἴ τις ἁλοίη τῶν πρεσβυτέρων μεθύων καὶ παροινῶν καὶ μαχόμενος ὑπὲρ ἑταίρας καὶ τύπτων καὶ πληγὰς λαμβάνων, ἆρ' οὐκ ἂν τοῦτο μείζω ποιοῖ τὴν κατηγορίαν, ὅτι σωφρονεῖν δέον καὶ τῆς ἡλικίας ῥᾷστον αὐτῷ | τὸ σωφρονεῖν ποιούσης* R IV 394 *ἔξωρος ὢν τὰ τῶν νέων πλημμελεῖ; εἶτα τοῖς πρεσβυτέροις οὐ μεταδώσομεν συγγνώμης ὡς τῶν νέων τοῦτο ὄν, πάλιν δ' αὖ τοῖς νεωτέροις ἀσυγγνώμονες ἐσόμεθα*

---

20 Luc. Tim. § 22   22 Dem. p. 547, 8

---

1 *νέων* om *I* | *ταῦτ'* — 15 *χρόνος* praemissis *τῆς θεμιστοκλέους ἐκ τοῦ ἐναντίου μελέτ. κθ̄* citat Macar fol 85^{v} 2 *ἀγνοεῖς ἔτι C* | *τέ* inserui om libri edd 3 *οὐ* — 4 *ἕτοιμος* om Macar | *πᾶσιν I* 5 *καὶ* cancellavi cum Gasda | *τῶν* ante *ξένων I* 9 *ἔχειν B* 10 *ἔοικε* — 11 *ἡσυχίᾳ* citat floril. Neapol. fol 285 | *μὲν γὰρ ἡ I* 11 *κεκινημένῃ L* sed *κινημένῃ* in ras m^{2} 16 *ἑτέρας* (*αι* superscr.) *Lau* 17 *οὐ τοῦτο I* 18 *ποιοῖ* scripsi e *Lau* *ποιῇ CL* sed in hoc *ῇ* in ras m^{2}, edd *ποιεῖ BI* *ποιοῖ* vel *ποιοίη* scribendum coni Gasda 20 *μὲν* post *τοῖς* inserendum coni Gasda 21 *συγγνώμονες BILau* 22 *οὐκ* ante *ἐσόμεθα I*

τὴν διὰ πάντων παρ' αὐτοῖς σωφροσύνην ζητοῦντες; διαγράψομεν ἄρα τὴν συγγνώμην ὅλως τοῖς μὴ οὐκ αἰτοῦσιν[, ὡς οὐκ ἐξὸν λαμβάνειν, τοῖς δ'], ὅτι χαλεπῶς ἔχομεν.

19. *Νεοκλῆς μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, κρείττων ἔστω τῆς ἀνθρωπίνης φύσεως, πάσης αἰτίας καθαρὸς καὶ ὅσων βούλεται παῖς· ὑμεῖς δὲ ὑμᾶς αὐτοὺς ἀναμνήσατε τῶν ἐπὶ τῆς νεότητος ἔργων. ἀλλ' οὐκ ἐμισεῖσθε ὑπὸ τῶν γονέων οὐδ' ἐξηλαύνεσθε τῶν πατρῴων οὐδ' ἐγίγνεσθε ῥᾳδίως τῶν γεγεννηκότων ἀλλότριοι. θαυμάζω δὲ εἰ μεθύουσι μὲν ἀνθρώποις [καὶ λυπουμένοις] καὶ θυμουμένοις ἔσται συγγνώμη πλημμελοῦσι διὰ τούτων ἕκαστον, τῇ νεότητι δὲ οὐκ ἔσται ⟨ἐν⟩ μεγίστῃ γε οὔσῃ μέθῃ καὶ ἰσχυροτάτῃ κατὰ τὸν ἀληθῆ λόγον.*

20. *Κηδόμενος γάρ σου, φησιν, ἀπεκήρυττον, ὅπως γένοιό μοι βελτίων. καὶ τί δὲ ἀδίκημα σωφρονίζειν υἱόν; οὐδέν, ἀλλ' εἰσίν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοὶ τρόποι τοῦτο ποιοῦντες ἡμερώτεροί τε ἀποκηρύξεως καὶ μείζω τὴν ὠφέλειαν ἔχοντες. οἷς ὑμεῖς κέχρησθε πρὸς τοὺς ὑμετέρους αὐτῶν. εἰσὶ μὲν*

---

2 *διαγράψομεν* scripsi e *B* *διαγράφομεν CILau* *διαγράψωμεν L* sed *ιαγραψωμ* in ras m^2, edd | *ὅλως* scripsi e *B* *ὁλωσὶ CLLau* edd *οὑτωσὶ I* | *μὲν οὐκ αἰτοῦσιν C* *πᾶσι τοῖς μὲν L* sed *πᾶσι* in ras m^2, edd 3 *ὡς οὐκ ἐξὸν λαμβάνειν, τοῖς δ'* in marg L^2 edd om *CBILau* cancellavi *ὅλως τοῖς πᾶσι* aut *ὦ λῶστε τοῖς πᾶσι* coni Re 6 *ἔσται C* | *ἀνθρωπείας C* | *καὶ* ante *πάσης C* 7 *ὅσον C* *ὧν B* *οἵων* coni Gasda *οἷον βούλεται παῖδα* coni Iacobs Lect 119 | *παῖς* om *I* 9 *οὐδὲ BLau*

10 *ἐγίνεσθε I* | *θαυμάζω* — 13 *λόγον* citat Macar fol 86^r
11 *μεθύουσιν C* | *μὲν* om *C* | *καὶ λυπουμένοις* suspecta vel in *καὶ λυποῦσι* mutanda coni Gasda ut dittographiam cancellavi

11 *θυμουμένοις καὶ λυπουμένοις I* | *πλημελοῦσι L* 13 *ἑκάστων I* | *ἐν* inserui om libri edd 15 *γάρ σου B* 17 *σω-*
οἷς *η*
φρονίζει I | *υἱόν* om *I* 19 *οὓς C* *οὓς I* 20 *ὑμεῖς Lau* | *κέχρησθε* scripsi auctore Gasda *ἐκέχρησθε* libri edd | *αὑτῶν C*

γὰρ ὑμῖν ἀγαθοὶ παῖδες, ἀλλὰ παῖδές γε, ὦ ἄνδρες δικασταί. τοῦτο δέ ἐστι τοὔνομα τῆς οὐ πάντα ἀναμαρτήτου καὶ πόρρω μέμψεως ἡλικίας. δεῖ γάρ, οἶμαι, τὸν οὐχ ἁμαρτησόμενον τὰ ἐκείνων ὑπερπηδῆσαι τουτονί πως, εἰ οἷόν τε, τὸν χρόνον καὶ πρὶν ἔφηβον εἶναι γηράσκειν. 21. *πῶς οὖν ὑμεῖς ἐπανορθοῦτε τοὺς υἱεῖς; ὡς πατέρας εἰκός. ὁ μὲν καθήψατο ῥήμασιν, ὁ δὲ εἶρξε τραπέζης, τῷ δὲ ἱμὰς ἤρκεσεν, ὁ δ' αὖ οὐ προσεφθέγξατο χρόνον τινά. πολλὰ ἂν δυνηθείη καὶ βλέμμα ἄγριον καὶ βοὴ μεγάλη καὶ τὸ τοῖς οἰκείοις ἐπ' αὐτὸν χρῆσθαι δὶς καὶ τρίς. ἀλλὰ δεῖ τινος καὶ μείζονος· ἀπείλησον τοῦτο ὃ πέπονθα ἐγώ, τὴν ἀποκήρυξιν. αὕτη | δὲ μελλέτω. καὶ γὰρ ὁ τὸν νόμον* R IV 395 *τεθεικὼς δοκεῖ μοι τοῖς πατράσι τὴν ἀπειλὴν τεθεικέναι μόνην, εἴπερ ἦν κηδεμὼν τῆς πόλεως.* 22. *ἔπρεπε δέ, οἶμαι, νομοθέτῃ γε ὄντι. οὐ γὰρ ἠγνόει δήπου τοῦθ' ὅτι πολλοὶ χείρους ἔσονται λαβόντες ἐλευθερίαν [καὶ] τοῦ ποιεῖν ὅ τι δόξειεν αὐτοῖς, εἴπερ αὐτοὺς οὐδὲ τὸ ζῆν ὑπὸ τοῖς πατράσιν ἴσχυσε κατασχεῖν. τροφῆς μὲν γὰρ ἔμελλον εὐπορήσειν καὶ πολλοὺς ἕξειν τοὺς*

---

11 cf. ad t. III 254, 4. Plat. Phaedr. p. 235 A 13 Dem. p. 1006, 19 sq. Plat. leg. XI p. 928 D sq.

---

1 *ἀγαθοὶ παῖδες*] *καὶ κακοὶ παῖδες* vel *οὐ μόνον ἀγαθοὶ παῖδες, ἀλλὰ καὶ κακοὶ* coni Gasda 2 *τὸ ὄνομα I* | *πάντη C* 3 *οὐ* ante *πόρρω I* | *δεῖ*] *οὐ I* | *οἶμαι*] *με B* 4 *τοῦτον C* 5 *οἷός* Re 7 *πατράσιν CI πατέρες Lau* | *γὰρ* ante *καθήψατο I* 8 *εἶρξε I* | *ἱμὰς* scripsi e *CI ἡμᾶς* in *ἱμὰς* corr *Lau ἱμὰς BL* edd | *ὁ δ'* scripsi *οὐδ' C ὅδ'* reliqui libri edd | *οὐ* om *C* 11 *καὶ*(1) inser *L*[2] om *CBILau* | *τις C τίς BILau* 12 *τούτω C* | *πέπονθ' C* 13 *μελέτω CI* 16 *δήπου* om *B* 17 *τοῦτο I* 18 *καὶ* cancellavi | *τοῦ* scripsi *τὸ* libri edd | *οὐδὲ τὸ ζῆν L* sed *τὸ ζῆν* in ras m[2] *οὐδὲ ζῆν B οὐδ' ἐξῆν C* sed *ὥς γ' ἐξῆν* in marg, *ILau* 20 *ἀπορήσειν C*

ἐπαρκέσοντας, συγγενεῖς, ἑταίρους, συνήθεις, φίλους τοὺς ἐλεεῖν εἰδότας, ὥστε τούτου γε εἵνεκα οὐδὲν ἔμελλον ἐπιτηδεύειν βέλτιον ὄντων μὲν πολλῶν τῶν διαφθειρόντων καὶ πρὸς τὰ χείρω παρακαλούντων, κωλύειν δὲ οὐδενὸς κυρίου, τῆς ἐξουσίας δὲ ὡς πλείστης. ταῦτ' οὐκ ἐλάνθανε τὸν νομοθέτην, ταῦθ' ὑμεῖς αὐτὸν ἡγεῖσθε σαφῶς εἰδότα τεθεικέναι τὸν νόμον φόβον μὲν ἂν γινόμενον, τοῖς γένεσι δὲ οὐ πολεμοῦντα. ἥττης γὰρ οἶμαι τῆς ἐν πολέμῳ τέλος διασπᾶσθαι γονέας ἀπὸ τέκνων. 23. *ὑμεῖς οὖν καλῶς στοχαζόμενοι τῆς γνώμης τῶν γραμμάτων τοῦ μὲν ὡς ἐκβαλεῖτε πολλάκις ἐμνήσθητε, τὸ δὲ ἔργον οὐχ ὑπεμείνατε, ἀλλ' ἐν τῷ κεκτῆσθαι ἐπεμελήθητε τῶν τρόπων. Νεοκλῆς δὲ μόνος τὰ μὲν ἄλλα πάντα ἡγήσατο ἀσθενῆ τοσαῦτα καὶ τηλικαῦτα καὶ πολλοῖς ἀρέσκοντα, μίαν δὲ νουθεσίαν μόνην μηκέτ' εἶναί μου πατήρ.*

24. *Καίτοι τήν γε φύσιν τὴν ἐμὴν αὐτός τε ἐπῄνει καὶ τὸν διδάσκαλον ἔφη θαυμάζειν ὡς μεγάλα πράγματα ἀναιρησομένην καί τινα ἔχουσαν ἐν αὑτῇ γενναιότητα. ὅτι δὲ τὴν ὧδε ἔχουσαν οὐκ ἔστιν ἀτρεμεῖν, ἀλλ' ἀνάγκη ποιεῖν τὸ τῶν γενναίων πώλων, τοῦτο*

---

18 cf. p. 462, 10 19 Plat. leg. XI p. 921 A et D

---

1 *φίλους* om *I* 2 *ἕνεκα BI* 5 *δὲ* om *C* | *οὐδενὸς*] *οὐδενὸς οὐδὲ CB* *οὐδενὸς* cum ras 4 litt *L* *οὐδενὸς ὄνος I* sed *τ* suprascr m^2 *οὐδὲ Lau* corr Mor 8 *φοβερὸν* coni Re | *ἂν* inserui e *CBILau* ras 4 litt *L* om edd | *γιγνόμενον L* edd 9 *διασπασθε Lau* 10 *ὑμεῖς* ⟨*μὲν*⟩ *οὖν*? 11 *ἐκβάλητε C* 14 *πάντα* om *C* | *τοσαῦτα I* sed *ὄντα* suprascr m^2 16 *ἱκανὴν* post *μόνην* inserendum coni Gasda 17 *τε* om *I* 19 *ἀναιρησομένην* scripsi e *CBILau* *ἀνευρησομένην L* edd | *αὑτῇ* scripsi ex *I* *αὐτῇ CBLLau* edd 20 *τὲ C* | *τὴν* in ras L^2 21 *τοῦτ' Lau*

οὐκ ἐβουλήθη λογίσασθαι. τί οὖν ἐστι τὸ ἐκείνων; σκιρτῶσι, πηδῶσι, δυσχεραίνουσι τὴν ζεύγλην, καταράττουσι τὸν ἡνίοχον, ἐκβαίνουσί τι τῶν τεταγμένων. ἀλλ' οὔτ' ἀθυμεῖ τούτων γιγνομένων ἡνίοχος οὔτ' ἀχρήστους ἡγεῖται τοὺς ἐγρηγορότας, ἀλλ' ἔστιν αὐτῷ ταῦτα σημεῖα τῆς μελλούσης ἀρετῆς καὶ φέρει τὰ δύσκολα τῶν πώλων ἐπὶ τῇ τῶν δευτέρων ἐλπίδι, τοὺς δέ γε ὑπτίους καὶ καθεύδοντας | καὶ τὴν κεφαλὴν R IV 396 *οὐκ αἴροντας οὐδὲ θορυβοῦντας τὸν ἐλαύνοντα οὐ πρᾴους οὐδὲ σώφρονας, ἀλλὰ νωθεῖς νομίζει.* 25. *εἶτ' ἐπὶ μὲν τῶν ἵππων τοῦτο ποιοῦντες εὖ φρονεῖν δόξομεν, τοῖς δὲ υἱέσιν, ἂν ὑπὸ τῆς εὐφυίας ἐκτείνωνται, τὴν οἰκίαν ἀλλοτρίαν καταστήσομεν; καίτοι μᾶλλον ἔχει λόγον τοὺς βραδεῖς ἐκβάλλοντας τῶν ὀξέων ἔχεσθαι ἢ ἐκείνους ἀγαπῶντας τούτοις ὡς πονηροῖς μάχεσθαι. νῦν δὲ Μιλτιάδης μὲν στέργων διατελεῖ Κίμωνα ὃν ἴστε, καὶ οὐκ ἐποιήσατο τὴν εὐήθειαν τοῦ νεανίσκου πρὸς ἀποκήρυξιν αἰτίαν, τῶν δὲ ἐμῶν ὁ πατὴρ οὐκ ἠνέσχετο σκιρτημάτων, μᾶλλον δὲ τὰς ἄλλας νουθεσίας ἀτιμάσας ἀπεκύρυξε τῆς οἰκίας καὶ λέγει μὴ μισοῦντος*

2 Eur. Or. 45. Eubul. com. fr. III 242, 1, 6 M (II 1 p. 190, 75 K) Il. ζ 506; ο 263 sq.

1 *δὲ* ante *οὐκ* *C* | *ἠβουλήθη* *C* | *'κείνων* *C* 2 *τὴν ζεύγλην* scripsi *τὸ ζεῦγλον* libri sed *γρ τὴν ζεύγλην* suprascr *I*², edd *καταράττουσι* scripsi ex *ILau* *καταράττουσι* *B* *καταρράσσουσι* *CL* edd 4 *γινομένων* *BI* 7 *πόνων* *C* 8 *γε* om *I* 11 *τοῦτο ποιοῦντες* in ras *L*² 12 *κινῶνται* *C* *ἀκταίνωνται* Wyttenb. ep. crit. ad Ruhnk. p. 59 (Iul. in Const. ed. Schaefer p. 274) et Iacobs Add 70 *ἐξιστῶνται* Gasda *ἐντείνωνται* Ruhnken ep. ad Wyttenb. ed. Mahne p. 11 num *ἐκκινῶνται*? 13 *καίτοι* scripsi e *BLILau* *καί τινα* *C* *καὶ τί* edd *καίτοι τί* Gasda 15 *'κείνους* *C* 16 *δὴ* Gasda | *μὲν* om *Lau* 17 *ὅνπερ* *I* 20 *ἀπέρρηξε* *CILau* num ⟨*καὶ ἐξέβαλε*⟩ addendum coll p. 468, 5?

εἶναι τὸ ἔργον, ἀλλὰ καὶ παιδεύοντος καὶ βουλομένου με μετὰ τὴν θεραπείαν τῶν τρόπων κομίσασθαι.

26. Ὡς τοίνυν ψεύδεται καὶ μισοῦντος ἦν, οὐ μεταβολὴν ζητοῦντος ῥᾴδιον ὑμᾶς διδάξαι. εἰπὲ γάρ μοι· τὸ τῶν κοινῶν φροντίζειν καὶ τὴν πόλιν εὖ ποιεῖν ἤδη σωφρονοῦντος ἢ παροινοῦντός ἐστιν; οὐκ ἂν εἶναι φαίης τά γε τοιαῦτα μεθυόντων. ἐγὼ δὲ τὸ χθὲς τούτων ἡψάμην τῶν φροντίδων ἢ πάλαι; πῶς οὖν οὐχ ἅμα τε μετεβεβλήμην καὶ πρὸς τὸν οἶκον ἐκαλούμην; 27. πολλοὺς καιρούς, ὦ Νεόκλεις, διαλλαγῶν, πολλοὺς παραλέλοιπας. ἠγρύπνουν, ἐπεθύμουν ἐμαυτὸν ἐξισῶσαι τῷ Μιλτιάδῃ, σὺ δὲ ἐτήρεις τὴν ἀποκήρυξιν. τριήρεις ἑκατὸν Ἀθηναίοις ἐποίουν, σὺ δὲ οὐκ ἔλυες τὴν ἀπέχθειαν. διήλλαττον τοὺς Ἕλληνας πρὸς αὑτούς, σὺ δὲ οὐ διηλλάττου τῷ παιδί. τὴν γνώμην εὕρισκον τοῦ Πυθίου, σὺ δ' οὔπω με σωφρονεῖν ἡγοῦ. ἀντέσχον πρὸς τὴν φήμην ἐκείνην καὶ τὸν λόγον τῆς βασιλέως στρατείας· Ξέρξης ἐλαύνει τοὺς τὴν Ἀσίαν οἰκοῦντας μικροῦ πάντας ἐπὶ τὴν Εὐρώπην ἄγων,

11 cf. p. 464, 16 12 Plut. Them. 4, 2. Corn. Nep. Them. 2. Polyaen. I 30, 6. cf. Her. VII 144 14 Plut. Them. 6, 3. Her. VII 145. Aristid. Panath. t. I p. 248 Dind. 15 cf. p. 466, 11 sq. Her. VII 143. Plut. Them. 10. Polyaen. I 30, 1 sq. 18 Isocr. paneg. § 88. Her. VII 21

1 καὶ (1) om *C* 2 με inserui auctore Re coll p. 467, 2 om libri edd με ταύτην Iacobs Add 231 Lect 119 4 ὑμᾶς om *I* 6 signum interrogationis posui, punctum libri edd | ἄν, οἶμαι, εἶναι Iacobs Add 225 App Pors 302 7 φαίης scripsi, ut coni Mor φαίη libri edd | τοχθὲς *CBL* ὅτι (inser) οὐ χθὲς *I* 8 ἢ *I* sed in ἀλλὰ corr m² | ἢ πάλαι; πάλαι (*an iam dudum? iam dudum*) coni Re cui obloquitur Iacobs Lect 119 | δῆλον post πάλαι; inser *I* | οὖν inser *I*² 9 μεταβεβλήμην *LLau* 11 παραλέλοιπας *I* sed ιπας in ras 6 litt m² παραλελοιπότας *B* 14 αὑτούς scripsi e *LI* αὐτοὺς *CBLau* edd 16 δὲ *I* 17 ἐκστρατείας *I*

καλύπτεται δὲ καὶ ἡ γῆ πεζῷ | πολλῷ καὶ R IV 397 *ναυσὶ θάλαττα. ποταμοὺς δὲ ἤλεγξεν ἡ στρατιὰ πιοῦσα, τῶν τοξοτῶν δὲ ἀφιέντων βέλη τὸ ὑπὸ τούτοις σκιά, γῆν δὲ ποιεῖ τοῖς ὁπλίταις καὶ ταῖς τριήρεσι θάλατταν. καὶ δοκεῖ τοῖς ὁρῶσι θεῶν ὁ μέγιστος ἐν ἀνθρώπου τύπῳ πάντα κινεῖν, τῶν δ' Ἑλλήνων οἱ μὲν φόβῳ συνακολουθοῦσιν, οἱ δὲ ἡσυχάζειν ἐγνώκασι.* 28. *τούτων οὐδέν μου κατέσεισε τὴν γνώμην οὐδ' ἐξέπληξεν οὐδ' ἔπεισε καταλῦσαι τὰς ἀμείνους ἐλπίδας. οὐδ' ἐπὶ ξένια τοὺς ἐπὶ τὴν βῶλον ἥκοντας ἐκάλεσα κήρυκας ἀλλ' ἀπέκτεινα. καὶ οὐδὲ δι' οὗ ταῦθ' ὑμᾶς ἑρμηνέως ἐδίδασκον οὐδ' οὗτος διέφυγε τὴν δίκην, ἀλλ' ἦν μὲν ἡμέτερος ἄποικος, ὅμως δὲ ἀπέθνησκεν ἀντὶ τῆς φωνῆς αὑτοῦ.* 29. *ταῦτ' οὐκ ἦν, ὦ Νεόκλεις, ἱκανὰ τεκμήρια τοῦ καλῶς μοι τὴν ψυχὴν ἡρμόσθαι; τούτων ἕκαστον*

2 cf. p. 477, 9. Her. VII 21   3 cf. p. 477, 12   4 cf. p. 477, 10. t. IV 242, 27 R. Her. VII 24. Isocr. paneg. § 89 6 Her. VII 56. Gorg. apud [Longin.] subl. 3, 2   11 cf. t. IV 424, 4 R at cf. Her. VII 133. Paus. III 12, 7   12 cf. t. IV p. 821, 26 R. Plut. Them. 6, 2 | Mys Samius cf. Aristid. Panath. p. 198, 12 cum schol. t. III p. 125, 22 ed. Dind. (p. 47 ed. Frommel)

1 *πολλῷ πεζῷ B*   2 *στρατιὰ* scripsi e *L* sed *ατιὰ* in ras m[2], cum Gasda *στρατεία CBILau* edd   3 *τὰ* ante *βέλη I* *ὑπὸ L* sed *ὑπ* in ras m[2]   4 „*Voluit, opinor, Libanius γῆν δὲ ποιεῖ ταῖς τριήρεσι θάλατταν, καὶ θάλατταν τοῖς ὁπλίταις γῆν*" Wesseling ad Her. VII 56 p. 536, 33 lacunam statuit Gasda num *τὴν θάλατταν* post *ὁπλίταις* et *τὴν γῆν* post *καὶ* inserendum? | *δ' ἐποίει C*   5 *θάλασσαν I*   7 *δὲ CLau* edd | *συνηκολούθουν C*   8 *ἐγνώκασι* scripsi auctore Gasda *ἐγνώκεσαν* libri *ἐγνώκεισαν* edd   11 *ξένια* scripsi auctore Cobeto Misc. 153 coll Her. II 107. Xen. Anab. VII 6, 3 *ξενίᾳ* libri sed *ν* post *α* add *L*[2], edd   12 *ἡμᾶς CLau*   14 *ἀποθνήσκειν I* et *αὐτὸν ἡγούμην. δίκαιον* in marg m[2]   15 *αὑτοῦ* scripsi *αὐτοῦ LILau* edd
οὗ
αὐτῆς C αὐτῆς B | Νεόκλεις scripsi e *CBILau* *νεόκλης L* edd
16 signum interrogationis posui, comma libri edd

οὐκ ἦν ἀρκοῦν ἀποδοῦναί μοι τὴν οἰκίαν οὐδ' ἐμοὶ μὲν ἀρετὴν μαρτυρῆσαι, σὲ δὲ πεῖσαι μὴ χαλεπαίνειν; ἀλλ' Ἀθηναῖοι μὲν πάντες ἐπῄνουν καὶ παραπλησίως ἐπείθοντο τοῖς τε παρὰ τοῦ Πυθίου καὶ τοῖς ἐμοῖς ψηφίσμασι καὶ λόγοις καὶ τὴν τῶν ὅλων σωτηρίαν ἐν ταῖς ἐμαῖς εἶχον ἀνακειμένην γνώμαις· σοὶ δ' οὔπω καλὸς κἀγαθὸς ἐδόκουν οὐδ' ἀποχρώντως πεπαιδεῦσθαι, νὴ Δί', ἔργων γὰρ ἐπεθύμεις καὶ τροπαίων. 30. *ἀλλ', ὦ πρᾳότατε πατέρων, ὁ χρηστὸς καὶ σπουδαῖος ἀνὴρ τῇ γνώμῃ καὶ οἷς προείλετο κρίνεται, κἂν μὴ τὸ πέρας ἀκολουθήσῃ τῶν βεβουλευμένων ἄξιον, οὐδὲν ἧττόν ἐστι σπουδαῖος. τοῦτο μὲν γὰρ ἐκ τῆς Τύχης ἤρτηται, τῷ δὲ δεῖ μηδὲν ὧν ἐσκέφθαι προσῆκον λελεῖφθαι.*

31. *Ἔχων οὖν μου τῆς σωφροσύνης οὐ μικρὰς οὐδ' ὀλίγας τὰς ἀποδείξεις τί περιμένων οὐ διηλλάττου; μία γὰρ ἐκκλησία κρείττων οὐκ ἂν ἦν δικαίως τῆς ἀποκηρύξεως; ἀλλ' ἑνὶ τὸν ἀγαθὸν ἡγοῦ δείκνυ-*
R IV 398 *σθαι, ταῖς νίκαις. καλῶς. ταύτας | τοίνυν ἀνῃρήμην ἐπ' Ἀρτεμισίῳ καὶ πρώτῃ ναυμαχίᾳ καὶ δευτέρᾳ*

---

10 Dem. p. 320, 23   19 Her. VIII 9 et 15 sq. | Dem. p. 477, 20

---

1 post *ἀρκοῦν* ras 2 litt *L* | *οἰκίαν*; *C*   2 signum interrogationis posui ex *I* punctum reliqui libri edd   7 *ἀποχρῶντος I* | *πεπαιδεῦσθαι*; *Lau*   8 punctum posui, signum interrogationis libri edd   9 *πραότατε I* | *ἀνὴρ καὶ σπουδαῖος I*   10 *προείλετο* scripsi auctore Gasda coll Dem. l. l. *προείληπτο BILau* edd *προσείληπτο C* *προήρη το L* sed *ήρη το* in ras m²   15 *οὐδὲ CB* | *τι I*   16 *κριτῶν C* | „*οὐκ videtur delendum. una sola concio potuisset abdicationem iniustam rursus abrogare, et, si fecisset id iure merito*" Re sed simul *τῆς ἀδίκου ἀποκηρύξεως* coni   17 signum interrogationis posui, punctum libri edd   18 post *νίκαις* punctum posui, comma *Lau*, signum interrogationis reliqui libri edd   19 *ἐπ'* om *C* | *κάτω* post *ναυμαχίᾳ CBLau* ras 4 litt *L*

καταναυμαχῶν πρᾶγμα δείξας ἀνέλπιστον Ἕλλησι βαρβάρους ὑφ' ἡμῶν κατὰ θάλατταν ἡττωμένους. ἀλλ' ἐκεῖνοι μὲν ἡττῶντο, τὸ δὲ σὸν πρὸς ἐμὲ μῖσος οὐκ ἐνικᾶτο. οὕτως ἦν πολὺ καὶ μέγα καὶ μόνιμον καὶ ἀήττητον.

32. Καίτοι πρὸς ὑμᾶς ἔλεγεν ὡς φίλος ἦν μοι καὶ διὰ ταῦτα παρ' αὐτῷ λελύκει τὴν ἀποκήρυξιν, εἰρωνευόμενος, ὦ ἄνδρες δικασταί· τίς γὰρ ἂν ἐκ δυσμενοῦς γεγονὼς φίλος καὶ πρᾷος ἐκ χαλεποῦ τοῦτ' αὐτὸ πρὸς ἐκεῖνον τὸν ἄνθρωπον πρὸς ὃν οὕτω διετέθη κατώκνησεν ἂν εἰπεῖν; οὐδείς. ἔχθραν μὲν γὰρ ἤδη τις ἔκρυψεν ὡς ἐν σχήματι φιλίας, φίλος δὲ ὢν οὐδεὶς ἠβουλήθη δυσμενὴς εἶναι δοκεῖν. ἐκ μὲν γὰρ ἐκείνου κακῶς τε ποιοῦντα λανθάνειν ἔστι καὶ μὴ παθεῖν, ἐν τούτῳ δὲ οὐ ποιοῦντα μισεῖσθαι. 33. τί γὰρ ἐκώλυεν ᾧ τότε πρὸς τὴν ἀποκήρυξιν ἐχρήσω τάχει, τούτῳ χρήσασθαι πρὸς τὰ ἠδίω; Μῆδοι καὶ Σάκαι καὶ Ὑρκάνιοι καὶ ἡ πολλὴ βασιλέως χεὶρ ἐκώλυε ταῦτα μὴ πραχθῆναι καὶ δεινότατα πάντων ἔπασχες ἀνθρώπων οὐκ ἐώμενος ἐπιδείξασθαι τὰς διαλλαγάς; ὃ νῦν δρᾷς, ὦ

---

8 [Dem.] p. 1394, 13

---

2 ὑφ' reposui e libris ut coni Re ἐφ' edd 3 τὸ σὸν δὲ I 4 καὶ ante πολὺ I | καὶ (1) om C 6 ὑμᾶς I sed υ ex η corr m² 7 διαταῦτα B | καὶ ante παρ' I | αὑτῷ scripsi αὐτῶ CBLau ἑαυτῶ I αὐτοῦ L edd 8 δυσμενῶν Lau 9 πρᾶος I 11 ἔχθραν — 13 δοκεῖν citat omissa γὰρ particula floril. Neapol. fol. 285 12 τίς Lau τὶς B | ὡς om Lau καὶ coni Gasda 13 ἐβουλήθη C 14 τε L sed ε in ι corr m², Lau sed ε ex ι corr 15 εὖ I 17 μὴ ante μῆδοι BLI Lau edd delevi οἱ vel οἱ δὴ coni Iacobs Lect 119 | καὶ Σάκαι inserui e C om BLILau edd 18 ἐκώλυε scripsi e CBLau ἐκώλυσε LI edd 19 καὶ om I 20 ἔχων C | signum interrogationis posui, punctum libri edd | ἃ I

Νεόκλεις, οὐκ ἐξῆν πρότερον; οὐ βραχέων ἔδει ῥημάτων; οὐ μικροῦ μέρους ἡμέρας; ἢ τοῦτ' ἂν ἦν ἐμπόδισμα ταῖς ναυμαχίαις καὶ τοῖς ⟨τοῦ⟩ πολέμου πράγμασιν; ἀλλ' οὐκ ἂν εὔφρανας οἷς ἐποίεις τὸν δῆμον; ἀλλ' οὐκ ἂν ἐμὲ τοῦτον ὃν τότε μὲν οὐκ ᾔδεις, νῦν δὲ βιάζῃ; οὐκ ἄν σε ἔφην καλήν τινα ταύτην εἰσφορὰν εἰσενηνοχέναι τῷ Καιρῷ; 34. *πῶς οὖν πρότερον σιγήσας νῦν γίνῃ πατήρ; οὐκ ἐμὲ κτήσασθαι βουλόμενος, ἀλλὰ δι' ἐμοῦ τὴν ναυμαχίαν, τὴν Σαλαμῖνα, τὴν νίκην, τὰ ναυάγια, τὸν τῶν βαρβάρων φόνον, τὸν βασιλέως δρασμόν. τῶν γὰρ ὑπὸ τῶν παίδων, ὦ ἄνδρες Ἀθηναῖοι, κατωρθωμένων κοινωνοῦσι τῆς δόξης οἱ γεγεννηκότες, καὶ τὸ μὲν θαῦμα τοῦ δράσαντος, ἡ* R IV 399 *φιλοτιμία δὲ | ἀμφοτέρων.* 35. *τοιοῦτον οὖν ἔργον ὑπ' ἐμοῦ πεπραγμένον οἷον οὔπω πρότερον ἐπεῖδεν ὁ ἥλιος, ὃ μεθ' ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τῶν ὑμετέρων ἀρετῶν πολὺ τοῦ Μαραθῶνι σεμνότερον, ἐκεῖ μὲν γὰρ ἡ πεῖρα διὰ σατραπῶν, τοῦτο*

---

11 Her. VIII 97. 100 19 cf. p. 515, 17. [Lys.] epit. § 21. Plat. Menex. p. 240 A. Schol. Aristid. t. III p. 126,16 Dind.

---

3 *τοῦ* inserui e *B* ut coni Gasda om reliqui libri edd 4 *ἀλλ' — δῆμον;* om *I* | *εὔφρανες C* 5 *νῦν δ'* ante *οὐκ CBI Lau* 6 *ἔφην L* sed *ν* add m² *ἔφη ILau* | *ταύτην* om *C* 7 *Καιρῷ* scripsi coll t. IV 361, 23 R *καιρῷ* libri edd 8 *γίγνῃ C* | *κτήσασθαι* scripsi e *CBILau* *αἰτήσασθαι L* edd 11 *τῶν — 14 ἀμφοτέρων* omissa *γὰρ* particula citat Macarius fol 86^r | *τῶν* om Macar | *ὦ ἄνδρες Ἀθηναῖοι* om Macar 12 *κατορθωμένων L* sed *ο* in *ω* corr *κατορθουμένων CBLau* Macar 14 *τοιοῦτον* in ras *L* *εἰ Lau* | *μὲν* post *τοιοῦτον* et *τὸ* post *ἔργον I* 16 *ὃ*] *ὁ LLau* | *ὑμῶν* scripsi e *CBLLau*, ut coni Re *ἡμῶν I* edd *βουληθῇ* post *ἀρετῶν C*, *πέπρακται I* *κατειργασάμην* vel tale quid inserendum coni Re | *ἐν* ante *μαραθῶνι B* et coni Mor | *τροπαίου* post *μαραθῶνι B* cf. Arist. Vesp. 711 18 *μὲν* om *C*

δὲ αὐτοῦ βασιλέως στρατηγία, κἀκεῖ μὲν πεντήκοντα μυριάδες στρατιᾶς, ἐνταῦθα δὲ πεντακόσιαι, ταῦτ' οὖν ὁρῶν καὶ συλλογιζόμενος γέγονε μὲν οὐδὲν πρὸς ἐμὲ τῇ γνώμῃ βελτίων, εἰσάγει δ' αὑτὸν εἰς τὰ πεπραγμένα.

36. *Ἀλλ' ἔστω μέν, εἰ βούλεται, μερίτης, μᾶλλον δὲ περιιὼν ὡς αὑτοῦ τὰς νίκας ᾀδέτω κἂν εἰς τὸν δῆμον βούληται λέγειν ὡς ἐγὼ μέντοι τὸν ταῦτα δράσαντα παρεσχόμην ὑμῖν, ἐγὼ τὸν δυνατώτερον τοῦ βασιλέως πλούτου τοῖς τῶν Ἑλλήνων πράγμασιν ἔδωκα, λεγέτω, καλλωπιζέσθω, φθόνος οὐδείς, ἂν μὴ τῇ τῆς ἀποκηρύξεως ἡμέρᾳ ταῦτα λογίζηται. τοῦτο γὰρ οὐκ ἔτ' ἀνέξομαι, ὡς οὐ τῆς ἐμῆς τὰ ἔργα φύσεως, ἀλλὰ τῆς ἀτιμίας.* 37. *εἰπέ μοι, πρὸς θεῶν, ὦ Νεόκλεις, σὺ μόνος ἐχρήσω τούτῳ τῷ νόμῳ κατὰ παιδὸς ἤ τινα καὶ ἕτερον εἰπεῖν ἂν ἔχοις; εἰ μὲν γὰρ μόνος, ὅρα τί συμβαίνει καὶ τίνα σαυτὸν δεικνύεις Ἀθηναίοις· εἰ δ' εἰσὶν οἳ ταυτόν σοι πεποιήκασι, πολλοὺς ἔδει Θεμιστοκλέας εἶναι τῇ πόλει, εἰ τοῦτο ἔργον ἦν ἀποκηρύξεως τοιούτους ποιεῖν τοὺς νέους.* 38. *ἀλλὰ γάρ, ὅπερ ἔφην, ἔστω μὲν κοινωνός, εἰ βού-*

---

2 Her. VII 186   10 Plat. leg. I p. 641 D   11 cf. t. IV p. 362, 27 R

---

1 *πεντήκοντα* Mor *τριάκοντα* libri sed *πεντήκοντα* suprascr *L*², et *γρ τριάκοντα* in marg Mor   2 *στρατιᾶς* scripsi *στρατείας CBILau* edd *στρατ ι ὰς L* sed *ι ὰς* in ras m² cf. [Lys.] l. l.   4 *βέλτιον* Re | *αὑτὸν* scripsi e *L* sed ʽ in ras m², *I* *αὐτὸν CBLau* edd   5 *μερίτης*] *μερὶς τὶς αὐτῶ I*   6 *περιὼν C* | *αὑτοῦ* scripsi e *CI* sed in hoc ʽ ex ʼ corr m² *αὐτοῦ BLLau* edd   7 *βοῦ*^{λ} *C* *βούλεται Lau* | *δράσαντα* scripsi e *CB* *δεδρακότα LILau* edd   8 *παρέσχον I*   9 *πράγμασιν* om *C*   10 *δέδωκα C*   12 *οὐκέτ' LI*   14 *τῶ νόμω τούτω I*   15 *καὶ* om *B* | signum interrogationis posui punctum libri edd   17 *οἳ* scripsi e *CI* *οἱ BLLau* edd   18 *τοῦτ' Lau*

λεται, τῆς δόξης καὶ θαρρείτω γε ὡς οὐδὲν κακὸν ὑπ' ἐμοῦ πεισόμενος, οὐ γὰρ δὴ μνησικακήσω γε οὐδ' ἐπὶ τιμωρίαν τρέψομαι, μήποτε οὕτω γενοίμην κακός, ἀλλὰ κἂν εἴ τις ἄλλος ἐπηρεάζοι, καὶ χαλεπανῶ καὶ οὐκ ἐπιτρέψω καὶ παῖδα οὗτος ἐν τούτοις ὄψεταί με, τὴν δὲ οἰκίαν ἐχέτω καθ' αὑτὸν καὶ κληρονόμον ζητείτω χρηστόν τινα καὶ σώφρονα. πολλοὶ δὲ Ἀθήνησι καὶ ἴσως πλὴν ἐμοῦ | R IV 400 *πάντες. τί σαυτόν, ἄνθρωπε, καταισχύνεις; τί τῶν ὀνειδῶν ὧν ἀπήλλαξας τὸν οἶκον, ταῦτα πάλιν σαυτῷ περιάπτεις; εὐδοκίμησας ἐκβαλών με [καὶ] διαφύλαττέ σοι τὴν δόξαν.*

39. *Ἀλλὰ δέδοικας μή τι παρὰ τῶν θεῶν διὰ ταῦτα μοι προσπέσῃ; εἰ μέν σε προὐπηλάκιζον ἢ κακῶς ἔλεγον ἢ τοὺς πράγματά σοι παρέξοντας καθίην, ἴσως μὲν οὐδ' ἂν τότε περὶ πατέρα ἡμάρτανον, σὺ γὰρ τοῦτο ἐξήλειψας τὸ δίκαιον διὰ τοῦ δικάζοντος. πλὴν δῶμεν ἀπ' ἐκείνων ἂν γενέσθαι τινὰ παρὰ τῶν θεῶν ὀργήν, εἰ δὲ ἐν οἷς με σὺ κατέστησας, ταῦτα ἀκίνητα φυλάττω, πῶς τοῦτο τοῖς θεοῖς ἀηδές; δεινὸν τὸ μὴ χαρίσασθαί σοι; τὸ δὲ τὴν μητέρα προδοῦναι τὴν διὰ τὴν ἐπ' ἐμοὶ λύπην ἀποθανοῦσαν οὐ δεινόν; ἢ ταῦτα*

---

21 cf. p. 491, 3. Plut. Them. 2, 6. Valer. Max. VI 9 ext. 2

---

2 *οὐδὲ B* 3 *τιμωρίαν* scripsi e *LLau*, ut coni Gasda *τιμωρίας CBI* 4 *ἄλλος* om *Lau* | *ἐπηρεάζῃ CB* 6 *καθ' αὑτὸν* scripsi *κατ' αὐτὸν* libri edd 8 *χρηστοὶ* ante *πάντες* *I* 10 *ταῦτα* om *I* | *σαυτῷ* scripsi e *CBLau* *σεαυτῷ LI* edd *ἐκβάλλων C* 11 *καὶ* in *μένε* corr *I*[2] om in ras 1 litt *L* cancellavi | *διαφύλαττέ σοι* scripsi *διαφυλάττων ἔσο B* *διαφυλάττων CI* *διαφύλαττε LLau* edd 12 *παρατῶν I* | *διαταῦτα B* 14 *σοι* om *C* | *καθέξοντας I* | *καθίειν B* 15 *περὶ πατέρα* om *I* 17 *ἀπ'* scripsi *ἐπ'* libri edd 18 *δ' B* 19 ante *φυλάττω* ras 4 litt *I* | *γὰρ* post *δεινὸν I* 21 *ἐμὲ I*

οὐκ οἴει τοὺς θεοὺς εἰδέναι ἢ μὴ βούλεσθαι παρὰ τοῖς υἱέσιν εἶναί τι καὶ τὸ τῶν μητέρων; αὐτῶν δὲ ἐκείνην αἰσθανομένην οὐκ οἴει στενάξειν καὶ διαλέξεσθαι τοῖς τούτων ἐφόροις δαίμοσιν οἷα ἀνθ' οἵων κομίζεται; 40. πάνυ γε ταῦτα ἀκίνδυνα; καλόν γε εἰσελθεῖν ἐκεῖσε οὗ κατέκειτο ἡ ταλαίπωρος ἀρρωστοῦσα τίλλουσα τὰς τρίχας καὶ σπαράττουσα τὸ πρόσωπον καὶ τούτου δεομένη λῆξαι τοῦ θυμοῦ καὶ μὴ τυγχάνουσα οἴκτου καὶ τὴν ψυχὴν ἅμα δάκρυσιν ἀφιεῖσα, καλόν γε οὗ ταῦτα ἐπράχθη πίνειν ἐμὲ καὶ στεφανοῦσθαι καὶ τοὺς ἐπιτηδείους ἑστιᾶν καὶ λύρας ἀκούειν καὶ σκολίων καὶ ἄλλα ποιεῖν ὅσα ἐν συνδείπνῳ νόμος. καλῶν γε ὀνειράτων ἐπὶ τοιούτοις δείπνοις γευσόμεθα. τίς καὶ πρὸς ἑτέρους ἀγῶνας ἀπ' εὐσεβῶν πλεύσομαι τῶν ἔργων; δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μή με τοῦτο τῆς εὐνοίας ἀποστερήσῃ τῆς τῶν Ἐλευσινίων θεῶν,

16 Her. VIII 65

2 τὸ om *Lau* | ὄνομα post μητέρων excidisse coni Gasda | αὐτὴν coni Gasda 3 ἐκείνην *I* sed ίνην ex ῖνον corr m[2] ἐκείνων *Lau* | στενάξειν scripsi e *L* στενάζειν *CBILau* edd sed „*fortasse* στενάξαι *ob insequens* διαλέξασθαι, *vel potius* στενάξειν καὶ διαλέξεσθαι" Re | διαλέξεσθαι scripsi e *BL* sed in hoc ε(2) in ras m[2] διαλέξασθαι *CILau* edd 5 πάνυ γε ταῦτα ἀκίνδυνα emblema lectoris orthodoxi perperam habet Gasda | signum interrogationis posui punctum libri edd 8 λῆξαι scripsi e *LLau* λήξαι *CBI* edd | σοῦ *L* 9 ἅμα σὺν δάκρυσιν ἀφῆκε *I* 10 γε om *I* | στενοῦσθαι *Lau* ἑστιᾶσθαι *C* 12 σκολιῶν libri sed om *I* et εἶδος ᾄσματα τὰ σκόλια in marg *L*[2], edd cf. t. II 370, 3 | καὶ om *I* | ἄλλα scripsi e *CI* ἀλλὰ *BLLau* edd | συνδείπνῳ Mor sed γρ συνδείπνων in marg 13 γευσόμεθα scripsi ut coni Re ἐσόμεθα libri edd μέτοχοι post ἐσόμεθα *I* 14 τίς] „*hic deesse nonnulla videntur, num leg.* τίσιν οἰωνοῖς καὶ πρὸς ἑτέρους ἀγῶνας ἀπ' ἀσεβῶν πλεύσομαι *ab impiis facinoribus*" Re cui oblocutus est Iacobs Lect 119 | πλεύσαιμι *C* ἐλεύσομαι coni Mor 16 ἔργων *B*

δέδοικα μή μοι δυσμενῆ ποιήσῃ τὰ πνεύματα, μὴ τοὺς R IV 401 *Αἰακίδας ἐχθρούς, | μὴ τὴν θάλατταν ἐναντίαν.*

41. *Ἥδιστον, ὦ Νεόκλεις, ἡ συνήθεια τοῖς ἀνθρώποις. βεβίωκας ἄνευ ἐμοῦ χρόνον ἤδη μακρόν· ἔχου τῆς τέρψεως. βεβίωκα τὸν αὐτὸν μηδενὸς τῶν σῶν μετέχων· οὐ προήσομαι τὴν ἀπὸ ταύτης τῆς μελέτης ἡδονήν. χωρὶς δὲ τούτων, οὐδ' ἄλλως ἡμῖν ἀσφαλὲς συνοικεῖν. λέγεται γὰρ τὴν φύσιν βέβαιόν τι καὶ πάγιον εἶναι. σὺ μὲν οὖν ἐπ' ἄκρον ἀρετῆς ἥκεις καὶ οὐδ' ἂν τοῖς φιλαιτίοις εἰς αἰτίαν ἀφορμὴν δοίης, ἐγὼ δὲ γέμω νοσημάτων, ἃ νῦν μὲν ἴσως ἡσυχάζει, χρόνου δὲ προϊόντος κινήσεται. ἀνάγκη δὴ πάλιν ταὐτὰ ποιεῖν, μέμφεσθαι, καταβοᾶν, ἐγκαλεῖν, κατηγορεῖν τῶν διαλλαγῶν, ἐπαινεῖν τὴν ἀποκήρυξιν, βουλεύεσθαι περὶ δευτέρας. ⟨καὶ⟩ οὐκέτ' ἂν ἐμὸν εἴη μόνον ὄνειδος, ἀλλὰ καὶ ὧν ἡγησάμην ἁπάντων Ἀθηναίων.* 42. *ἵν' οὖν μὴ χαλεπώτερα ἐπισπασώμεθα κακὰ μηδ' ἐπὶ πολλῷ συνέλθωμεν, στήσωμεν ἐνταυθοῖ τὸ πρᾶγμα. οὐδὲν δέομαι χρημάτων. ἀρκεῖ μοι τὸ μέχρι Σούσων ἀφιγμένον ὄνομα. οὐ δεῖ βασιλέα τοιοῦτον δέξασθαι λόγον, ὡς ἐγὼ μικρός τίς εἰμι τὴν γνώμην καὶ καλού-*

---

2 Her. VIII 64 17 cf. t. II 348, 3 19 cf. p. 481, 23

---

1 *με I* | *δυσμενῆ* reposui e libris ut coni Re *δυσμενεῖ* edd 3 *ἥδιστον — ἀνθρώποις* citat omissis verbis *ὦ Νεόκλεις* Macarius fol 86r 4 *ἤδη* om *C* 5 *τῶν αὐτῶν ἐγὼ μηδενὸς I* 7 *ἀσφαλῶς I* 11 *γέμων B* 12 *δὲ I* | *ταὐτὰ πάλιν I* | *ταὐτὰ* scripsi ex *I* *ταῦτα CBLLau* edd 14 *ἀλλαγῶν CB* *ἄλλων Lau* | *βουλεύεσθαι* scripsi e *CLau* ut coni Re *βούλεσθαι BLI* 15 ⟨*καὶ*⟩ inserui ex *I*, ut coni Gasda om *CBLLau* edd | *οὐκέτ' ἂν*] *τοῦτο, οὐ I* | *ἐμὸν εἴη μόνον* scripsi e *CB Lau* *εἴη ἐμὸν μόνον L* edd *μόνον ἐμὸν εἴη I* 16 *ἁπάντων* om *I* 17 *μὴ δ' LILau* 18 *κακῶ I* | *ἐνταυθοῖ στήσωμεν I* 19 *οὐ C* 20 *βασιλέων Lau*

μενος ὑπὸ τῶν ὑβρικότων ἐπὶ κλῆρον καὶ κέρδος τρέχω.

43. *Πατὴρ οὐκ ἔστι μοι Νεοκλῆς καὶ ταῦτα ζῶν ἔτι, ἀλλ' ἔστιν ἕτερος, εἰ δίδως εἰπεῖν, βελτίων, ὁ τὸ μέγα ἔργον ἐργασάμενος ὁ δῆμος, ὁ τῆς μὲν χώρας ἀνθελόμενος τὴν θάλατταν, τὴν χώραν δὲ αὐτὴν διὰ τῆς θαλάττης ἀπολαβών. τοῦτον θεραπεύων καὶ μείζω ποιῶν βιώσομαι. παρὰ τούτου τιμώμενος ἔχω τὴν μεγίστην οὐσίαν. σὺ δ' ἀνοικοδόμει μὲν τὴν οἰκίαν, ἔξεστι γάρ, ὅτῳ δὲ τὰ σαυτοῦ παραδῷς μετὰ τῶν φίλων σκόπει. ὡς ἔμοιγε οὐ μόνον εἰσελθεῖν ἐκεῖσε φοβερόν, ἀλλὰ κἂν παρὰ τὰς θύρας στῶ, πλήττομαι τὴν ψυχὴν ὑπὸ τῆς μνήμης ὧν ἔπαθον.*

---

5 ὁ(1) om *C* 8 *ὁρμώμενος B* 9 *ἀνοικοδόμει* scripsi e *CLILau* ut coni Re *ἂν οἰκοδόμει B* edd 10 *ὅτῳ* scripsi e *CLILau* ut coni Re *οὕτω B* edd | *δὲ L* sed in *δηλονὼς* corr m[2] | ante *τῶν* ras 2 litt *I* 12 *στῶ* om *C*

XI.

Declamatio inscripta Ὁ Κίμων αἰτῶν ὑπὲρ τοῦ πατρὸς δεθῆναι qua Cimon ab Atheniensibus petit ut Miltiadis loco in vincula coniciatur[1]), quamquam in nonnullas eclogas recepta est, non ita multorum tulit plausum. Parvus igitur numerus est codicum quibus ad nostram aetatem pervenit; vetusti desunt. Superstites autem sunt hi 17:

1. Vindobonensis Philos. et Philol. IV 82 (= Vi) saec. XIV fol. 29. Vide supra p. 169 sq. Contuli.

2. Monacensis gr. 113 (= Mo) saec. XVI fol. 211. Vide t. I p. 413 sq. Descriptus est e Vindobonensi. E parte contuli.

3. Athous Laurae Ω 123 saec. XIII fol. 166. Vide t. I p. 323 sq.

4. Vaticanus Ottobonianus gr. 69 saec. XVI/XVII fol. 178ᵛ. Vide t. I p. 222 sq.

5. Barberinus II 41 nunc Vaticanus (= B) saec. XV fol. 319ᵛ. Vide t. I p. 24 sq. Contulimus ego et Pius Franchi de Cavaleriis.

---

1) Summa argumenti ficta est similiter atque apud Valerium Maximum V 4 ext. 2 *Ne te quidem, Cimo, silentio involvam, qui patri tuo sepulturam voluntariis vinculis emere non dubitasti* et Quintilianum declam. 302 *isti accusatores et Cimoni illi qui patris corpus vicario corpore redemit, crimini darent.* In rebus vero singulis Libanius Herodotum magis quam Ephorum (cf. tamen p. 526, 9) secutus est, etsi non illius vestigia tantopere pressit quantopere Choricius in tractanda simili causa, Miltiadis defensione, quam in indice lectionum universitatis Vratislaviensis per hiemem anni 1892/93 habendarum edidi et in Choricii operum editione repetam.

6. Neapolitanus II E 17 saec. XIV fol. 262ᵛ. Vide t. I p. 211 sq.

7. Laurentianus LVII 23 (= L) saec. XIV fol. 133ᵛ. Vide supra p. 176 sq.

8. Ambrosianus E 92 sup. saec. XIV/XV fol. 76ᵛ. Descriptus est e Laurentiano LVII 23. Vide supra p. 178 sq. et 451. Inspexi.

9. Mosquensis bibliothecae synodalis 489 saec. XV fol. 207ᵛ. Vide supra p. 180.

10. Parisinus gr. 3015 saec. XIV fol. 69ᵛ. Vide supra p. 175 sq. Ad idem exemplar redit atque

11. Parisinus gr. 3018 saec. XV fol. 163. Vide supra p. 173 sq.

12. Hierosolymitanus S. Sepulcri bibliothecae patriarchalis 79 (= I) saec. XV fol. 16. Vide supra p. 451 sq. Contulit mihi anno 1908 Maximilianus Loehr.

De excerptis Burneianis et Lambethianis vide supra p. 456 n. 12 et 13.

13. Laurentianus LIX 30 (= Lau) saec. XIV fol. 240ᵛ. Vide t. I p. 417 sq. et supra p. 457. Contuli.


14. Neapolitanus II E 19 (154) saec. XV fol. 91ᵛ. Vide t. I p. 331 sq.

15. Escurialensis T-II-11 (147) saec. XVI fol. 40ᵛ. Vide supra p. 366 sq. Ad eundem fontem redit atque Neapolitanus II E 19.

16. Ambrosianus I 49 sup. anno 1488 exaratus fol. 234ᵛ. Vide t. I p. 363 sq.

17. Ambrosianus L 64 (485) saec. XIV fol. 100ᵛ. Vide t. I p. 426 sq.

Ex his quos in censum vocandos esse duxi codices quinque *ViBLILau* hic quoque in duas discedunt familias quarum prior codicibus *ViB*, altera *LILau* continetur, ita tamen ut *Lau* etiam codicis prioris familiae vim expertus sit qui ex eodem quo *B* fonte fluxit. Necessitudinis vinculum quo singuli codices inter se coniuncti sunt hoc tibi reddet stemma:



In universum hic quoque prior familia alteri fide praestat, sed nullus codex integritate praeter ceteros eminet, immo vero omnes ne *Vi* quidem excepto alius alia labis contractae signa ferunt.[1])

Si unum locum a Macario Chrysocephalo[2]) laudatum excipis, testimonia desunt.

Declamatio in lucem protracta est a Fed. Morello Liban. opp. t. I p. 479—488 qui aut ipsum *L* manu secunda correctum[3]) aut codicem e quo correctus est pro fundamento habuit, sed etiam codicem cum *B* cognatum adhibuit.[4]) Vitia quibus haec editio scatet multa cum ope codicis Monacensis, quem Bavaricum primum (B) appellavit, tum divinando sanavit Reiskius, sed hic quoque uxor quae editionem t. IV p. 336—348 fecit textum Morellianum servare quam emendationes mariti recipere maluit.

Nonnulla ad textum corrigendum contulerunt Fr. Iacobsius et A. Gasda.[5])

1) Cf. supra p. 457.
2) Cf. t. I p. 351 sq.
3) Cf. p. 514, 1 et supra p. 458.
4) Cf. p. 528, 3.
5) Cf. supra p. 198.

XI.

Ὁ Κίμων αἰτῶν ὑπὲρ τοῦ πατρὸς δεθῆναι.

1. Ἀληθὲς ἦν ἄρα, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ R IV 335 λεγόμενον τοῦτο τὸ μηδὲν ἀνάγκης εἶναι δυνατώτερον. ἔγωγ' οὖν νέος τε ὤν, ὡς ὁρᾶτε, καὶ πραγμάτων ἄπειρος ἀπὸ τοῦ δεσμωτηρίου δεῦρ' ἥκω καταλιπὼν αὐτόθι τὸν ταλαίπωρον Μιλτιάδην νόσῳ τε καὶ δεσμῷ πιεζόμενον καὶ δεῖσθαι τολμῶ δήμου τοσούτου πρᾳότερόν τε ἡμῶν ἢ πρότερον ἀκοῦσαι καὶ δοῦναι χάριν ἢ τὸ μὲν τίμημα τῆς | πόλεως φυλάξει, τῷ δὲ ἠτυχη- R IV 336 κότι παραμυθίαν οἴσει τινά. 2. τὸ μὲν οὖν βέλτιον ἦν ἐν τῇ πρὸς τοὺς βαρβάρους μάχῃ τὸν πατέρα μοι

Vi = Codex Vindobonensis Philos. et Philol. IV 82
B = Barberinus II 41
L = Laurentianus LVII 23
I = Hierosolymitanus S. Sepulcri 79
Lau = Laurentianus LIX 30

---

3 Her. I 91, 1; IX 16, 3. cf. VII 172. Parmen. 8, 30 ed. Diels. Callim. h. IV 122

---

1 Ἄλλη μελέτη et ὑπόθεσις ante Ὁ Κίμων Κίμων post δεθῆναι edd delevi 2 ἄρα om *Vi* ἄρ' *Lau* 4 ἔγωγε *BLau* | γοῦν e γ' οὖν corr ras *L* | ὡς om Mor sed inserendum coni Not f VI e *Mo* inser Re 5 δεῦρο *Vi* | ἥκω scripsi ἥκων *LLau* sed in utroque ν eras, *I* edd sed „*malim* ἥκω" Re ἧκον *ViB* 6 δεσμῷ πιεζόμενον lacuna indicata om Mor sed γήρᾳ πιεζόμενον coni Not l.l. 7 καὶ om *LILau* Mor | πραότερον libri edd 8 τε om *I* | ἡμῖν Mor | ἢ πρότερον inserui e *BLILau* om *Vi* Re ἢ πρό* Mor sed πρότερον vel πρὸ τοῦ coni Not 10 τότε *Vi*

πεσεῖν καὶ τὴν αὐτὴν Κυναιγείρῳ τε καὶ Καλλιμάχῳ δέξασθαι τελευτήν· ἐπεὶ δὲ καὶ νενικηκὼς καὶ στήσας τὸ τρόπαιον οὐκ ἐδυνήθη τῆς ὑπὲρ ὑμῶν οὐδαμοῦ στῆναι προθυμίας, ἀλλ' ἕτερ' εὐθὺς ἐπενόει, ἐχρῆν αὐτὸν ἐν τοῖς δευτέροις γοῦν τούτοις ἀποθανεῖν μηχανώμενον ἑλεῖν τοὺς ὑμετέρους ἐχθρούς· ἐπεὶ δὲ ἐφιλονείκησεν ὁ δαίμων δεσμώτην δεῖξαι Μιλτιάδην καὶ θανάτου στρατηγῷ πρέποντος ἐφθόνησε τῷ πατρί, γένεσθε ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, φιλανθρωπότεροι τῆς Τύχης καὶ μετενέγκατε τὸν δεσμὸν ἀπὸ σώματος ἀπειρηκότος ἐπὶ τὸν ἴσως ἐνεγκεῖν δυνησόμενον, ἐμέ.

3. Ἴσως μὲν οὖν τινες ὑμῶν, ὡς ὤφθην ἐπὶ τοῦ βήματος ἐφ' οὗ ποτε ἔλεγε Μιλτιάδης καὶ ἐδημηγόρει καὶ μετὰ τοῦ πρώτου ῥήματος ἀφῆκα δάκρυον, εἶπον [ἂν] πρὸς ἀλλήλους· Κίμων οὗτος ἥκει νῦν ἱκετείαις τε καὶ θρήνῳ λύσων τῷ πατρὶ τὴν συμφοράν, οἶδε δὲ Ἀθηναίους ἐλεήμονας οὐ πρὸς τοὺς αὑτῶν πολίτας μόνον οἷς ἱερῶν καὶ πολλῶν ἑτέρων μεγάλων τε καὶ σεμνῶν κεκοινήκασιν, ἀλλὰ καὶ πρὸς ξένους οἷς ἓν μόνον ὑπάρχει δίκαιον τὸ πεπραγέναι κακῶς, ἥκει τοὺς

1 cf. t. IV 451, 25 R. Her. VI 114 | cf. ad t. II 358, 17
21 Dem. c. Aphob. I p. 835, 6

3 τρόπαιον στήσας *Vi* | τὸ inserui e *BL* sed in hoc eras, *I Lau* om *Vi* edd | ἠδυνήθη *B* 4 ἐπενόει *L* sed ει suprascr m² cf. libell. de constr. verb. cod. August. ed. G. Hermann de emend. rat. gramm. graec. p. 384, 20 ἐπινοῶ αἰτιατικῇ, ὡς καὶ Λιβάνιος | χρῆν *Vi* 5 γοῦν om *LI* Mor 7 δεῖξαι scripsi e *ViILau* et γρ in marg Mor θέσθαι *BL* sed in hoc γρ δεῖξαι in marg, edd 9 ὦ ἄνδρες ὦ *Vi* 11 ἐμέ om *Vi* 13 οὗ scripsi ᾧ libri edd | ἔλεγε om *B* 14 βήματος *Vi* 15 ἂν cancellavi αὖ *Vi* 17 οἶδε reposui e libris sed οἶδεν *La* εἶδε edd sed „*malim* οἶδε γάρ Re οἶδεν Ἀθηναίους Iacobs Ach T 814 18 αὑτῶν scripsi αὐτῶν libri edd 20 πρὸς *L* sed ὸς in ras 21 πεπραχέναι *Vi* | καλῶς *ViB*

αὑτοῦ προγόνους Κίμων οὑτοσὶ καταλέξων, Μιλτιάδας καὶ Στησαγόρας καὶ Κίμωνας. μέγα πεπίστευκεν ἔχειν εἰς τὸ πεῖσαι τὴν Χερρόνησον, οὐκ ἔλαττον τὴν Λῆμνον ἣν τῆς πόλεως ἐποίησε σοφίᾳ Πελασγοὺς ἐκβαλών. τὸ δὲ μέγιστον, ὁ Μαραθὼν | R IV 337 αὐτὸν δεῦρο ἤγαγεν ἅπαν ἔγκλημα νικῆσαι δυνάμενος, δι' ὃν σῶς μὲν ἡ πατρίς, σῶς δὲ ἡ Ἑλλάς, μέγα δὲ ἐν ἀμφοτέραις ταῖς ἠπείροις τὸ τῶν Ἀθηναίων ὄνομα, βασιλεὺς δὲ ὁ μέγας ἐδιδάχθη μὴ πάντα νομίζειν δύνασθαι. 4. παρ' ὑμῶν μὲν ἴσως τισὶ τοιαύτη δόξα περὶ τῆς ἐκεῖσε σπουδῆς, ἐγὼ δ' ἕνεκα μὲν τοῦ τῆς πόλεως ἤθους ἐχρησάμην ἂν ἐπὶ τούτῳ καὶ τούτοις καὶ ἔτι πλείοσι λόγοις, ἔστι γὰρ ἡμῖν τοιούτων ἀφθονία δικαίων· ἐπεὶ δὲ οὐκ ἀξιοῦμεν ἡμᾶς αὐτοὺς τοσούτου γινώσκοντες ἐξ οἵων οἷοι γεγόναμεν, τὸ μὲν τίμημα μενέτω, δότε δὲ ἡμῖν τὸ σῶμα ἀντὶ τοῦ σώματος δεθῆναι τοὐμὸν τοῦτο ἀντ' ἐκείνου τοῦ νυνὶ δεδεμένου.

5. Καὶ βραδέως μὲν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι,

---

2 Her. VI 34 et 103, 1   5 Her. VI 140   10 cf. p. 499, 6

---

1 *αὑτοῦ* scripsi e *ViB* *αὐτοῦ* *LILau* edd | *οὑτωσὶ* *L* sed ω in ο corr ras, *Lau* sed ω corr m² 2 *Στησαγόρας* scripsi e *Lau*, ut coni Re, coll p. 526, 3. Her. l. l. *στησισαγόρας* *B* *τισαγόρας* reliqui libri sed *τι* in ras *L*², edd 3 *πεπίστευκας* *Vi* | *χερόνησον* *Vi* cf. p. 312, 7 4 *τὴν* scripsi e *ViBILau* *δὲ καὶ* *L* edd *καὶ τὴν* Iacobs Lect 111 5 *καὶ* ante *πελασγοὺς* *Vi*

8 *ἐν* om *B* 11 „*malim* *μὲν οὖν ἴσως*“ Re 12 *ἐκεῖθε*^ν *L* sed *θ* in ras et *ν* add m² *ἐκεῖ* Gasda | *δὲ* *Lau* edd 14 *τούτων* *Vi* | *ὑμῖν* *Vi* 16 *τοσοῦτον* *L* sed in *τοσούτου* corr m², *Lau* Mor „*possit quoque* *τοσούτων* *legi*“ Re | *γινώσκοντες* scripsi e *ViLau* *γιγνώσκοντες* *BLI* edd | *οἶδα* Mor sed *quales* vertit cf. Iacobs Anth Pal III 889

ταῦτα ἐν ὑμῖν λέγω, ἔδει γὰρ εὐθὺς ἐπ' ἐκείνης με τῆς ἐκκλησίας ἐμαυτὸν ἀντιδοῦναι· ἐπεὶ δὲ οἱ τότε ἐγκείμενοι τῷ πατρὶ καὶ παροξύνοντες ὑμᾶς καὶ τοῖς οὐκ ὀργιζομένοις ἐπιτιμῶντες οὐκ ἔδωκαν ἡμῖν ἰδεῖν ὅ τι ποιοῦντες ἀμείνους ἂν εἴημεν, νῦν γε ἀκούσατε καὶ δότε τὴν χάριν καὶ βοηθήσατε δι' ἐμοῦ τῷ δυστυχεῖ Μιλτιάδῃ. 6. ᾧ παρεκαθήμην μὲν δακρύοντι δακρύων, σιωπῶντι λαλῶν, ἔλεγον δέ· ὦ πάτερ, οἶδα μέν σοι χάριτας ὀφείλων τοῦ φῦναι, τοῦ τραφῆναι, τῆς ἄλλης ἐπιμελείας οὐδὲν φαυλοτέρας τῆς παρὰ τῶν ἄλλων εἰς τοὺς ἐξ ἑαυτῶν, ἀπορῶ δὲ ὅπως ἂν ἐπαμύνοιμί σοι. παρὰ τίνα γὰρ ἔλθω; παρὰ τίνος αἰτήσω; τίς δώσει πεντήκοντα τάλαντα; πόσην ἄν τις καταθείη τοὐμοῦ σώματος τιμήν; ὡς ἔμοιγε καὶ πεπρᾶσθαι κέρδος, εἴ τι τῶν σῶν δύναιτο τοῦτο ἐπανορθῶσαι· τί λέγω πεπρᾶ-
R IV 338 σθαι; | τεθνάναι μυριάκις δεξαίμην ἂν ἐπὶ τοιούτῳ μισθῷ. καὶ ἅμα τε ὀδυρόμενος ἐνενόησα τοῦτο ὃ νῦν ποιῶ καὶ πρὸς αὐτὸν εἶπον ὡς ἐφ' ὑμᾶς καταφεύξομαι καὶ περὶ δεσμῶν διαλέξομαι, καὶ οἶμαι πείσειν ἔφην. 7. ὁ μὲν οὖν διεκώλυε τοῦ παιδὸς φειδόμενος, ἐγὼ δὲ αὐτῷ τούτῳ μᾶλλον παρεκαλούμην,

13 Her. VI 136. Corn. Nep. Milt. 7, 6

1 *μὲν L* sed ʽν add m², Mor 3 *ἡμᾶς Vi* 4 *ἡμῖν L* sed *ἡμ* in ras m² *ὑμῖν Lau* 5 *ὅτι Vi* 7 *δακρύοντι* om Mor num ⟨*οὐ*⟩ *δακρύοντι*? 9 *τὰς* ante *χάριτας Lau* 10 *περὶ Vi* 11 *ἀπορῶν Vi* 12 *ἐπαμύνοιμι* scripsi e *ViB Lau* *ἐπαμύναιμι L* sed *αι* in ras m², *I* edd | (1 et 2) *περὶ Vi* 14 *τοὐμοῦ* reposui e *ViBL* *τοῦ μου ILau* edd *τοῦ ἐμοῦ* Gasda 15 *ἔμοιγε* scripsi auctore Re *ἐμοὶ δὲ* libri edd | et 16 *πεπρᾶσθαι* scripsi e *Vi* *πεπράσθαι* reliqui libri edd 16 *καὶ τί* coni Gasda 17 *ἂν* om Mor 18 *τε* scripsi *γε* libri edd 21 *μὲν οὖν*] *δὲ B*

τῇ τοῦ πατρὸς περὶ ἐμὲ προνοίᾳ, νομίζων πρέπειν μοι τά γε τοιαῦτα νικᾶν καὶ δεῖν καὶ μὴ βουλομένῳ πατρὶ τὴν τοιαύτην διδόναι χάριν. γινέσθω δή τι τῆς ἐμῆς προθυμίας ὄφελος καὶ μή μοι τὰς ἐλπίδας αἷς ὡς ἐντευξόμενος ἧκον ἐλέγξητε, ὦ ἄνδρες Ἀθηναῖοι.

8. Ἀλλ' οὐ κατὰ τὸν νόμον τοῦτο, φησί, λελύσθαι μὲν ὃν οὐ δεῖ, δεδέσθαι δὲ ὃν οὐ χρή. ὢ τῆς δυστυχίας τοῦ πατρός. ἔτι φθονεῖται καὶ οὐκ ἐνέπλησε τοὺς δυσκόλως πρὸς αὐτὸν ἔχοντας τοσοῦτο πλῆθος κακῶν. καίτοι πρός γε τοὺς πταίσαντας καὶ τοὺς ἄγαν δυσμενεῖς αἱ συμφοραὶ διαλλάττουσιν. ὥστε ἔγωγε τοὺς τότε κατηγόρους ᾤμην εὑρήσειν συνηγόρους τήμερον, οἱ δ' οὐχ ἱκανὸν νομίζουσιν, ὡς ἔστιν ἰδεῖν, εἰ μὴ καὶ γεύσαιντο τοῦ σώματος. 9. διὰ τί; οὐκ ἔστιν ἐκεῖνος Μιλτιάδης ὁ πέμπων εἰς Σπάρτην τὸν Φιλιππίδην οὐδ' ὁ καλῶν Λακεδαιμονίους οὐδ' ὁ μελλόντων τρέχων οὐδ' ὁ μυρίους ἄγων ἐπὶ τὰς πεντήκοντα μυριάδας οὐδ' ὁ πείθων μηδὲν τῶν δεινῶν δεδιέναι οὐδ' ὁ τοῖς κατηρκόσιν ὡς ἁρπασομένοις τὴν πόλιν

4 Plat. Prot. p. 310 E 15 Her. VI 105 16 Corn. Nep. Milt. 5, 1 17 cf. p. 502, 19

1 πρὸς *Vi* Re | comma post προνοίᾳ posui e *Mo* cum Sinteni colon *Vi* om reliqui libri edd 2 νικᾶν corruptum censet Gasda 3 γινέσθω scripsi, ut γιγνέσθω vel γενέσθω coni Gasda διδόσθω libri edd 4 αἷς scripsi ἃς libri edd | ὡς in ras *L*² om *BLau* | ἐντευξόμενος scripsi e *BLau* τευξόμενος *ViLI* edd 5 ἧκον scripsi e *BLau* ἥκω *I* et in ras *L*² edd εἶδον *Vi* 6 ἀλλ' *I* et inser *L*² om *ViBLau* | τοῦτον *B* 7 οὐ(1) om *ViBLau* delendum censet Re qui ἔδει δεδέσθαι, δεδέσθαι δὲ coni 9 τοσοῦτον *Vi* Re 11 δυσφοραὶ *Vi* 13 οἱ δ' om *Vi* 14 γεύσονται *Vi* „*quod verum videtur*“ Iacobs Lect 111 at cf. p. 516, 19 et ad t. IV 218, 1 15 φιλιππίδην *L* sed δην in ras m² 18 καλῶν *Vi* 19 κατηρτηκόσιν *L* sed τη eras, *Lau* | ἁρπασαμένοις *Vi* ἀναρπασομένοις Cobet Mnem. N. S. III 151 cf. t. II 165, 5

ἐν τῇ φυγῇ ποιῶν τὴν σωτηρίαν εἶναι; πέπτωκεν ὁ μέγας ἐκεῖνος, οἴχεται τὰ σεμνά. μετὰ τῶν κακούργων δέδεται. τίς ἔτ' ἂν ἀξιώσειε μὴ λίαν ὠμὸς ὢν τῷ R IV 339 *τοιούτῳ πολεμεῖν;* 10. *ὁ γὰρ | νόμος, φησίν, ἀδικηθήσεται λυομένου. ποῖος; εἰ μὲν γὰρ ἕτερός τις ἔγραφε· λελύσθω μὲν Μιλτιάδης, δεδέσθω δὲ Κίμων, εἴτε βούλεται εἴτε μή, καλῶς ἂν ἠγανάκτεις ὡς ἐπ' ἀδίκοις καὶ δεινοῖς καὶ δημοκρατίας ἀλλοτρίοις· εἰ δὲ ἐμαυτὸν τῷ δεσμῷ δίδωμι καὶ δέομαι καὶ ἱκετεύω δεθῆναι καὶ τὸ δυστυχὲς τοῦτο καὶ πικρὸν κέρδος ἐμοί, τίς ἐνταῦθα παραβαίνεται νόμος;* 11. *οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν ὡς ὁ πατὴρ ἐπέταξέ μοι καὶ ἃ φεύγω τῇ γνώμῃ, ταῦτ' αἰδούμενος φέρω. οὐ γὰρ Μιλτιάδου γε ταῦτα ἐπιτάγματα, μὰ τοὺς θεούς, οὐ μὰ τὴν Δήμητρα τὴν ἡμῖν δυσμενῆ. ἀλλ' ἔμοιγε δοκεῖ καὶ συμφορὰν ἑτέραν οὐ μείω τῆς προτέρας τοῦτο ἐκεῖνος ἡγήσεσθαι, εἰ ὃν ὡς ἡγησόμενον ὑμῶν καὶ πρὸς ἑαυτὸν ἁμιλλησόμενον ἔτρεφε, τοῦτον ἐν δεσμοῖς θεάσαιτο. ἔστιν οὖν ἅπαν τοῦτ' ἐμόν. οὐδένα ἀδικῶ τῶν νόμων.* 12. *ἤδη τις ἰσχυρότερος ἕτερον*

---

15 cf. Her. VI 134. Schol. Aristid. de IV viris t. III 691, 21 sq. ed. Dind. Choric. Milt. § 61 p. 12, 9 sq.

---

3 *ἔτι Vi* 4 *φησίν* om *Vi* 5 *γὰρ* om *Vi* 9 *δ' Vi* 14 *ταῦτ' Vi* | *ἐπιτάγματα μὰ τοὺς θεούς, οὐ γὰρ μιλτιάδου γε ταῦτα* ante *οὐ Vi* et e *Mo* inser Re cui oblocutus est Iacobsius Lect 111 qui *μὰ τοὺς θεούς* servandum censet addens tamen: „*quodsi quis tamen ἐπιτάγματα servare voluerit, non equidem impedio: quamquam glossematis speciem habeat hoc vocabulum*“ om *BLILau* Mor *οὐ γὰρ μιλτιάδου γε ταῦτα* ut dittographiam delevi 15 *δήμητραν ViLLau* | *ἀλλ', ἔμοιγε δοκεῖ, καὶ* Iacobs Anth Pal III 526 17 *ἐκεῖνο Vi* | *ἡγήσεσθαι* scripsi e *BLau* *ἡγήσασθαι L* sed in hoc *α* in *ε* corr m², *I* edd *ἡγήσεται Vi* et tuetur Iacobsius l. l. | *ὡς* om *Vi* 20 *τίς Vi* | *ἕτερος I Lau* Mor

ἀσθενέστερον ὑπὸ φορτίου πιεζόμενον ἰδὼν αὐτὸς τοῦτο ὑπελθὼν ἔδωκεν ἀναπνεῦσαι τῷ μὴ δυναμένῳ φέρειν, τοσοῦτον δ' οὗτος ἀπέσχε τοῦ τινα αἰτίαν λαβεῖν ὥστε καὶ ἐπῃνέθη· εἰ δὲ καὶ περὶ τοὺς ἁπλῶς ἐντυγχάνοντας εἶναι τοιούτους καλόν, τίνας ἡμᾶς εἶναι δεῖ περὶ τοὺς τῷ γένει προσήκοντας; 13. εἰ δ' ἕτερος ἕτερον τριηραρχίας ἀφιεὶς αὐτὸς | ἠξίου δαπανᾶσθαι, R IV 340 τοῦτ' ἂν ὑμῖν, εἰπέ μοι, διέφερεν ἢ βλάπτεσθαι τοὺς νόμους ἐντεῦθεν ἐλέγετ' ἄν; τί δ' εἰ περὶ χορηγίαν ἐγίγνετο; παρὰ τοῦτ' αὐτὸν ἐκωλύετ' ἂν ὡς λυπήσοντα τούτῳ τὸν Διόνυσον; οὐκ ἔστι. 14. μὴ τοίνυν μηδὲ τὴν ἐμὴν ταυτηνὶ λειτουργίαν διαβαλλέτω τις, ἣ μάχεται μὲν οὐδενὶ τῶν γεγραμμένων νόμων, ὁμολογεῖ δὲ πολλοῖς τε καὶ καλῶς ἔχειν δοκοῦσιν, οὓς ὁ Σόλων τοῖς γονεῦσι βοηθοῦντας τέθεικε φόβῳ τῆς τιμωρίας καὶ τοὺς οὐ φύσει χρηστοὺς ἀναγκάζων ἃ

---

8 Plat. Lach. p. 187 D 14 Dem. p. 141, 29; 732, 20

---

1 φόρτον Mor | αὐτὸ Mor 2 ἀναπνεῦσαι *L* sed *να* in ras m² 3 *καὶ* ante *τοσοῦτον* inser *L* edd delevi | *δ'* inserui e *Vi* om *BLILau* edd | *ἀπέσχε L* sed *σχε* in ras m² *ἀπέχει BLau* 5 *τοιοῦτον Lau* | *ἡμᾶς* scripsi e *BLLau* *ὑμᾶς ViI* edd 6 *παρὰ Vi* | *τῷ* om *Vi* | *δὲ ILau* edd *δέ τις* coni Re | *ἑταῖρος* coni Re | *ἕτερον* scripsi auctore Iacobsio Anth Pal III 645 *ἑτέραν* libri edd *ἑταῖρον* coni Re 7 *τριηραρχίας* scripsi auctore Re cum Iacobsio l. l. *τριηραρχίαν* libri edd | *ἀφιεὶς* scripsi e *BL* sed in hoc *ι*(1) eras, *Lau* *ἀφεὶς ViI* edd 9 post *χορηγίαν* excidisse *χρηστὸς* aut *σπουδαῖος* aut tale quid coni Re, *τοιοῦτος* aut *ὁ αὐτός* Gasda 10 signum interrogationis posui e *Vi* colon *L*, comma *BILau* edd | *ὡς* om *Vi* | *συλλυπήσοντα Vi* 11 *ἔστιν L* sed *ν* del m² | *μὴ δὲ ViBL* 13 „*τῶν γεγραμμένων serves an τῶν οὐ γεγραμμένων legas, h. e. τῶν ἀγράφων νομίμων iuris naturalis, perinde est. habet utrumque cur probetur*“ Re | *νόμων* om *Vi* 14 *οἷς Vi* 15 *τέθεικε* reposui e libris *ἔθηκε* edd 16 *ἃ δεῖ B* sed *εῖ* in ras m², *L* sed *ει* in *η* corr m² *ἃ δὴ Lau* *ἃ νῦν Vi* *ἀεὶ* coni Re cui oblocutus est Iacobs Lect 111

δεῖ τοῖς γεγεννηκόσι φέρειν. πρὸ μὲν οὖν τοῦ δεσμοῦ διὰ τῶν ἄλλων τὸν πατέρα ἐθεράπευον καὶ οὐκ ἐγενόμην ἐνταῦθα κακός, ὁ δὲ νῦν καιρὸς ταύτην ἀπαιτεῖ τὴν θεραπείαν. 15. *δέξασθε δή με τῷ νόμῳ πειθόμενον καὶ τῆς πόλεως καὶ τῆς Φύσεως. νομοθετεῖ δὲ αὕτη ταῦτα καὶ τοῖς θηρίοις. καὶ ὁρῶμεν δὴ τῆς θεοῦ καὶ ἐν ἐκείνοις τοῖς γένεσι τὴν ἰσχύν. ᾗ πειθόμενος Πύλιός τις νεανίσκος ἐπὶ τὸν πατέρα πληγὴν φερομένην ἰδὼν τῷ στήθει ταύτην δεξάμενος ἐκείνῳ μὲν ἔδωκεν οἴκαδε ἐπανελθεῖν, αὐτὸς δὲ ἐν πολεμίᾳ γῇ κείμενος ἀείμνηστον ἔχει τὸ κλέος. τοῦτο καὶ αὐτὸς ἂν ἐν ὁμοίοις κινδύνοις ἐποίησα καὶ οὐκ ἂν ὤφθην κακίων ὁ Ἀθηναῖος τοῦ Πυλίου. ὑπὲρ οὗ οὖν τὴν* R IV 341 *ψυχὴν* | *εἰκότως ἂν προείμην, ἐνὸν ζῶντα ὠφελεῖν τοῦ σώματος ἐν ἀνάγκῃ δεσμοῦ φείσομαι;* 16. *καίτοι καλὸν μὲν καὶ τὸ τοῦ Ἀντιλόχου, πλειόνων δ' ἐπαίνων ἄξιον καὶ τὸ γυναῖκα ὑπὲρ ἀνδρὸς ἐθελῆσαι τελευτᾶν. ὁρῶμέν γε δήπουθεν ἐν ταῖς τραγῳδίαις τὸ ἐμφερὲς τῆς Ἀλκήστιδος ἔργον. εἰ μὲν οὖν καὶ νῦν θεῶν τις ἦν ὁ πράττων ὅμοια τοῖς τότε, χαίρων ἂν*

5 cf. t. IV 360, 21 R. Gothein Archiv f. Religionsw. IX 337. Preisendanz Philol. LXVII 474   8 Antilochus cf. Pind. Pyth. VI 28 sq. Qu. Smyrn. II 243 sq.   11 cf. p. 386, 1 | cf. t. I 503, 9   20 Eur. Alc. 10 sq.

1 *γεγενηκόσι L* Re | *δεῖ* post *φέρειν Vi*   4 *τῷ νόμῳ* om *Vi*   5 *Φύσεως* scripsi *φύσεως* libri edd   6 *αὕτη* scripsi auctore Re *αὐτὴ* libri edd | *δὲ* coni Re | *τοῦ Vi*   8 *ξίφος φερόμενον* et 9 *τοῦτο Vi*   10 *ἐπενελθεῖν Vi* *ἀπελθεῖν B* | *δ' Lau* edd   12 *κινδύνοις* om *I*   13 *οὖν* om *Vi*   14 *εἰκότως τὴν ψυχὴν I* | *προσήκειν Vi* | *τοῦτον* ante *ἐνὸν* inserendum et *τοῦ σώματος ὄντος ἐν ἀνάγκῃ δεσμοῦ ἐμαυτοῦ φείσομαι;* (vel *δεσμοῦ οὐ φείσομαι*) scribendum coni Gasda   16 *δὲ B*   17 *τὸ καὶ BLau*   18 *γε* scripsi e *Vi* auctore Gasda *δὲ BLILau* edd   19 *οὖν* om *Vi*

ἀπέθνησκον, ἵνα μὴ Μιλτιάδης· ἐπεὶ δὲ ὁ τοῦτο μὲν παρέξων οὐκ ἔστι, τῶν δὲ περὶ τὸν δεσμὸν ὑμεῖς κύριοι, δότε μοι τὴν χάριν ἧς καὶ τῷ κοινωνῆσαι δόξης ἀπολαύσετε. μὴ γὰρ οἴεσθε τῇ μὲν Μιλτιάδου στρατηγίᾳ τὴν πόλιν ἐνδοξοτέραν γεγενῆσθαι, τὸν δεσμὸν δὲ τοῦτον οὐκ εἴσεσθαι τοὺς ἐσομένους, ὅτι ἡ πόλις ἡ τῶν Ἀθηναίων πρὸς τοῖς ἄλλοις ἀγαθοῖς καὶ νέων ταῖς ὑπὲρ τῶν πατέρων ταλαιπωρίαις κεκόσμηται. καὶ γὰρ εἰ εἷς ὁ Κίμων, ἀλλ' ὅλης τῆς ἡλικίας ἔσται τὸ ἐγκώμιον.

17. Εἰ οὖν ἐκ τῶν αὐτῶν ἐγώ τε δίκαιος ἔσομαι καὶ ὑμεῖς σεμνότεροι, πῶς τοῖς οὐκ ἐῶσι ταῦτα οὕτω πραχθῆναι προσέξετε; οὐδὲ γὰρ ἐκεῖνό γε ἔστιν εἰπεῖν ὅτι Μιλτιάδου μὲν δεδεμένου λήψεσθε τὰ χρήματα, Κίμων δ' εἰ δεθείη, στερηθήσεσθε. οὐδὲ γάρ, ἂν ἀμφοτέρους δήσητε καὶ πρὸς ἡμῖν γε τὴν ἀδελφὴν τὴν ἐμήν, τούς γε οὐ δυναμένους ποιήσετε δύνασθαι. ἴστε γὰρ δή, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ ἡμέτερα καὶ ὡς οὐδέν ἐσμεν λαμπρότεροι τῶν γειτόνων οὔτε ταῖς οἰκίαις οὔτε κατὰ τἄλλα. 18. | καίτοι παρῆν γε βουλο- R IV 342
μένῳ τῷ πατρὶ μηδενὸς ἐλάττω τῶν πάνυ πλουτούντων ἔχειν, εἰ τὰ αὑτοῦ μᾶλλον ἢ τὸ κοινὸν αὔξειν ἤθελεν.

16 Plut. Cim. 4. Nep. Cim. 1 21 Aristid. pro IV viris t. II p. 224, 5 sq. ed. Dind.

πρὸς τοὺς ὁμοίους. καὶ τὰ τοιαῦτα πρὸς ἡμᾶς διελέγετο μειδιῶν. ἀλλ', ἔτι γὰρ ἐσωφρόνουν καὶ κρείττων ἦν ὁ λογισμὸς τοῦ κακοῦ καὶ πρὸς τὴν θέαν ἄτρωτος ἦν, [οὐκ] ἠνεσχόμην, οὐκ ἐκφθαρήσῃ δὲ ἔφην, οὐκ εἰς σαυτόν, οὐκ εἰς τὸ βάραθρον χωρήσεις; μαλακιζόμενος πολίτης εἰς Τίμωνος ἥκεις; ἢ ἐν τοῖς Καλλίου κωμάζειν νομίζεις ἢ πρὸς Σωκράτην ἀφῖχθαι καί τινι τῶν ἐραστῶν διαλέγεσθαι. 22. πολὺ τὸ καθ' ἡμᾶς, Ἀλκιβιάδη, τῶν σῶν ἐπιτηδευμάτων κεχώρισται, ἡ πενία τοῦ πλούτου, τῆς μέθης ἡ σωφροσύνη, τῶν κώμων καὶ τῆς ἀσελγείας ἡ παρ' ἐμοὶ καρτερία, τῆς πόλεως ἐν ᾗ κωμάζεις ἡ κακοδαίμων ἐσχατιὰ διὰ τὴν σὴν ἔφοδον. σὺ μὲν Ἀγάθωνα καὶ Σωκράτην, μᾶλλον δὲ τὸν δῆμον ὅλον ἐραστὴν

---

4 Luc. dial. mer. 15, 2 7 Xen. conv. 1, 2. Plat. apol. p. 20 A 14 cf. p. 558, 1

---

2 *ἐσωφρόνουν* scripsi coll p. 540, 3; 544, 5 *ἐγὼ ἐσωφρόνουν ἔτι B* edd *ἐφρόνουν ἔτι HDVa* sed in hoc *ἐγὼ* post *ἐφρόνουν* in marg add m², *MaCl* *γρ ἐφρόνουν· ἔτι* in marg Mor *ἐγὼ ἐφρόνουν* Gasda | *καὶ* inserui e libris et *γρ* in marg Mor om edd 4 *οὐκ* cancellavi *καὶ ἠνειχόμην* coni Gasda nisi ante *οὐκ ἠνεσχόμην* maior lacuna statuatur | *ἀποφθαρήσῃ* coni Re 5 *οὐκ εἰς αὑτὸν B* *εἰς αὑτὸν HMa* sed in hoc del, *Cl* om *Va* *οὐκ εἰς σκότον* coni Re cui obloquitur Iacobs Lect 97 Anth Pal III 250 | vocibus *οὐκ εἰς* rursus inc *Cr* fol 47ᵛ sed pleraque abrasa sunt | *χωρήσεις μαλακιζόμενος; D* et coni Re Iacobs qui *σὺ ὁ* ante *μαλακιζόμενος* inser 6 *πολίτης εἰς* scripsi om *D* *εἰς πολὺ HBVa* sed in hoc *γρ πολίτης* in marg m³, *MaCl* scriptura in *Cr* parum certa *πολίτης* edd sed *γρ εἰς πολύ*; in marg Mor „*pro πολίτης mallem ὁμιλητής*" Re probante Iacobsio at cf. l. 13 et p. 548, 3 7 *ἢ* (2)] *καὶ D* 8 *περὶ σωκράτους B* *τὸν* ante *σωκράτην D* 10 *σῶν* inser *Ma*³ et *γρ* in marg *Va*³ om reliqui libri sed scriptura in *Cr* parum certa | *ὅσον* ante *ἡ* inserendum coni Gasda *ἡ* om *HDBMaCl* 13 *ὡς BVa* sed in hoc in *ἡ* corr m³, *MaCl*

αὐχεῖς, ἐμοὶ δὲ ἀπεναντίον ὁ τρόπος. μισῶ γὰρ οὐκ Ἀθηναίους μόνον, ἀλλὰ καὶ πάντας ὅσοι τοιαύτης εἰσὶ φύσεως. 23. *τί δὲ τὴν Ταυρέου παλαίστραν καταλιπὼν* | R IV 188 *καὶ τὸ πολὺ τῶν ἐραστῶν σύνταγμα ἥκεις εἰς ἐρημίαν οὗ μηδείς σε ὄψεται; τί δ' ἐραστόν σοι παρ' ἐμοί; τί δέ σε ἤγαγεν ἐνταυθοῖ, πρὸς θεῶν; οὐ γὰρ παῖδας Δωριεῖς ἢ παρθένους ἐξ Ἰωνίας ἢ πολὺν ἄκρατον εὑρήσεις παρ' ἐμοί. τί οὖν ἐνοχλεῖς δωρεὰν Τίμωνα; τί δὲ τὸν ἐμὸν τρόπον ἐκφέρεις εἰς τοὺς πολλούς; τί δ' ἐξορχῇ τὸν ἡμέτερον βίον; οὐκ ἀρκεῖ τὰ μυστήρια;*

24. *Ταῦτα βοήσας καὶ διαρραγείς, ὡς ἀπηλλάττετο τὸ μειράκιον, μετοικίζεσθαι διενοούμην καὶ τὴν ἀποικίαν πορρωτάτω στέλλειν τῆς ἐρημίας. ὁ δ' ἐγγύθεν ἐφειστήκει πάλιν καιρὸν ἀναχωρήσεως οὐκ ἐνδιδούς. πολλὰς ἐφόδους ἤνεγκα, πολλὰς Ἀλκιβιάδου προσβολὰς ἀπεωσάμην. τὸ τελευταῖον δὲ μεγάλῳ τινὶ μηχανήματι τοῦ κάλλους κατασεισθεὶς κατηνέχθην. καὶ τρόπαιον καθ' ἡμῶν ἔστησεν Ἀλκιβιάδης καὶ τὸν ἐμὸν ἤλεγξε*

---

1 Her. VII 34 et 55 3 cf. t. II 303, 10. Luc. paras. § 43. Plat. Charm. p. 153 A 5 cf. p. 556, 14. Luc. Tim. § 58 8 Strab. X 483 sq. | cf. p. 550, 1. Ar. eq. 105 11 Luc. salt. § 15. pisc. § 33. Alciphr. ep. III 72 12 cf. decl. Alcib. Mélanges Graux p. 634 sq. 13 cf. p. 558, 11. Ar. eccl. 803

---

1 *ἀπ' ἐναντίον Ma ἀπεναντίων Cl* 3 *τῆς* ante *τοιαύτης D* | *Ταυρέου* scripsi e *Cr* sed scriptura parum certa, *HD* et *γρ* in marg Mor cum Gasda *ταυραίου B* sed *αι* corr, *VaMa Cl* edd cf. ad t. II 303, 10 et infra p. 561, 14 5 *οὗ* scripsi *οἷ HDBCl* edd sed „*malim οὗ*" Re scriptura in *Cr* parum certa *ἧ VaMa* 10 *τίμωνι*^α *Va* | *ἐμὸν Ma* sed *ἐ* in ras m^3 11 *δὲ H* 13 voce *ὡς* rursus inc *La* fol 100 15 *ὃ H VaMaCl* 16 *καὶ* ante *καιρὸν B* 20 *ἔστησε καθ' ἡμῶν D* | *ἀλκιβιάδου La* | *ἤλεγξεν Cl*

τρόπον καὶ τὴν φύσιν ἀσθενεστέραν τὴν ἐμὴν τῆς τοῦ σώματος ὥρας ἔδειξε. δέσμιος δὲ διὰ τὸν ἔρωτα οἰκτρός, αἰχμάλωτος ἀπὸ τῆς ἐσχατιᾶς ἐπὶ τὴν πόλιν ἤχθην ὁ μισάνθρωπος καὶ οὐχ ἑνός, τρισμυρίων δὲ θανάτων ἄξιος. 25. τίς κακοδαιμονέστερος Τίμωνος ἕτερος ἂν γένοιτο; βοῶν, ὦ κακὴ κεφαλή, λοιδορούμενος, μισάνθρωπος ὤν, ἀπελαύνων τοῖς λίθοις, μισῶν καὶ μέχρι ῥήματος Ἀλκιβιάδην τὸν ἔρωτα ἐδέξω καὶ πρὸς ἀνθρώπους ἐσπείσω καὶ πρὸς τὰ χείριστα ηὐτομόλησας ἀπὸ τῆς γενναίας ἐκείνης τάξεως τοῦ βίου. 26. μαίνομαι καὶ παραπαίω, νὴ τοὺς θεούς, καὶ τὰ παρόντα ὄναρ εἶναι δοκεῖ. ἄνθρωπόν τινα ἀγαπῶ; στέργω δέ τινα ταύτης ὄντα τῆς προσηγορίας; ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει. οὐκ ἔστιν Ἀλκιβιάδης Ἀθηναῖος οὐδ' ἄνθρωπος, μὴ τοῦτο ὑπολάβητε, θεῖον δέ τι φάντασμα ἐξ οὐρανόθεν ἧκον ἐν ἡμῖν πλανᾶται καὶ κάλλους τις ἀρχέτυπος εἰκὼν ἐν τοιούτῳ φαίνεται τῷ σχήματι. πάλιν ἐπιδημία θεῶν, πάλιν ἐπιφοίτησις εἰς τὴν Ἀττικὴν τῶν κρειττόνων. Ἀπόλλων τις ἕτερος ἐκ Δήλου

---

6 cf. p. 552, 16. Dem. fals. leg. p. 442, 4. Ar. Ach. 285
8 cf. p. 537, 19   16 Il. ϑ 19 et 21; ρ 548   17 cf. t. III 99, 3 sq. Plut. Alc. 1

---

2 *δὲ* om *HLaD* et *γρ* in marg Mor   4 *ἤχθη D*   6 *ἂν γένοιτο* scripsi ex *HLaD* et *γρ* in marg Mor scriptura in *Cr* parum certa *γέγονε BVaMaCl* edd | *βοῶν* om *B*   8 *προσρήματος Va* | *ἀλκιβιάδου D*   9 *ἐσπείσω Va* sed *σ* inser m²
10 punctum post *βίου* posui colon *La* signum interrogationis reliqui libri edd   12 *εἶναι* om *D* | *δοκῶ D* et *γρ* in marg Mor | *τινα* scripsi cum Gasda *τινὰ VaMaCl τίνα HLaDB* edd | *ἀγαπῶ* scripsi *ἄγω* libri edd *ἄγαμαι* Iacobs Lect 97
13 *δέ τινα* scripsi e *MaCl* cum Gasda *δὲ τίνα* reliqui libri edd
14 *ἀλλ'* ante *οὐκ D* et *γρ* in marg Mor | *οὐδὲ B*   15 *ὑπολάβοιτε Ma* | *δ' ἔτι La*   16 *ἐξ* om *B* | *ὑμῖν D*   17 *τούτῳ D* et *γρ* in marg Mor   19 *τίς LaVaCl*

πάλιν πρὸς ἡμᾶς | *ἀφῖκται.* 27. *Διόνυσός τις* R IV 189 *οὗτος δεύτερος ἐκ Θηβῶν εἰς τὴν Ἀττικὴν κωμάζει πλεῖστα φέρων τῆς θείας φύσεως γνωρίσματα καὶ τῆς πρὸς τὸν θεὸν ὁμοιότητος. κόμαι μὲν αὐτῷ τοῖς κροτάφοις ἐπισείονται Βακχικαὶ τοῖς στεφάνοις ἤδη καὶ τοῖς ἄνθεσι πρὸς κόσμον ἀνθοῦσαι, ὀφθαλμοὶ δ' ἀφιᾶσι βολὰς ταῖς ἡλίου μαρμαρυγαῖς ἁμιλλωμένας γαῦρον ἤδη καὶ προσηνὲς ὁρῶντες, καταλάμπονται δὲ παρειαὶ ταῖς γλήναις αὐτῷ, τὸ δ' ἐρύθημα τοῦ προσώπου τῷ τῶν λαμπάδων ἀνταστράπτει πυρί, γέλως δὲ τοῖς χείλεσιν ἐπανθεῖ. χορεύει δ' ἴσα τῷ θεῷ διάδετος μὲν ταινίαις καὶ τοῖς στεφάνοις τὰς κόμας, ποδήρει δὲ ἀστράπτων χιτῶνι καὶ καταπάστοις ἁλουρ-*

5 Callistr. stat. 6 p. 428, 21 ed. Kayser 6 Meleag. Anth. Pal. V 143, 2 13 Ar. Eq. 968

1 *ἀφικνεῖται Va* sed *ἀφῖκται* in marg | *διόννσος La* sed *ς* e *ν* corr *s* | *τίς VaCl* 2 *δεύτερος* inserui e *DBMaCl* *δεύτερον HLa* scriptura in *Cr* parum certa om *Va* edd 3 *τὰ* ante *γνωρίσματα LaD* 4 *τοὺς θεοὺς D* | *ἔκφρασις ἀλκιβιάδου* in marg *Va*[3]*Ma*[2] 5 *ἐπισείονται — στεφάνοις* in marg *Cl*[2] 6 „*malim κῶμον*“ Re cui obloquitur Iacobs Add 233 Anth Pal III 82 Philostr. 702 | *δὲ* edd 7 *ταῖς* e *τὰς* corr *La*[s] | *ἁμιλλωμένας* scripsi, ut coni Re *ἀμιλλωμένας Cl* *ἀμιλλώμεναι HMa* sed in hoc ´ et *αι* in ras m[3] *ἀμιλλώμενοι La* *ἁμιλλώμενοι B Va* edd scriptura in *C* parum certa 8 *αὐχένα* ante *γαῦρον* libri sed scriptura in *C* parum certa, *μεγάλαυχον ἤδη καὶ* edd delere quam in *αὐγῇ* mutare malui | *ἤδη* inserui e libris om edd | *ὁρῶντες Ma* sed *ες* in ras m[3] in ras om *D* 9 *τὸ δ' — 11 ἐπανθεῖ* citat Plan fol 105[v], — 10 *τῷ* in marg *Cl*[2] 10 *ἀνταστράπτει* scripsi ex *HLaVaMaCl* sed in hoc *α*(2) ex *ι* corr m[2] scriptura in *Cr* parum certa *ἀντιστράπτει* Plan edd *ἀπ·στράπτει D* *ἀπαστράπτει B* 11 *δὲ* edd | *ἶσα VaMaCl* | *τῷ* om *D* | *διάδετος La* sed *δ*(2) in ras *f* 12 *μὲν La* sed *ν* in ras *f* | *ταινίαις La* sed *ν* in ras *p* 13 *δὲ* om *La* *καὶ* Re | *καταπάστοις Ma* sed *καταστράπτοις* suprascr m[3] *καταπάτοις B* | *ἀλουργήμασιν HVaMaCl* (cf. t. II 22, 8; 320, 3; IV 224, 9) *ἀλουργίσιν D* *γρ ἁλουργῖδι* in marg Mor

γήμασιν ἐμπρέπων καὶ πολὺν ἄκρατον ἐπιχέων πανταχοῦ. 28. ὁ δὲ καὶ τοὺς κόλακας ἀντὶ τῶν Σατύρων ἔχει καὶ τὸν αὐλὸν ἐπάγεται πρὸς τὸν θίασον καὶ τὴν σύριγγα τὴν Πανικήν, καὶ γυναῖκες ἀντὶ τῶν Βακχῶν αὐτῷ πρὸς τὴν χορείαν ἀρκοῦσιν, ὁ δὲ εὐδαίμων Σειληνὸς ὁ τὸν Διόνυσον πολλάκις ὑπὸ τῷ τρίβωνι περιπτυξάμενος παρακολουθεῖ κωμάζων ὁ σοφὸς Σωκράτης. πολὺς δὲ καὶ πανταχοῦ τῆς Ἑλλάδος ὁ θεός. καὶ τὸν Ὀλύμπιον δὲ [καὶ] οὗτος εὐτυχεῖ πρὸς γένους καὶ πολιτειῶν, ὥσπερ φασὶ πρότερον τὸν θεὸν τὸν μυστικὸν βακχεύοντα καὶ δᾳδουχοῦντα καὶ τὰς ἐξ Ἀνακτόρου λαμπάδας αἰωροῦντα. ἀλλ' οὐ θεός, ἀλλ' ἄνθρωπος Ἀλκιβιάδης. ἀλλ' Ἀλκμαιωνίδης, ἀλλ' ἐξ Ἱππονίκου καὶ τῆς μεγάλης οἰκίας καὶ Μεγακλέα καὶ Κλεινίαν καὶ τὸ πρὸς μητρὸς Περικλέα καὶ τὴν Δεινομάχην αὐχῶν.

---

3 sq. cf. t. III 385, 20 sq. 5 Plat. conv. p. 216 D. 221 D 7 cf. decl. Alcib. ed. Mélanges Graux p. 635, 25 9 cf. p. 551, 8; 556, 8; 558, 14; 562, 1 et 14 10 Ar. ran. 340. Her. VIII 65 11 cf. decl. Alcib. l. l. p. 636, 19. Her. IX 65 13 Isocr. big. c. 10. Dem. Mid. § 144 14 Isocr. big. c. 13

---

9 Ὁ Περικλῆς γὰρ ὃς (ὡς *Ma*) διὰ τὰ ἔργα ὑπ' Ἀθηναίων Ὀλύμπιος ἐκλήθη συγγενὴς Ἀλκιβιάδου ἦν *Va*[3] *Ma*[2]

---

2 καὶ om *CrBVaMaCl* | τῶν om *D* 4 βάκχων *HBVa MaCl* 7 σοφιστὴς *D* et γρ in marg Mor 9 καὶ cancellavi | εὐτυχεῖ scripsi δυστυχεῖ libri (etiam *Cr*) sed in lac 8 litt om *B* δυστυχεῖς edd sed δυστυχεῖ scribendum monet Mor Not f V[v] „*ego locum hunc non intelligo*“ Re locus labem contraxit quae dubito utrum καὶ deleto et δυστυχεῖ in εὐτυχεῖ mutato plane sanata sit 10 κοτίνων? | τὸν(2)] τὸ *H* parum certa scriptura in *Cr* | μουσικὸν *D* parum certa scriptura in *Cr* 13 ἀλλ' ἀκμαιονίδης *Va* sed ὰ ἀλ supra 'ἀκ m[2] | ἀλκμεωνίδης *La* sed αι supra ε *y* ἀκμαιωνίδης *HCl* 15 τὸ scripsi ex *HLaD* parum certa scriptura in *Cr* τὸν *BVaMaCl* edd | περικλέους *D*

29. *Τί οὖν; βούλομαι ἀποθανεῖν. ἐρῶ δικαιότερον ἔρωτα πρέποντα* | *ἐμαυτῷ. τοῦ μὲν γὰρ Κλεινίου* R IV 190 *παιδὸς διὰ τὴν συμφορὰν ἐρῶ, τοῦ θανάτου δὲ διὰ τὸν τρόπον. εἰ γὰρ καὶ ἱπποτρόφος Ἀλκιβιάδης καὶ τὸν κότινον ταῖς ἱππικαῖς πολλάκις νίκαις ἀναδησάμενος καὶ ῥήτωρ ἄριστος καὶ δημαγωγὸς καὶ στρατηγὸς παρευδοκιμῶν ἤδη καὶ τὸν Νικίαν καὶ μείζω Περικλέους ἀξιῶν φρονεῖν καὶ τὸν Ὀλύμπιον δεύτερον ἀποφαίνων τῷ μεγέθει τῶν ἐγχειρημάτων καὶ κάλλιστος ὑπὲρ τὸν Νιρέα καὶ τὸν ἐκ Θετταλίας ἐκεῖνον ὃν Ὅμηρος εἰς ὥραν τὰ πρῶτα ἐπαινεῖ, ἀλλ' ἄνθρωπος Ἀλκιβιάδης, ὦ κακόδαιμον Τίμων, δυσμενὴς ἐκ προσηγορίας. σὺ δ' ἐξέστηκας καὶ μελαγχολᾷς· δεῖ σοι κωνείου.* 30. *καταφεύγω δὴ πρὸς τὸν νόμον ὃς τοῖς βουλομένοις ἀποθνήσκειν δίδωσι ῥᾳστώνην. καὶ τοῖς λίθοις ἤδη βάλλεσθαι ὑφ' ὑμῶν ἀξιῶ. δυστυχῶ δὲ θανάτου καὶ προσαγγελίας ἄξια καὶ πάντων δικαιότερός ⟨εἰμι⟩ ἀπολαύειν τούτου τοῦ νόμου ὃν πάντων παρ'*

---

4 Isocr. big. c. 14. Dem. Mid. § 145 5 Plut. Alc. 16. Athen. XII p. 534 D. Paus. I 22, 6 | Choric. Milt. § 73 p. 13, 14 6 Isocr. big. c. 15 10 cf. p. 554, 9 11 Il. *β* 674 12 cf. ad p. 537, 19. Dem. p. 72, 1 13 cf. p. 535, 17 16 Auson. id. 15. cf. Piccolomini l. l. p. 50 et supra p. 529 not. 2

---

1 signum interrogationis post *οὖν* inserui, post *ἀποθανεῖν* quod habent edd delevi | *ἐρῶι· La* | voce *δικαιότερον* des *Cr* fol 47[r] 2 „*malim ἔρωτα ⟨ἔρωτα μᾶλλον⟩ πρέποντα ἐμοί*“ Re 4 *καὶ* om *H* | *ἀλλ'* ante *ἀλκιβιάδης B* 5 *τὸ H* | *ταῖς ἱππικαῖς* scripsi e *VaMa* *τῆς ἱππικῆς HLaBCl* sed in hoc in *τοῖς ἱππικοῖς* corr, edd | *νίκης D* et coni Iacobs Lect 97 8 *φρονεῖν ἀξιῶν D* 9 *ἐγχειρημάτων* reposui e libris *ἐπιχειρημάτων* edd 11 *ὄναρ H* | *ταπρῶτα VaMa* 15 *ῥαστώνην HDBVaMaCl* edd | *τοῖς* om *DB* 16 *ὑφ'* scripsi ex *HLaDVa* *ἀφ' BMaCl* edd | *δυστυχοῦς H* 17 *προσαγγελίας Va* sed *αγγελι* in ras et *γρ προσαγγελίας* in marg m[2] | *δικαιότατος* Gasda | *εἰμι* inserui om libri edd 18 *ὃν* — 552, 1 *ὅτι* om *B*

ὑμῖν μᾶλλον ἐπαινῶ τῶν νόμων, ὅτι τοὺς ἀνθρώπους ἀποθνήσκειν βούλεται.

31. *Εἶεν· ἀλλ' ἀντιλαμβάνεταί τις συκοφάντης τῆς σωτηρίας τῆς ἐμῆς καὶ τί πέπονθας θανάτου ἄξιον ἐρωτᾷ καὶ τὸν νόμον ἐφ' ἑτέροις κεῖσθαί φησιν ἀτυχήμασιν. εἶτα οὐκ εἰκότως μισάνθρωπος ἐγενόμην; εἶτ' οὐ δικαίως ἀποθνήσκειν βούλομαι καὶ τῆς μετ' ἀνθρώπων ἀπαλλάττεσθαι κοινωνίας; βασκαίνεις ἀποθανεῖν βουλομένῳ; φθονεῖς μοι τοῦ θανάτου; μὴ γὰρ στέφανον ἢ δωρεὰν αἰτῶ παρὰ τοῦ δήμου; μὴ γὰρ σιτήσεως ἢ τιμῆς τινος βούλομαι τυχεῖν; σὺ δὲ ἀπόθνησκε παρελθὼν καὶ συνήγορον ἕξεις Τίμωνα, καὶ τὸ κώνειον εἰ βούλει παρ' ἐμοῦ λαμβάνειν καὶ δήμιον ἐπιγράφεσθαι Τίμωνα, διακονεῖν ἀντὶ παντὸς ἔσται*
R IV 191 *μοι.* 32. *τί δ' εὐνοίας | ἔχων πρός με τεκμήριον, τί δὲ φιλίας δίκαιον, τί δέ, ὦ κακὴ κεφαλή, κερδαίνων περιεῖναι Τίμωνα βούλει; συγγενής εἰμί σοι; ἀδελφός; ἑστιάσεως ἐκοινώνησά σοι; θυσιῶν; πανηγύρεων; οὐκ ἄνθρωπος μὲν ὑπάρχεις, μισάνθρωπος δ' ἐγώ; μὰ τοὺς θεούς, οὐδ' εἰ Ἀλκιβιάδης ἀντελαμβάνετο παρών, ἠνεσχόμην ἂν τὸ πρᾶγμα. προτιμότερα γάρ μοι τοῦ Κλεινίου παιδὸς τὰ τοῦ θανάτου παιδικὰ φαίνεται.*

---

16 cf. ad p. 548, 6 21 [Plat.] Eryx. p. 393 D

---

1 *μάλιστα* coni Gasda | *τὸν νόμον DVaMaCl* 3 *τις* e *τῆς* corr et *συκοφάντης* inser *Cl*[2] | *τῆς* inserui ex *HLaD* om *B VaMaCl* edd 4 *πέπονθα B* 5 *φησιν ἀτυχήμασιν* scripsi ex *HLaD* *ἀτυχήμασί φησιν BVaMaCl* edd 11 *σιτηρέσιον Va* sed *σιτήσεως* in marg m[3] quae eadem del | *τινὸς τιμῆς H*
14 *διακονεῖν* scripsi *ἧκον οἷς DBVaMaCl* edd *ἧκα οἷς HLa* *ἧκεν εἷς* coni Mor *ἡ διακονία* vel eiusmodi quid coni Iacobs Lect 97 18 *ἑστιάτωρ Va* 19 *δὲ D* 20 *εἰ* om *H*
21 *παρὼν* inser *Va*[2]*Ma*[3] | *ἀνεσχόμην H*

33. *Ἀλλὰ ποῖον ἀπολώλεκα παῖδα; ἐρωτᾷ πάλιν. τίς μοι τέθνηκε τῶν φιλτάτων; τί μέρος ἠκρωτηρίασμαι τοῦ σώματος; τίς ἐξάγει με τοῦ βίου συμφορά; τίς δὲ πρόφασις τοῦ θανάτου; τὸ δὲ ξυγομαχεῖν σοι νῦν, ὦ κακόδαιμον, καὶ διαλέγεσθαι, πρὸς θεῶν, οὐ προσαγγελίας καὶ θανάτου ἄξιον εἶναί σοι δοκεῖ; τὸ δὲ εἰς ἄστυ κατελθεῖν ὅλως, τὸ δὲ εἰς ἐκκλησίαν παρελθεῖν ὅλως καὶ τοσούτους ὁρᾶν ἀνθρώπους καὶ τοσούτων ἀνέχεσθαι οὐ μυρίων ἄν μοι πρόφασιν παράσχοι θανάτων; αὐτὸ δὲ τὸ δεῖσθαι προσαγγελίας καὶ τὸ μηδὲ αὐτόν τινα κύριον ἑαυτοῦ τυγχάνειν οὐκ ἀγχόνης ἄξιον τῷ σωφρονοῦντι;* 34. *ἐπιλέλησαι δὲ ὧν ἀρτίως ἔλεγον, ὧν ἔναγχος ὠδυρόμην; ἐρωτᾷς τὴν συμφορὰν ἥτις ἐστί; τάξιν ἔλιπον τοῦ βίου γενναίαν καὶ λογισμὸν σώφρονα δι' ἔρωτα οὐκ ἠδυνήθην φυλάξαι καὶ τὴν μισανθρωπίαν ὥσπερ τινὰ προβεβλημένος ἀσπίδα τοῦ βίου ταύτην ἀφῆκα καὶ παρεχώρησα τῆς νίκης Ἀλκιβιάδῃ. φιλοτιμίας μὲν ἐκράτησα καὶ πλούτου κρείττων ἐγενόμην, ὦ θεοί, καὶ δόξης ὑπερεῖδον, κατεφρόνησα δὲ καὶ τῶν παρ' ὑμῖν ἐπαίνων καὶ τιμῶν. οὐ πανηγύρεων, οὐ πομπῆς τινος,*

---

5 cf. t. IV 571, 8 R   12 cf. t. III 19, 3. Luc. Tim. § 45
13 Dem. p. 1470, 12. Isocr. paneg. p. 76 b

---

2 *τέθνηκεν Cl*   6 *ἄξιον* (*ἄξια Va*) *καὶ θανάτου DVa*
7 *ἐλθεῖν B* | *τὸ* — 8 *ὅλως* in marg inser *Va*[2] om *BMa*
11 *καὶ* Mor om libri | *μὴ δὲ HLaBVaMaCl* *μὴ δ' D* | *ἑαυτόν D*   13 *ὧν* (2) scripsi coll Dem. et Isocr. ll. ll. *ὡς* libri edd sed „*malim ὧν*" Re   14 *ἥτις* reposui e libris, ut e Par 3017 coni Boissonadius Anecd. IV 56 *εἴτις* edd sed „*malim ἥτις*" Re
17 *ἀφῆκα Ma* sed *α* (2) in ras m[3] *ἀφῆκεν Cl*   18 *παρεχώρησα* — *Ἀλκιβιάδῃ* respicit Plan fol 105[v] citans *παραχωρῶ σοι τῆς νίκης*   19 *Ἀθηναῖοι* Cobet Mnem. N. S. III 148 Coll crit 283 at cf. 561, 3; p. 552, 20; 553, 6; 556, 12; 559, 8; et alloquitur *ὦ πεντακόσιοι* p. 537, 10; 559, 11. cf. p. 529

οὐκ ἀγῶνος ἡττήθην. 35. ἀνάλωτος δὲ πρὸς πάντα μείνας τἀνθρώπινα ἔρωτι δουλεύω μειρακίου, καὶ ὥσπερ ἐν Εὐρίπῳ τὰ τῆς γνώμης ἐκ μεταβολῆς ἀνεστράφη μοι. πάλιν μειδιῶν ὁρῶμαι καὶ διαλεγόμενος ἀνθρώποις καὶ κωμάζων καὶ στεφανούμενος καὶ θεραπεύων Ἀλκιβιάδην καὶ πρὸς τοὺς κόλακας ἁμιλλώμενος τῇ R IV 192 θεραπείᾳ καὶ γέλωτα παρέχων | ἀνθρώποις ἐπ' ἐμαυτῷ τῶν ἀνθρωπίνων πρότερον ἁπάντων καταγελῶν. 36. ὑπὲρ τὸ μειράκιον τὸ Θετταλὸν τὰ τῆς μεταβολῆς ἐστί μοι, ὃ τὸ Πήλιον καταλιπὸν καὶ τὴν μελίαν ἐπὶ τὴν Σκῦρον ᾔει καὶ τὸν παρθενῶνα καὶ τῇ προσηγορίᾳ καὶ τῷ βλέμματι καὶ τῇ στολῇ πρὸς τὸ θῆλυ τὴν φύσιν ἐξεβιάζετο, ἐγὼ δ' ἐκ τῆς ἐρημίας ἐπὶ τὴν πόλιν, ἐκ τῆς ἐσχατιᾶς ἐπὶ τὰς Ἀλκιβιάδου θύρας. καὶ κώμοις καὶ μέθαις ἐγκαλινδοῦμαι τὸν μονήρη βίον ἐκεῖνον ἀποθέμενος, καὶ τὰς χείρους ἀνταλλάττομαι προσηγορίας τῶν φιλτάτων κόλαξ ἀντὶ Τίμωνος ἀκούων, ἐραστὴς ἀντὶ μισανθρώπου. 37. ἐμπομπεύει δ'

3 cf. ad p. 491, 13 9 cf. p. 551, 10 10 Philostr. im. II 3; I 7. Themist. or. XXIV p. 308 c 11 cf. t. IV 455, 3 sq. 15 Luc. Tim. § 42 18 hypoth. ad Dem. Lept. p. 456, 17. Luc. adv. indoct. § 10. apol. § 4

1 ἀγώνων *HLa* 2 καὶ — 4 μοι citat Plan fol 105[v] 3 ἀναστρέφει *HLaD* et γρ in marg Mor ἀντεστράφη *Va* 6 ἀλκιβιάδη *D* | ἀμιλλώμενος *HVaCl* 7 ἐπ' ἐμαυτῷ non post ἀνθρώποις sed post 8 ἁπάντων *Va* 8 κατεγέλων *BMa* sed in hoc γρ καταγελῶν in marg m[3] καταγέλων *Cl* 10 ὃ τὸ] ὅτι *HBVa* sed in hoc ι ex ο corr, *MaCl* | Πήλιον scripsi e *La BVaMaCl* cum Iacobsio Phil 248 et Gasda πύλιον *HD* edd | καταλιπὼν *Va* καταλιπῶν *La* | ὅτε post μελίαν Mor del Re 11 Σκῦρον scripsi e *La* coll p. 311, 7 et Arcad. p. 69, 7 ed. Barker Σκῦρος ἡ νῆσος σκύρον reliqui libri edd | εἴη *B* 13 voce ἐξεβιάζετο inc *Cr* fol 16[v] at pleraque abrasa sunt | δὲ *DVaMaCl* 14 Ἀλκιβιάδου θύρας scripsi e *CrHLaDVaMaCl* ἀλκιβιάδου χεῖρας *B* θύρας Ἀλκιβιάδου edd 18 ἀντὶ *La* sed τὶ inser *s*

Ἀλκιβιάδης τῇ ἐμῇ συμφορᾷ καὶ πᾶσιν ἐπιδείκνυται ἀνθρώποις οἷον ἐραστὴν ἐκ τῆς ἐρημίας ἀναστήσας δέσμιον ἔχει παρακολουθοῦντα. καὶ τὸ κεφάλαιον τῶν συμφορῶν, τὸ τῶν ἐραστῶν πλῆθος τὸ μειράκιον ὑπεροπτικὸν πρὸς ἡμᾶς ἀπεργάζεται. πάντας γὰρ πανταχόθεν Ἀλκιβιάδης ἀναδησάμενος τῷ κάλλει, καθάπερ τὴν Διὸς σειράν φησιν ὁ λόγος, μετεώρους ἔχει καὶ βίον οὐκ ἀνθρώπινον ζῆν ἀναγκάζει τοὺς ὑπὸ τῇ τυραννίδι ταύτῃ κατεχομένους. τίς γὰρ Ἱππίας ἢ Πεισίστρατος, τίς Ἵππαρχος χαλεπὸς οὕτω τοῖς ὑπηκόοις ὡς Ἀλκιβιάδης τοῖς ἐρασταῖς ἡμῖν; 38. ἕωθεν ἐπὶ τὰς θύρας ἀπαντᾶν δεῖ τὰς προόδους καιροφυλακήσοντας καὶ δορυφορήσοντας τὸ μειράκιον καὶ προσκυνήσοντας, ἂν ὀφθῇ μόνον, ἐκεῖθεν ἕπεσθαι τοῖς νεύμασι καὶ ταῖς ὁρμαῖς ἀκολουθοῦντας εἰς Λύκειον, εἰς Ἀκαδημίαν, ἐπὶ τὰς παλαίστρας, πάλιν εἰς ἐκκλησίαν, εἰς βουλευτήριον, ἐπὶ τὸ θέατρον, πανταχοῦ παραγίνεσθαι, ἀγωνιζόμενον ἐπαινεῖν, δημηγοροῦντα θαυμάζειν, ἤδη δὲ καὶ τοὺς προγόνους καὶ τὰ σεμνὰ θρυλεῖν διηγή-

---

6 Luc. Iup. trag. § 45 7 Il. ϑ 19. Plat. Theaet. p. 153 C. Aristid. t. I p. 6, 17 Dind. (= t. II p. 343, 3 Keil.) 10 cf. p. 44, 13 sq. 12 Luc. necyom. § 12 | Dem. p. 678, 17. Luc. abdic. § 16

λ
3 κεφά in κεφαλαὶ corr Cl^2 4 ὑπεροπτικὸν πρὸς ἡμᾶς ἀπεργάζεται τὸ μειράκιον *Va* 5 πάντας — 7 ἔχει citat Plan fol 105ᵛ 8 ἀναγκάζειν *Cl* | τῇ om *Va* 10 ἴπαρχος *Cl* sed ʾ in ʿ corr m^4 ὕπαρχος *Va* | οὕτω scripsi e *VaMa* οὕτως *HL BCl* om *D* 12 καιροφυλακήσαντας *LaD* 13 δορυφορήσαντας *D* | προσκυνήσοντας *Cl* sed η in ras m^3 προσκυνήσαντας *D* 15 εἰς scripsi ex *HLaBVaMaCl* ἐς *D* edd scriptura in *Cr* parum certa | λύκιον *BVaMaCl* | εἰς scripsi e libris sed scriptura in *Cr* parum certa ἐς edd 17 τὸ ante βουλευτήριον *D* | παραγενέσθαι *D* 18 δημηγοροῦντα *La* sed τα suprascr *s* 19 θρυλεῖν scripsi ex *HLa* θρυλλεῖν reliqui libri edd cf. ad p. 542, 10

ματα ἃ κέρδος ἦν σιωπᾶν, τοὺς Ἀλκμαιωνίδας, τὴν τῶν τυράννων κατάλυσιν, τὸν μυστικὸν ὁπλίτην τὸν Καλλίαν, τὰς δᾳδουχίας αὐτοῦ, τὸν μετὰ τῶν λαμπάδων εἰς Μαραθῶνα δρόμον, τὴν ἐν Σαλαμῖνι Κλεινίου ναυμαχίαν ἐπαινεῖν, τὴν Ξανθίππου περὶ Μυκάλην στρατηγίαν θαυμάζειν, τὴν Ἀγαρίστην ἐκπλήττεσθαι,
R IV 193 τὴν | Δεινομάχην μακαρίζειν οἷον ἄγαλμα εἰς φῶς ἤγαγε, τὸν Ὀλύμπιον προσκυνεῖν, καὶ οὐκ ἀρκεῖ, τιμᾶν δὲ ἤδη καὶ Ἀσπασίαν μετὰ Σωκράτους τὴν ἐκ Μιλήτου τὴν ἐξ οἰκήματος ὡς Διοτίμαν ἐπαινεῖν τὴν σοφήν. ταῦτα γὰρ Ἀλκιβιάδης ἀπαιτεῖ παρ' ἡμῶν καὶ τοιούτοις ἥδεται. 39. τὰ δὲ ἀπὸ τῆς ἑσπέρας, ἀποτρόπαιοι δαίμονες, τῆς συμφορᾶς. κολάκων μὲν ἐκεῖ πλῆθος εἰσρεῖ πανταχόθεν, ἐραστῶν δὲ ἕτερον σύνταγμα ἐπεισέρχεται, αὐλητρίδες, ὀψοποιοί, μαγείρων πλῆθος, οἰνοχόων, πάντα ἐπ' ἴσης μοίρας καὶ τάξεως μιᾶς, σοφισταί, κόλακες, φιλόσοφοι, μαστροποί, πόρνοι, μισάνθρωποι. διαφορὰ δ' οὐδεμία παρ' αὐτῷ οὐδ' ἐξαί-

---

1 Her. VI 121. Isocr. big. c. 10 3 schol. ad Arist. nub. 64 4 Her. VIII 17 5 Diod. Sic. XI 34. Plut. Per. 3 6 Her. VI 131. Plut. Per. 3 9 Plat. Menex. p. 235 E. Luc. imag. § 17; salt. § 25. Aristid. pro IV viris t. II p. 171, 6 Dind. 10 Plat. conv. p. 201 D. Luc. imag. § 18; eun. § 7 15 cf. p. 547,5

---

5 τὴν ἐξ ἵππου *B* | περὶ scripsi ex *HLaDCl* παρὰ *BVa Ma* edd scriptura in *Cr* parum certa 6 Ἀγαρίστην scripsi Mus. Rhen. XXXII 89 cum Cobeto Coll 283 διαρίστην (διάρίστην *La*) libri edd 8 voce τὸν des *La* fol 101 cuius in margine inferiore λείπει πολλά-*f* reliqua perierunt 9 δὲ ἤδη parum certa in *Cr* | καὶ ante ἤδη *H* 10 ὡς inserui e libris sed scriptura in *Cr* parum certa om edd | διοτίμην *D* 11 ταῦτα *Va* sed τα add m⁴ | αἰτεῖ *HD* 16 δ' ante ἐπ' *D B* edd delevi | ἐπ' ἴσης scripsi e *D* ἐπίσης reliqui libri edd | μιᾶς om *Ma* inser *Va*² 17 κόλακες σοφισταί *Va* 18 οὐδεμία scripsi e *B* Par 3017 cum Boissonadio Pachym. 144

ρετός τις τιμή, πᾶσι δ' ἴσα ἐρασταῖς καὶ δούλοις ἐπιτάττει. πολὺς δ' ὁ ζῆλος τοῖς κακοδαίμοσι πρὸς ἑαυτούς· τῷ δεῖνι προσεκολλήθη. μακάριος. ὑπεμειδίασεν ἑτέρῳ. ζηλωτὸς ἐκεῖνος. προὔπιε τῷ δεῖνι τὸ ἔκπωμα. ὅδ' ἀθάνατος διὰ τὴν τιμήν. 40. *ἐγὼ δ' ἐν πᾶσι καὶ πανταχοῦ δεύτερος τυγχάνων ἄχθομαι καὶ παρευδοκιμούμενος οὐ φέρω. οὐ ταῦτά με ἐδίδαξεν ὁ τρόπος, ἐρᾶν, μεθύειν, αὐλητρίδι προσανακεῖσθαι, κωμάζειν, ἀλλὰ βιάζεται ἡ συμφορά, καὶ ὁ ἔρως ἄγει με πρὸς τὰ χείριστα. καὶ ταὐτὸν πέπονθεν ἡ ψυχὴ τὸν λογισμὸν ἀφαιρεθεῖσα τῶν ἁρμάτων ἐκείνοις ἃ τὸν ἡνίοχον οὐκ ἔχοντα ἀτάκτως φέρεται τῷ δρόμῳ πανταχοῦ.* 41. *εἰς οἵαν ἦλθον ὁ κακοδαίμων μεταβολήν. οἷα ὑπέστην ὁ δυστυχής. κολάκων ἀνέχομαι καὶ συγκατακλίνομαι τοῖς ἡταιρηκόσι καὶ αὐλητρίς μοι πρόσεισι καὶ ὀρχουμένους θεῶμαι καὶ τῷ Κλεινίου παρακολουθῶ | κωμάζοντι καὶ μεθύοντι τῶν νυκτῶν* R IV 194 *ἀωρὶ καὶ ταῖς ἐπιθυμίαις δουλεύω ταῖς Ἀλκιβιάδου.*

---

3 Plat. leg. V p. 728 B 7 cf. p. 551, 7. Luc. Hermot. § 51 10 sq. [Isocr.] Demon. § 32 p. 9a 18 Luc. enc. Dem. § 1. Arist. eccl. 741. Antiph. tetral. A *α* § 4 p. 115, 8; *β* § 5 p. 117, 1; *δ* § 5 p. 119, 38

οὐδὲ μία CrVaMaCl οὐδ' ἐμία H οὐ μία D edd | *οὐ δεξαίρετός H*

1 *τις* inserui e *CrHBMaCl* Par 3017 cum Boissonadio l. l. om *DVa* edd | *δὲ CrH* | *ἴσα* scripsi *ὡς* libri edd | *ἐρασταῖς καὶ δούλοις* scripsi e *CrHDB δούλοις ἐρασταῖς VaMaCl* edd *ὡς δούλοις τοῖς ἐρασταῖς* coni Re 2 *δὲ Va* 3 *τῷ δεῖνι*] *προσωδίνει H προσωδύνει D* scriptura in *Cr* parum certa | *προσεκλήθη; DVa προσεκ λ ήθη Ma* sed *λ* in ras m[3] et ante et post *λ* ras 1 litt | *ἐπεμειδίασεν B* 4 *προὔπιε — ἔκπωμα* citat Plan fol 105[v] *προὔπιεν ἐκεῖνος* Plan 7 *παρευδοκιμούμενος Ma* sed *δο* in ras m[3] 9 *βιάζει με Va* 12 *δήμῳ B* 15 *πρόσεστι Va* sed *πρόσεισι* in marg m[2]

νῦν μὲν εἰς Ἀγάθωνος εἰσέρχεται κωμάσων. αὖθις ἐπικρούει Σωκράτην. πρὸς Καλλίαν ἀφικνεῖται μεθ' Ἱππονίκου. μεθύει πάλιν. 42. τὴν φύσιν δ' οὐδέπω καὶ τήμερον δύναμαι κατιδεῖν τῶν παιδικῶν οὐδὲ τὸν τρόπον. ἐπαινῶ τὸ κάλλος καὶ θαυμάζω τὴν ὥραν, ὁ δὲ ὑπερορᾷ καὶ καταφρονεῖ τῶν ἐγκωμίων τῶν ἐμῶν. τὴν ἀνδρίαν, τοὺς λόγους ἐκπλήττομαι, ὁ δὲ ὑπενόησεν εἰρωνεύεσθαί με. τὴν ἡσυχίαν ἄγω στένων κατ' ἐμαυτόν, ὁ δὲ ἄχθεταί μου τῇ σιωπῇ. τῷ τρόπῳ χρῶμαι καὶ τὸν μισάνθρωπον ὑποκρίνομαι καὶ λοιδορῶν αὐτὸν διαρρήγνυμαι, ὁ δ' ἐνταῦθα ἐγέλασε. πάλιν σεμνὸς ἐν Λυκείῳ φαίνεται καὶ Πρωταγόρου μᾶλλον καὶ Γοργίου τὰς ὀφρῦς ἀνεσπακώς, αὐθάδης ἐν ἐκκλησίαις καὶ δημηγόρος ὑπὲρ τὸν Ὀλύμπιον, πόρνος ἐν συμποσίοις καὶ κατεαγὼς ἐν ταῖς μέθαις, ἀνδρόγυνος ἐπὶ τῆς ἑσπέρας, ὑπὲρ τὸν Πρωτέα τὴν φύσιν ἀμείβων. 43. τίς δὴ γένωμαι ἢ τίνα εὕρω τῶν κακῶν μεταβολήν; φεύγοντά με τὰς ἑαυτοῦ διατριβὰς μεταδιώκει, ἐγκείμενον

---

1 cf. p. 546, 14. Plat. conv. p. 212 C 11 cf. p. 547, 13 16 cf. t. II 41, 14; 312, 18

---

1 εἰσέρχομαι *H* scriptura in *Cr* parum certa | κωμάζων Gasda 2 σωκράτη *B* 4 κατιδεῖν τῶν παιδικῶν reposui e *CrHDVaMaCl* κατιδὼν τῶν παιδικῶν *B* τῶν παιδικῶν κατιδεῖν edd | οὐδὲ τὸν τρόπον *Ma* sed δὲ τὸν τρόπον in ras m[3] τὸν τρόπον τῶν τρόπων *D* 5 τούτου ante τὴν *Va* 7 ἀνδρείαν *DVa Ma* 8 punctum post με posui ex *HD* om reliqui libri edd | ἄγω — 9 σιωπῇ inserui ex *H* om *CrDBVaMaCl* edd pro emblemate habui Rel. Acad. Berol. 1896, 1333 | ἄγων *H* 10 τὸ *Va* 11 ὃ *Ma* οὐ *H* | ἐντεῦθεν *D* 12 λυκίῳ *VaMa Cl* | καὶ(1) om *H* | γοργίου *Ma* sed γορ in ras m[3] 17 δὲ *B* 18 ἑαυτοῦ scripsi αὐτοῦ *Va* ἐμαυτοῦ *HDBMaCl* edd sed πρὸς τὰς ἐμαυτοῦ coni Re | μὰ δία διώκει *Va* sed μὰ δία in μετα corr m[3], *MaCl* | ἀνακείμενον *D*

δὲ ὁρῶν καὶ ἀπολωλότα εἰρωνευόμενος ἐρωτᾷ· τί δέ, οὐ μισάνθρωπος ἦσθα; τί δέ, οὐκ ἐπὶ τῆς ἐσχατιᾶς ᾤκεις; τί δέ, οὐκ ἔβαλλες ταῖς βώλοις προσιόντα με; πῶς οὖν ἑάλως; εἰπέ μοι. ἢ τί δὴ πέπονθας; ἢ τίς σε ἤγαγεν ἐνταυθοῖ; ἆρα ὑποκρίνῃ τὸν ἔρωτα καὶ φιλεῖν Ἀλκιβιάδην προσποιῇ πεπονθὼς οὐδέν;

44. *Ἀποπνίγομαι, νὴ τοὺς θεούς, καὶ παραρρήγνυμαι τὴν χλεύην οὐ φέρων καὶ τὸν γέλωτα ἐκείνου τὸν πολύν. ἐκκόψατε δὴ τοὺς καταράτους ὀφθαλμούς, ὦ πεντακόσιοι, τοὺς ἐμοὺς τοὺς προδότας τῆς ἐμῆς ἀνδρίας γενομένους. οὗτοι γὰρ πρῶτοι τὸ κακὸν ἐδέξαντο καὶ τὸ κάλλος δι' αὐτῶν εἰσρυὲν τὸν λογισμὸν τὸν ἐμὸν κατεδουλώσατο.* 45. | *πάλαι μὲν δι'* R IV 195
ἔρωτα γυναικὸς καὶ κάλλος τὴν Ἑλλάδα κατὰ τῆς Ἀσίας ὁπλισθῆναι ποιητῶν ἀκούων μῦθον τὸν λόγον ἡγούμην καὶ τὴν ὑπόθεσιν οὐκ ἀξιόχρεων εἶναι τοῦ πολέμου καὶ τῶν ἡρωικῶν κατεγέλων συμφορῶν, εἰ δι' Ἔρωτα συνέβησαν τοῖς τότε. νυνὶ δὲ τί; πείθομαι τῷ

2 cf. p. 535, 12 3 cf. p. 545, 13 17 cf. p. 263, 15

3 *ἔβαλες HMaCl* scriptura in *Cr* parum certa | *τοῖς DMa* cf ad p. 545, 14 4 *ἢ*] *καὶ VaMa* 5 *τί D* | *σε* om *VaMa* | *ἄρα Va* 8 *παραρρήγνυμαι* scripsi coll. Plut. Ti. Gr. 2 *παραρριπτοῦμαι HBVaMaCl* edd *παρακρίπτοῦμαι D* (ο supra ι) scriptura in *Cr* parum certa 9 *ἐκίνουν D* 10 *καταροτάτους B καταρωτάτους Va καταρατοτάτους MaCl* 11 *φίλοι CrH* 12 *ἀνδρείας HDBMaCl* | *γενομένους* om *Va* | *δὴ* post *γὰρ D* 13 *καὶ* — 14 *κατεδουλώσατο* citat Plan fol 105v | *αὐτῶν*] *τῶν ὀφθαλμῶν* Plan | *εἰς τὴν ψυχὴν* ante *εἰσρυὲν Va* 14 *τὸν ἐμὸν λογισμὸν* Plan | *κατεδουλώσαντο Wolf* Mor *κατεδούλωσε D* | *μὲν* om *Cl* inser *Ma*[2] 16 *τῶν* ante *ποιητῶν Wolf* edd delevi 17 *ἡγοῦμαι Cl* 18 *τῶν* om *D* | *ἡρωικῶν* scripsi e *CrHBCl* et *γρ* in marg Mor coll p. 560, 4 *ἡρωικῶν Va* (τ supra) *τρωικῶν DMa* edd 19 *Ἔρωτα* scripsi *ἔρωτα* edd | *τοῖς* in ras *Va*[4] | *τί;* del Re

λόγῳ καὶ τὸν θεὸν μέγαν καὶ φύσεως ἀνθρωπίνης κρείττονα διὰ τῆς ἐμαυτοῦ συμφορᾶς ἐπιγινώσκω καὶ φιλῶ γε αὐτὸν τῆς μισανθρωπίας καὶ τὰ ἔργα θαυμάζω οἷα ἔδρασεν ἐξ ἀρχῆς. πολὺν ἐπὶ Τροίας ἡρωικὸν φόνον εἰργάσατο, πολλὰς Ἑλλήνων καὶ βαρβάρων σφαγάς, πολλὰς κατήνεγκε πόλεις, πολλὰ κατέσκαψε τείχη, πολλὰς ἀκροπόλεις παρέδωκε πυρί, πολυτρόπως ἀνέτρεψε τὸν ἡμέτερον βίον. οὗτος ἐπὶ κρημνοὺς ἄγει, οὗτος ἀναγκάζει βαπτίζειν εἰς ἑαυτοὺς τὰ ξίφη, ἀγχόνῃ παραδίδωσιν, ἐπὶ τὸ βάραθρον ὠθεῖ Τίμωνα καὶ καλὴν παρ' ἐμοῦ λαμβάνει τῆς ὑπερηφανίας τὴν δίκην. 46. *ἀσθένειαν κατεγίνωσκον τῶν ἡττωμένων Ἀλκιβιάδου πρότερον, πολλὰς ἐποιούμην κατηγορίας, καὶ τῶν εἰς ἔρωτα ὑπαγομένων αὐτοῦ κατεγίνωσκον καὶ τὸν Σωκράτην πολὺς ἦν χλευάζων ἐπὶ τοῖς παιδικοῖς· πίνει δέ τις δι' ὅλης ἡμέρας; μειρακίου δε ἀνέχεται κωμάζοντος; φιλοσοφεῖν προσποιούμε-*

---

2 *ἐπιγιγνώσκω Ma* 4 *ἐξαρχῆς B* | *Τροίας* scripsi *τροία HVaCl* scriptura in *Cr* parum certa *τροίαν DBMa* edd *Τροίᾳ* coni Gasda | *ἡρωικὸν φόνον εἰργάσατο* scripsi e *CrHVaMa* sed in hoc *γρ τρωικὸν* in marg m³, *Cl* *ἡρωικὸν φόνον εἴργαστο B* *φόνον ἡρωικὸν εἰργάσατο D* et coni Gasda *φόνον ἡρωικὸν εἴργαστο Wolf* edd 6 *πολλὰ — τείχη* om *Va* 7 *τῷ* ante *πυρί D* | *ἀνέτρεψε Va* sed *τ* in *ς* corr m⁴ 10 *ὠθεῖ Ma* sed *ὦ θεοὶ* suprascr m³ | *καὶ* inserui ex *HDB* scriptura in *Cr* parum certa om *VaMaCl* edd 11 *ὑπὲρ HBVa* sed in hoc *παρ'* suprascr m², *MaCl* scriptura in *Cr* parum certa *ὑπ' D* 12 *ἀσθένειαν — ἡττωμένων* respexit Plan fol 105ᵛ citans *καταγινώσκω σου ἀσθένειαν* | *τῶν* — 14 *κατεγίνωσκον* praemisso *κείμενον* in marg *Ma²* 13 *πολλὰς ἐποιούμην κατηγορίας τῶν* — 14 *αὐτοῦ* scribendum et *κατεγίνωσκον* delendum coni Gasda 15 *θαυμάζων καὶ* ante *χλευάζων Va* | *ἐν H* scriptura in *Cr* parum certa | *πολεμικοῖς D* et *γρ* in marg Mor 16 et 17 signa interrogationis posui e *Ma* auctore Re colon et comma reliqui libri edd 17 *χλευάζοντος D* (*κωμά* suprascr)

νος ἄνθρωπος καὶ τρίβωνα ἔχων στεφανοῦται καὶ τὸν Ἔρωτά φησιν εἶναι θεόν; ἀλλὰ νῦν κακήν τινα ταύτην, ὦ θεοί, παλινῳδίαν ᾄδειν ἀναγκάζομαι. 47. *οὐ νέμεσις Σωκράτην οὐδὲ Ἀγάθωνα οὐδὲ Ἀθηναίους ἅπαντας ἀμφὶ τοιῷδε μειρακίῳ κόπτεσθαι καὶ πάσχειν κακῶς μετὰ τὸ ἆθλον τῆς κολακείας καὶ τὸν κῶμον τὸν οὐκ ἀγεννῆ. ὑπὲρ Νάρκισσον, ὑπὲρ τὸν Ἀμυκλαῖον ἐκεῖνον ἔφηβον Ἀλκιβιάδης, ὑπὲρ τὸν Ἡρακλέους ἐρώμενον τὴν ὥραν. ἀλλ' ἐκεῖνοι μὲν* | R IV 196 *προὔλαβον τοὺς ἐραστὰς τῷ θανάτῳ, ἐγὼ δὲ ἀντιστρόφου πειρῶμαι τῆς τύχης.* 48. *τοσοῦτον δέ μοι περίεστι τοῦ πρὸς αὐτὸν ἔρωτος ὥστε ἕτεροι μὲν τοὺς ὁρῶντας αὐτὸν μακαρίζουσιν, ἐγὼ δὲ καὶ Ἀγαθάρχῳ φθονῶ τῆς ὕβρεως καὶ Ταυρέαν ζηλῶ τῆς πληγῆς ἣν ἐπὶ κόρρης ἐδέξατο[. ἔπαισε] χορηγὸς ὢν καὶ στεφανούμενος.*

---

1 cf. decl. Alcib. ed. Mélanges Graux p. 635, 26 7 Ovid. met. III 353. Luc. Charid. § 24. cf. t. IV 448, 10 8 cf. t. IV 450, 16
11 cf. p. 541, 19 13 cf. decl. Alcib. l. l. p. 635, 28. Andoc. c. Alcib. § 17. Dem. Mid. § 147. Plut. Alcib. 16 14 Andoc. l. l. 21. Dem. l. l. Plut. l. l.

---

3 *ᾄδειν ἀναγκάζομαι* scripsi ex *HD* scriptura in *Cr* parum certa *ἀναγκάζομαι ἄδειν BVaMaCl* 4 *οὐδ'*(2) *VaMa* 7 *τὸν οὐκ ἀγεννῆ*] *τῶν κώμων καὶ* (om *H*) *οὐκ ἀγεννὲς HD* scriptura in *Cr* parum certa *τὸν οὐκ ἀγεννῆ Ma* (*καὶ* supra) sed *ὲς* supra *ῆ* m² *καὶ οὐκ ἀγεννὲς B* | *ἀγενῆ* Mor cf. t. I 95, 12 7 *ὑπὲρ Ma* sed *τὸ* antepos m² | *Νάρκισσον* scripsi *τὸ ὑπερνίκιον H* *τὸ ὑπερνίκιον D* scriptura in *Cr* parum certa *νικίαν BVaMaCl* edd quominus *Νικίαν* Aristophanis eccl. 428 significari credas obstat l. 10 *Νιρέα* coni Iacobs Phil 353 at obstat iterum l. 10
8 *ἔφηβον* scripsi *ἔφηβος* libri edd | *τῶν* et 9 *ἐρωμένων HDB* scriptura in *Cr* parum certa | *τὴν ὥραν*] *τὸν Ὕλαν* Gasda
10 *ἐγὼ* — 14 *ὕβρεως* citat Plan fol 105ᵛ 12 *αὐτῶν Ma* (*ὸν* supra) *αὐτῶν Cl* *φίλτρον Va* 13 *καὶ* om *H* 14 *Ταυρέαν* scripsi e *CrHD* *ταυραίαν BVaMaCl* edd 15 *ἐδέξατο χορηγὸς* scripsi auctore Re *ἐδέξατο . ἔπαισε χορηγὸς* libri edd

καὶ τὸν Ὀλύμπιον ἐπὶ τούτῳ μᾶλλον ἢ τῇ προσηγορίᾳ μακαρίζω. μέγα δὲ καὶ τοῦτο ἐμαυτῷ πρὸς φιλοτιμίαν ἡγοῦμαι τὸ δι' Ἀλκιβιάδην ἀπόλλυσθαι τήμερον καὶ πρόφασιν ἔχειν τοῦ θανάτου τὸν ἔρωτα.

49. Ἄγε δή, ὦ γενναία κεφαλή, τῶν καλλίστων γὰρ ἄρχεις, τοὺς ἐραστάς, πολλοὺς ἐπὶ τὸ βάραθρον, πολλοὺς ἐπὶ τὸ κώνειον Ἀθηναίων, ἐπὶ τὸ Τίμωνος παράδειγμα τοὺς σοὺς ἐραστὰς ἄγε. ζήλωσον τὸν ἡμέτερον βίον. μισάνθρωπον σαυτὸν καὶ Τίμωνος ἐρώμενον γνήσιον ἀπόδειξον. ἅλις ἐχέτω σοι τὰ τῆς πορνείας καὶ τῆς πρὸς ἀνθρώπους ὁμιλίας. μηδενὶ τῶν ἐραστῶν ἐπινεύσῃς μηκέτι μηδ' ἂν σοφώτατός τις ἀνθρώπων ἁπάντων τυγχάνῃ καὶ τὴν παρὰ τοῦ Πυθίου μαρτυρίαν προσειληφὼς μηδ' ἂν τοῦ Διὸς ἔχῃ τὴν προσηγορίαν. 50. ἐπὶ τὰς γυναῖκας τῶν Ἀθηναίων τῇ ὥρᾳ, ἐπὶ τὰς μοιχείας ἀπόχρησαι τῇ φύσει. πάντας Ἀλκμαιωνίδας ἀπόφηνον τοὺς Ἀθηναίων παῖδας. ὅλου μοι γενοῦ τοῦ δήμου πατήρ. καὶ τοὺς Λακεδαιμονίων βασιλεῖς εἰς τὸ Ἀττικὸν μετάστησον γένος ἀνθ' Ἡρακλέους αὐτὸν Ἀλκμαίωνα ἐπιστήσας προστά-

8 Phryn. Monotr. com. fr. II 587, 2 M (II 375 K) 13 cf. p. 117, 15 20 Her. VII 208, 1

1 τοῦτο *Wolf* et Mor qui τούτῳ scribendum coni Not f. V[v] 6 εἰς ante τοὺς libri edd delevi „*malim* ἄρχεις τοῖς ἐρασταῖς" Re 7 Ἀθηναίων reposui e libris sed scriptura in *Cr* parum certa et ους supra ων *Ma*[3] Ἀθηναίους edd sed γρ Ἀθηναίων in marg Mor 10 ἀπόδειξον scripsi e *CrHD* et γρ in marg Mor ἀνάδειξον *BVaMaCl* edd 12 ἐπινεύσαις *B* | μὴ δ' *HVaMaCl* 13 ἀνθρώπων ἁπάντων scripsi e *D* et γρ in marg Mor ἀνθρώπων *CrH* ἁπάντων *BVaMaCl* edd 15 τῶν] τὰς *H* scriptura in *Cr* parum certa 16 τὴν ὥραν *CrHDB* 17 ἀπόφηναι *D* 19 μετάστησον γένος scripsi auctore Re μετάστησον. γενοῦ libri edd 20 αὐτὸν scripsi e *CrHDVa* ἑαυτὸν *Ma* σαυτὸν *Cl* αὐτῶν *B* edd αὐτοῖς coni Re

την. ἀντὶ σκηπτοῦ τινος καὶ λοιμοῦ καὶ θείας προσβολῆς ὤφθητι τῷ τῶν ἀνθρώπων γένει. 51. δύνασαι δὲ ἀρκέσαι πρὸς τὴν | Τίμωνος ἐπιθυμίαν. στοχάζομαί R IV 197
σου τῆς πολιτείας. τὴν φύσιν ἐπιγινώσκω τὴν σήν, Ἀλκιβιάδη. μείζω φρονεῖς τῶν νόμων. ταπεινὴν ἡγῇ τὴν δημοκρατίαν καὶ τοὺς νόμους τοῦ Σόλωνος, μικρὸν Περικλέα καὶ φαῦλον νομίζεις τὸ Θεμιστοκλέους παράδειγμα, τὴν ἀκρόπολιν περινοεῖς, τὸν ζῆλον ἄγεις πρὸς Πεισίστρατον, τυραννίδος ἐραστὴς τυγχάνεις. τὰς Λακεδαιμονίων περιμένεις εἰσβολάς. 52. ἀλλὰ μικρὸν τὸ ἐνθύμημα μίαν ἀπολέσαι πόλιν, ἕνα διαφθεῖραι δῆμον. σὺ δὲ ἐπὶ τὴν στρατηγίαν παρελθὼν καὶ τριήρων, ὅπλων, καταλόγων, ἱππέων, χρημάτων καταστὰς κύριος, δυνάμεως τοσαύτης, συμμαχίας, τῆς κατὰ θάλατταν ἀρχῆς κατὰ πάντων ἀνθρώπων ὤφθητι γενναῖος καὶ πρὸς ἅπαντας μισάνθρωπος. 53. μή μοι μέχρι τῶν ὅρων τῆς Ἑλλάδος τὰς πράξεις μηδὲ εἴσω Πελοποννήσου τὴν Ἀλκιβιάδου καθείρξῃς δυναστείαν. ὑπὲρ τὸν Αἰγαῖον πόντον, ὑπὲρ τὸν Ἰόνιον, Ἀλκιβιάδη, νεῶν στόλον ἐξαγαγεῖν ⟨ἐπὶ τὴν ἕω⟩, ἐπὶ τὴν ἑσπέραν. πολλὰς

---

1 Luc. Tim. § 37 8 Her. I 59, 4. Thuc. I 126, 3. Arist. ran. 958 19 cf. p. 92, 10

---

1 *λιμοῦ VaMaCl* 2 *γὰρ* (*δὲ* supra) *D* 4 *τῆς πολιτείας* reposui e libris ut coni Re *τὴν πολιτείαν* edd 6 *ποιῆι* post *νόμους* *Cr*, *ποιῇ HBCl* sed in hoc *ῇ* in ras m[2], *ποιεῖ Va* sed *ει* in *η* corr m[2], *ἐν βραχεῖ ποιεῖ D* | *τοῦ* (*τοὺς* supra) *Va* *τοὺς DMa* sed in hoc *τοῦ* suprascr m[2] 7 *περικλέους CrH* 9 voce *πεισίστρατον* des *Va* 11 *μίαν Ma* sed *μ* in ras m[3] | punctum posui colon *Cl* signum interrogationis reliqui libri edd 12 *δ' H* | *προελθὼν CrH* | *τριηρῶν Cl* 16 *πάντας D* 17 *μὴ δὲ HDB* 19 *αἴγιον H* | *ἰώνιον MaCl* | *Ἀλκιβιάδη* scripsi *ἀλκιβιάδης* libri edd | *νεῶν* scripsi *οὖν* libri om edd 20 *ἐξαγαγεῖν* scripsi

κατὰ Σικελίαν, πολλὰς ἐν Ἑλλησπόντῳ σφαγὰς καὶ πόλεων ἀναιρέσεις πανταχοῦ τῆς οἰκουμένης ἀπεργασάμενος ἅπαντας ἀνάστησον. κοινὸν ἅπασιν ἀπόδειξον τὸν πόλεμον, βασιλεῖ, Λακεδαιμονίοις, Ἀθηναίοις, τοῖς ἐκ Σικελίας, τοῖς ἀπὸ τῆς Ἀσίας, σατράπαις, βαρβάροις, Ἕλλησι, πᾶσιν ἀνθρώποις. 54. *μίμησαι τὴν Ἔριν ἐκείνην τὴν Ὁμηρικὴν ἣ τὰ πρῶτα ἐκ φαύλων ὁρμηθεῖσα πᾶν τὸ μέσον οὐρανοῦ τε καὶ γῆς προϊοῦσα ἐπλήρωσε. τοῦτόν μοι τὸν κῶμον κατὰ τῆς οἰκουμένης ἁπάσης,* R IV 198 *Ἀλκιβιάδη, κώμασον. ταῦτα ἔχε Τίμωνος τὰ | συνθήματα. τούτων μέμνησο τῶν λόγων. παραχωρῶ σοι τῆς τοῦ μισανθρώπου προσηγορίας. καὶ σὲ μὲν ἐντεῦθεν θεοὶ φυλάττοιεν ταῖς μελλούσαις ἀνθρώπων συμφοραῖς, ἐμὲ δὲ ἤδη τις ἐπὶ τὸν ἕτερον ἐρώμενον ἀγέτω, τὸν θάνατον.*

---

7 Il. δ 442 sq.

ἐξήγαγεν CrHBMaCl et γρ in marg Mor *ἐγήγαγε D* *ἐξαγαγέτω* edd cf. ad t. II 553, 1 et t. IV 422, 18 | *ἐπὶ τὴν ἕω* inserui auctoribus Iacobsio Add 130 Lect 97 et Gasda om libri edd 1 *ἐλησπόντῳ CrH* | *σφαγὰς* scripsi auctore Re *φυγὰς* libri edd | *καὶ πόλεων ἀναιρέσεις* om *D* 2 *σφαγὰς* post *ἀναιρέσεις CrHBMaCl* delevi auctore Re | *τῆς Ma* sed *ῆς* in ras m² | *ἀπεργασόμενος* coni Gasda 7 *ταπρῶτα Ma* 11 *παθήματα B* 12 *τοῦ* inserui e libris om edd 13 *οἱ* ante *θεοὶ B* | *φυλάττοιεν Cl* sed *εν* add m²

ADDENDA ET CORRIGENDA.

P. 1 not. 1 lin. 2 legas 606 pro 306

P. 3 lin. 30 lege *κατηγορίαν* pro *ἀπολογίαν*

P. 4 not. 5 dissertationis quam propediem editum iri dixi interim pars prior prodiit inscripta: Hier. Markowski, De Libanio Socratis defensore, Vratislaviae 1909 (Breslauer Philol. Abhandlungen fasc. 40), cui non solum multi loci sed etiam nonnulla praeclare observata in his Addendis debentur

Ad p. 19 l. 19 cf. Luc. Anach. § 22

Ad p. 21, 2 cf. Arist. nub. 1400. Xen. comm. I 2, 9

Ad p. 21 l. 19 cf. Plat. apol. p. 29 B; 34 E; Gorg. p. 470 E

Ad p. 22 l. 1 addas locos Plat. Gorg. p. 470 E; 522 E; 526 D; 527 C

Ad p. 22 l. 6 addas Plat. apol. p. 36 B

P. 23 l. 2 verbis *ὡς ὁ μιαρὸς σοφιστής* Euenum Parium Platonis apol. p. 20 BC significari mihi probavit H. Markowski

Ad p. 24 l. 2 addas Xen. comm. I 3, 5

Ad p. 24 l. 4 cf. Xen. comm. I 6, 2

Ad p. 24 l. 5 cf. Dio Chr. or. VI § 12

Ad p. 24 l. 9 cf. Plat. apol. p. 31 B

Ad p. 24 l. 10 cf. Plat. rep. III p. 412 C

Ad p. 25 l. 1 cf. Dem. or. I § 22

Ad p. 25 l. 15 cf. Plat. apol. p. 29 D sq.

Ad p. 27 l. 9 addas Iul. or. p. 81 A

Ad p. 29 l. 6 addas Porphyr. hist. phil. fr. 10 ed. Nauck

P. 29 l. 11 Xenoclem poetam tragicum (Nauck frr. trag. p. 770²) significari coniecit Markowski

Ad p. 30 l. 3 cf. Arist. nub. 247. 367. 827 sq. 1477. Plat. apol. p. 26 B et Arist. nub. 1321 sq.

Ad p. 30 l. 8 cf. Plat. Gorg. p. 456 B

Ad p. 30 l. 14 addas Plat. Gorg. p. 490 E. Xen. comm. IV 4, 6

P. 33 l 5 legem Cannoni (Xen. Hell. I 7, 20) respici coniecit Markowski p. 6

Ad p. 34 l. 1 cf. Plat. rep. II p. 378 A

Ad p. 37 l. 15 addas Isae. or. XV § 38 p. 54, 41

P. 38, 8 *κώπας* retinendum esse vidit Markowski collato [Dem.] or. XIII § 14 p. 170, 11 *κώπας τις ὑφείλετο*

Ad p. 39, 4 cf. Xen. Hell. I 6, 33 sq.

Ad p. 40 l. 5 cf. Plat. Euthyph. p. 2 A; Euthyd. p. 271 A

Ad p. 40 l. 8 cf. Plat. Hipp. mai. p. 282 B

Ad p. 42 l. 3 addas Luc. tyrann. § 12

P. 43 l. 18 legas 53 pro 54

Ad p. 45 l. 3 cf. Xen. comm. I 2, 56

Ad p. 52 l. 16 sq. cf. Plat. Alc. I p. 118 B

P. 53 l. 12 post *λέγοντι* pro puncto signum interrogationis ponas

Ad p. 53 l. 15 cf. Aesch. Tim. § 23; Ctes. § 2

Ad p. 54 l. 13 cf. Plat. Lys. p. 208 D; Phaed. p. 90 B; rep. X p. 597 A

Ad p. 54 l. 16 addas t. II p. 29, 15 sq.

Ad p. 54, 16 *πολιτῶν* e Parisino gr. 3017 scribendum etiam Bastius app. ep. crit. p. 54 vidit

Ad p. 55 l. 14 addas Thuc. II 38. Isocr. paneg. § 42

P. 55 l. 19 *θεῷ* pro *θεῶν* scribendum et *τῇ ἐν ἀκροπόλει* subintellegendum censuit Bastius ep. crit. p. 235

Ad p. 56 l. 7 cf. Plat. conv. p. 176 E sq. Xen. conv. 3, 2. Dem. or. XLVI § 27; prooem. 35

Ad p. 56 l. 13 cf. Luc. am. § 27

Ad p 57, 11 addas Paus. I 8, 4

Ad p. 58 l. 8 cf. Thuc. II 42, 1

Ad p. 58 l. 10 cf. Plat. Gorg. p. 457 A

Ad p. 58 l. 12 cf. Plat. Gorg. p. 466 C. Dem. or. XVII § 3

Ad p. 62 l. 13 cf. Diog. L. VI 10

Ad p. 63 l. 16 cf. Thuc. II 37, 1. Plat. Prot. p. 319 B sq.

Ad p. 64 l. 6 sq. cf. Theogn. 179 sq.

Ad p. 64 l. 15 cf. Dem. or. XXXII § 25

Ad p. 65 l. 1 cf. Dem. or. IV § 34

Ad p. 65 l. 5 cf. Her. IX 5. Lyc. Leocr. § 71. Dem. or. XVIII § 204

Ad p. 67 l. 12 sq. cf. p. 339, 14; ep. 49

Ad p. 68 l. 11 not. addas *δέον* etiam Bastium ep. crit. p. 262 reponendum censuisse

Ad p. 71 l. 5 cf. Plat. Gorg. p. 522 B

Ad p. 72 l. 2 addas t. IV p. 378, 25 sq. R

Ad p. 73 l. 7 addas Eur. El. 718 sq.

Ad p. 73 l. 8 addas t. IV p. 378, 25 R

Ad p. 74 l. 13 cf. Isocr. or. I § 23

Ad p. 79 l. 17 sq. cf. Plat. Charm. p. 155 D

Ad p. 83 l. 1 addas Xen. comm. I 2, 62; apol. § 25

Ad p. 85 l. 6 cf. Dem. or. VIII § 26

Ad p. 85 l. 8 cf. Dem. or. XVIII § 112

Ad p. 85 l. 12 pro VIII legas IX
Ad p. 85 l. 13 cf. Plat. Gorg. p. 477 B
Ad p. 86, 1 sq. cf. [Plat.] Clit. p. 407 A sq.
Ad p. 87, 7 cf. Plat. apol. p. 23 C. Xen. comm. I 2, 1; oec. 11, 3
Ad p. 87, 8 cf. Plat. conv. p. 178 E et 219 E
Ad p. 87, 15 cf. Plat. conv. p. 220 B
Ad p. 88 l. 3 cf. Plat. conv. p. 220 A
Ad p. 88 l. 6 cf. Plat. conv. p. 221 A; Lach. p. 181 B
Ad p. 90 l. 10 cf. Plat. Tim. p. 121 A
Ad p. 91 l. 2 cf. Isocr. or. XVI § 3

P. 93 l. 8 *τὸ βάραθρον* e Parisino 3017 reponendum esse etiam Bastius app. ep. crit. p. 48 vidit

Ad p. 94 l. 3 addas Isocr. or. XVI § 20
P. 94 l. 9 cf. Isocr. or. XVI § 21
Ad p. 94 l. 10 addas Thuc. VIII 97, 2
P. 94 l. 11 addas Xen. Hell. I 4, 20
Ad p. 95 l. 16 cf. Plat. Gorg. p. 456 D — 457 C

Ad p. 101 l. 9 addas Plat. Men. p. 88 A; Prot. p. 330 B; Defin. p. 411 D sq.

P. 101, 18 perperam impressum est *εἰσηγάγετο* pro *εἰσηγήσατο* cf. Diog. L. I § 45

Ad p. 103 l. 10 addas Arist. av. 1071 c. schol.
Ad p. 104 l. 12 cf Isocr. or. XV § 235. Dem. or. LXI § 45
Ad p. 104 l. 13 addas Thuc. I 127, 2; 139, 4
Ad p. 105 l. 14 cf. Diog. L. I § 44 et 82
Ad p. 107, 1 cf. Dem. or. LXI § 45
Ad p. 107, 4 cf. Plat. leg. VII p. 804 A
Ad p. 107, 10 cf. Xen. comm. I 2, 64

P. 107 l. 11 signum interrogationis non post *πόλις*, sed post *θεραπεύειν* poni vult Markowski

Ad p. 108 l. 14 cf. Xen. comm. I 5, 6
Ad p. 108 l. 16 sq. cf. Plat. conv. p. 182 B sq.
Ad p. 110 l. 8 addas ep. Socr. 1
Ad p. 111 l. 8 cf. Plat. apol. p. 36 B
Ad p. 111 l. 16 cf. Plat. apol. p. 40 E; Phaed. p. 63 C
Ad p. 111 l. 22 addas Xen. comm. I 1, 16
Ad p. 112 l. 5 cf. Plat. Phaed. p. 60 A
Ad p. 112 l. 8 sq. cf. Paul. ep. ad Cor. I 2, 9
Ad p. 112 l. 21 sq. cf. Plat. rep. IX p. 572 C
Ad p. 115 l. 10 cf. ep. Socr. 16
Ad p. 115 l. 11 cf. Diog. L. II § 106 et III § 6
Ad p. 115 l. 12 cf. Diog. L. II § 53 et § 105 et 126
Ad p. 116 l. 9 cf. ep. Socr. 15
Ad p. 118 l. 6 cf. Paus. I 3, 3

Ad p. 118 l. 8 cf. Dem. or. VIII § 51 et 68; XIX § 159; XXI § 209

P. 119 l. 13 *Λειβήθριοι* reponendum esse etiam Bastius ep. crit. p. 266 vidit

P. 120 l. 8 scribas 183 et l. 15 : 184

Ad p. 120 l. 13 addas [Plat.] Axioch. p. 368 E

Ad p. 121 l. 3 post 105 addas: et 31. Gell. II 18

Ad p. 123 not. 1 ansam declamationi praebuisse videri verba Platonis Phaed. p. 58 C *τίνες οἱ παραγενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων* observavit Markowski

P. 129 l. 1 *δύο φύσεων* tuetur Markowski cogitans de iracundia et mulierositate quas Socrati opprobrio datas esse testatur scriptor aetate suppar Cyrillus c. Iul. VI p. 185 A et 186 D

P. 134 l. 3 *ἀθώων* quod e *MaB* scripsi in *ἀθρόων* corrigendum esse e loco Platonis apologiae p. 32 B *ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβούλεσθε ἀθρόους κρίνειν* vidit Markowski

P. 139 l. 11 *Ἄμμωνος* tutatur Markowski Hipponicum intellegens coll. Athen. XII p. 537 A

Ad p. 146, 17 cf. ep. Socr. 16

P. 153 in nota l. 5 legas 263 pro 623. De re ipsa tamen cf. p. 414 not. 1

P. 158 l. 15 legas: Contulit Pius Franchi de Cavaleriis.

P. 182 post l. 7 excidit: 223ᵛ *ἐκ τοῦ ἐναντίου* et in l. 8 legas 229ᵛ pro 223ᵛ

P. 202 in ultima linea addas notam Bastii ep. crit. p. 152: „*optimi codices exhibent τοῦτο σύνηθες*"

P. 223 l. 12 legas 57 pro 54

Ad p. 284 l. 5 *ἀπολλυμένων* scribendum esse etiam Bastius ep. crit. p. 136 monuit

Ad p. 305, 13 cf. Chor. Patr. p. 244, 3 ed. Boiss.

Ad p. 323, 20 cf. Chor. Patr. p. 254, 16

Ad p. 324, 9 cf. Chor. Patr. p. 247, 7 sq.

Ad p. 328, 2 cf. Chor. Patr. p. 273, 16

Ad p. 334, 8 cf. Chor. Patr. p. 265, 7

P. 346 l. 8 *ὄμνυσι* pro *ὀμνύει* scribendum esse etiam Bastius ep. crit. p. 136 monuit

Ad p. 351, 1 cf. Chor. Patr. p. 274, 14 sq.

Ad p. 357, 12 cf. Chor. Patr. p. 260, 9

P. 413 l. 8 pro LXII legas LVII

P. 416 not. 2 legas: sq.

P. 450 not. 1 l. 1 legas: eodem fonte (Neanthe Cyziceno? (cf. decl. XII p. 529) vel Idomeneo? (cf. p. 463, 7)

Ib. l. 7 legas: oratione t. II

